Fr. 6. 7. Lucian. Demosth. Encom. c. 19: *ὥςπερ οὖν ὁ Πίνδαρος ἐπὶ πολλὰ τῷ νῷ τραπόμενος οὕτω πως ἠπόρηκεν, Ἰσμηνὸν — ὑμνήσομεν.* ubi Sch. *ἀρχαὶ ταῦτα τῶν Πινδάρου τοῦ μελοποιοῦ ὕμνων.* Partem adfert Plut. de glor. Athen. c. 14: *ἡ δὲ Κόριννα τὸν Πίνδαρον ὄντα νέον ἔτι καὶ τῇ ἰδιώτιδι σοβαρῶς χρώμενον ἐνουθέτησεν ὡς ἄμουσον ὄντα — σφόδρα οὖν ὁ Πίνδαρος ἐπιστήσας τοῖς λεγομένοις ἐποίησεν ἐκεῖνο τὸ μέλος· Ἰσμηνὸν — Ἡρακλέους ἢ τάγ'.* (V. 1—6.) *δείξαμένου δὲ τῇ Κορίννῃ γελάσασα ἐκείνη τῇ χειρὶ ὀεῖν ἔφη σπείρειν, ἀλλὰ μὴ ὅλῳ τῷ θυλάκῳ· τῷ γὰρ ὄντι συγκεράσας καὶ συμφορήσας πανσπερμίαν τινὰ μύθων ὁ Πίνδαρος εἰς τὸ μέλος ἐξέχεεν.* Respicit hoc carmen etiam Lucian. Icaromen. c. 27: *ἐν δὲ τῷ δείπνῳ ὅ τε Ἀπόλλων ἐκιθάρισε καὶ ὁ Σειληνὸς κόρδακα ὠρχήσατο καὶ αἱ Μοῦσαι ἀναστᾶσαι τῆς τε Ἡσιόδου Θεογονίας ἦσαν ἡμῖν καὶ τὴν πρώτην ᾠδὴν τῶν Ὕμνων τῶν Πινδάρου* quod schol. male ad Ol. I. refert. Thebanis scriptum fuisse carmen arguit Schol. Pind. Nem. X. 1: *ὁ*

Digitized by Google

Ἰσμηνον ἢ χρυσαλάκατον Μελίαν,
ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν .....;

* * *

Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνάν
ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδόν
σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας.

* 8. [7.]

Aristid. II. 142: *Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο, ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτούς φησιν ἐρομένου τοῦ Διός, εἴ του δέοιντο, αἰτῆσαι ποιήσασθαί τινας αὐτῷ θεούς, οἵτινες τὰ μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ.* Probabiliter huc retulit Boeckh. Cf. Choric. Gaz. p. 305 ed. Boisson.: *Ἐποίησε Πίνδαρος καὶ θεοὺς ὀκνοῦντας ὑμνῆσαι τὰς τοῦ Διὸς εἰς ἀνθρώπους φιλοτιμίας.*

9. [8.]

. . . . . ⏑́ – ⏑̄
– ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –

δὲ Πίνδαρος, ὅτε βούλοιτο ἐπαινεῖν τὰς πατρίδας τῶν νενικηκότων ἀθροίζειν εἴωθε τὰ πεπραγμένα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ὠδῇ, ἧς ἡ ἀρχή· Ἰσ. ἢ χρ. Μελίαν. Est igitur haec primi hymni prima stropha. — V. 1. *χρυσαλάκατον* Plut. Sch. Pind., *χρυσηλάκατον* Luc. et Dio Chrys. Or. XXXIII. T. II. 457 (ubi v. 1 et *ἢ Κάδμον* affert.) — V. 2. *ἱερὸν*, ap. Luc. A *ἱρὼν*. — *ἀνδρῶν* om. Luc. — V. 3. om. Plut. Respicit huc sch. Pyth. II. inscr. *τὰς δὲ Θήβας ... κυανάμπυκας* (*Πίνδαρος προσαγορεύει.*) — V. 4. *πάντολμον* Luc. (A *π σ τολμον*), *πάνυ* Plut. — *Ἡρακλέος* ap. Luc. B et reliqui praeter AFGa qui *Ἡρακλέους* ut Plut.

Fr. 7. Clem. Al. Str. VI. 731: *Πίνδαρος δὲ ἄντικρυς καὶ σωτῆρα Δία συνοικοῦντα Θέμιδι εἰςάγει, βασιλέα, σωτῆρα δίκαιον ἑρμηνεύων ὧδέ πως: Πρῶτον κτλ.* Prioris hymni stropham esse vidit Boeckhius. — V. 1. Hephaestio affert p. 91 sine auct. n. — *πρῶτον*, ap. Cl. vulgo *πρῶτα*. — V. 2. *ἵπποις* Herm., v. *ἵπποισιν*. — ib. *παρὰ παγᾶν* Boeckh, v. *παρὰ πάγον*. — V. 4. *Οὐλύμπου* Hermann, v. *Ὀλύμπου*. — *καθ' ὁδόν*, v. *κάθοδον*. — V. 5. *ἔμμεν* Boeckh, vulgo *ἔμμεναι*. — V. 6. *ἀλαθέας Ὥρας* Boeckh, coll. Hesychio: *ἀλαθέας ὥρας· λέγει γὰρ ὅτι κυκλισμῷ (φανερὰ) πάντα ποιοῦσιν.* et idem: *ἀληθεῖς· οἱ μηδὲν ἐπιλανθανόμενοι, ὡς Πίνδαρος.* Apud Clem. *ἀγαθὰ σωτῆρας*, unde Stephanus *ἀγαθὰς Ὥρας*.

Fr. 9. Aristid. II. 383: *ἀλλ' ὅτι κἀν τοῖς Ὕμνοις διεξιὼν περὶ τῶν ἐν ἅπαντι τῷ χρόνῳ συμβαινόντων παθημάτων τοῖς ἀνθρώ-*

Digitized by Google

..... *Τοῦ θεοῦ*
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

* 10. [9.]

– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
Ὅς καὶ τυπεὶς ἀγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

* 11. [10.]

– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
Κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

ΕΙΣ ΑΜΜΩΝΑ.

12. [11.]

– ⏑ ⏑ – – ⏑ ⏑ .....
Ἄμμων Ὀλύμπου δέσποτα.

ΕΙΣ ΠΕΡΣΕΦΟΝΗΝ.

13. [12.]

– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ .....
Πότνια θεσμοφόρε χρυσάνιον .....

ποις καὶ τῆς μεταβολῆς τὸν Κάδμον φησὶν (Πίνδαρος) ἀκοῦσαι τοῦ Ἀπόλλωνος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου. Plut. de Pyth. orac. c. 6: *ὁ δὲ Πίνδαρος ἀκοῦσαί φησι τοῦ θεοῦ τὸν Κάδμον* [*οὐ*] *μουσικὰν ὀρθάν, οὐχ ἡδεῖαν, οὐδὲ τρυφεράν, οὐδ' ἐπικεκλασμένην τοῖς μέλεσιν.* et idem corrupte de animae procr. c. 33: *ὡς που καὶ αὐτὸς ὁ Πίνδαρος τοῦ θεοῦ φησιν ἐπακούοντος οὐκ ἀνορέαν ἐπιδεικνύμενος τὸν Κάδμον.* Numerum restituit Boeckh; videtur fragm. ex epodo huius hymni petitum.

Fr. 10. Hephaestio 91. *Ἀντεστραμμένον δέ ἐστι τούτῳ τὸ Πινδαρικὸν καλούμενον· ὃς καὶ τυπεὶς* (Fl. B *τί πῶς*, H *τυπῶς*) ... *Ἀθάναν. Σοφοὶ δὲ καὶ κτλ.* Pindari hunc versum esse verisimile est, praesertim cum is, qui sequitur, dilucide Pindaro tribuatur. Legitur etiam sed corrupte ap. Plotium de metris p. 300 ed. Gaisford. Quem versum idem Plotius ibid. ut *Susarioneum* affert:

Χρυσέοισιν ἀνθέμοισιν τὰν Θέμιν οὐρανίαν.

ex Sapphico versu et Pindari fr. 7, 1 fictus videtur. — Ceterum Boeckh ut similis existeret versus strophae v. 1 inde a verbis *ξανθὰν Ἀθάναν* novum versum orditur, at potest hic versus ex epodo petitus esse.

Fr. 11. Hephaestio 91: *τὸ δὲ ἀντεστραμμένον τούτῳ Ἰαμβέλεγος καλεῖται· τούτῳ δὲ ἐν συνεχείᾳ οὐκ ἴσμεν τινὰ κεχρημένον, διεσπαρμένως δὲ πρῶτον* (Fr. 7. 1.) *κτλ. κείνων λυθέντων* (C *λυθέντες, κτλ.* Cum prior versus Pindari sit, hic quoque ei vindicandus.

Fr. 12. Schol. Pind. Pyth. IX. 89: *ἢ διὰ τὸ τὸν Ἄμμωνα Δία νομίζεσθαι. Ἄμμων Ὀλ. δ. φησί, καὶ πάλιν* (Pyth. IV. 16) *Λιὸς ἐν Ἄμμωνος θεμέθλοις.* Ex hymno esse arguit Pausan. IX. 16, 1: *Οὐ πόρρω δέ ἐστι ναὸς Ἄμμωνος, καὶ τὸ ἄγαλμα ἀνέθηκε μὲν Πίνδαρος, Καλάμιδος δέ ἐστιν ἔργον· ἀπέπεμψε δὲ ὁ Πίνδαρος καὶ Λιβύης ἐς Ἀμμωνίους τῷ Ἄμμωνι ὕμνους. καὶ οὗτος καὶ ἐς ἐμὲ ἦν ὁ ὕμνος ἐν τριγώνῳ στήλῃ παρὰ τὸν βωμόν, ἣν Πτολεμαῖος ὁ Λάγου τῷ Ἄμμωνι ἀνέθηκεν.*

Fr. 13. Vit. Pind. cod. Vrat. T. II. p. 9. ed. Boeckh (p. 97 Westerm.): *Ἀλλὰ καὶ ἡ Δημήτηρ ὅναρ ἐπιστᾶσα αὐτῷ ἐμέμψατο, ὅτι μόνην τῶν θεῶν οὐχ ὕμνησεν, ὁ δὲ εἰς αὐτὴν ἐποίησε ποίημα, οὗ ἡ ἀρχή· Π. θε. χρυσάννιον.* Boeckh *χρυσανίου* coni., scil. *δάμαρ Ἄιδου.* Similia Eustath.

Digitized by Google

ΕΙΣ ΤΥΧΗΝ 14—17.

* 14. [16.]

⏑ – ⏑⏑ ⏑ – – ⏑ –
– ⏑ ⏑ . . . . .
Ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.

15. 16. 17. [14. 15. 13.]

Pausan. IV. 30. 6: *Ἥισε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν.* Plut. de fort. Rom. c. 10: *τὴν δὲ Τύχην καὶ οἱ μετ' ἐκεῖνον ἐθαύμασαν βασιλεῖς ὡς πρωτόπολιν καὶ τιθηνὸν καὶ φερέπολιν τῆς Ῥώμης ἀληθῶς κατὰ Πίνδαρον.* — Plut. ibid. c. 4: *Οὐ μὲν γὰρ ἀπευθὴς (Τύχη) κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον* ubi Reiske coni. *ἀπειθής.* Ceterum valde dubium, num etiam *δίδυμον στρέφουσα πηδάλιον* ad Pindarum sit referendum. — Pausan. VII. 26, 8: *ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ, καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν.*

---

18. [171.]

. . . – ⏑ ⏑ – – ⏑ – – ⏑ ⏑ –
⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ – – ⏑ – – ⏑ – – ⏑ – – ⏑ – –
⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ – – ⏑ – – ⏑ – –
. . . Ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται
μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω·
καλῶν μὲν ὧν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα

Prooem. 27 (ubi tantum *Πότνια θεσμ.*). Cf. Paus. IX. 23. 2. qui eadem accuratius refert, tum addit: *Πίνδαρος — ὕμνον ἦσεν ἐς Περσεφόνην, — ἐν τούτῳ τῷ ἄσματι ἄλλαι τε ἐς τὸν Ἅιδην εἰσὶν ἐπικλήσεις, καὶ ὁ χρυσήνιος, δῆλα ὡς ἐπὶ τῆς Κόρης τῇ ἁρπαγῇ.*

Fr. 14. Aristid. II. 334: *ἀλλὰ καὶ ταῦθα τὸ τοῦ Πινδάρου κρατεῖ· πάνυ γὰρ μετ' ἀληθείας τοῦτ' ἐκεῖνος ὕμνησεν· ἐν ἔργμασι κτλ.* ἔργμασι *N* in marg., ἔργμασι *ΘL* (in marg.) et Phot. Bibl. 248 p. 435. A. 29., vulgo ἅρματι, *LN* ἅρμασι, Opor. ἄσμασι. Sine poetae nomine rursus Aristid. II. p. 36. ubi vulgo ἅρμασι, sed *L* ἕρμασι, *Θ* ἑρμάσι, *N* Opor. ἔργμασι. Ceterum potest haec sententia etiam ex alio carmine petita esse, nam quod Arist. dicit *ὕμνησεν*, ambiguum est.

Fr. 18. Stob. Flor. CIX. 1: *Πινδάρου Ὕμνων* (hoc add. Vind.) *Ἀλλοτρίοισι μὴ κτλ.* — V. 1. *ἀλλοτρίοισιν* Boeckh. — *προφαίνειν*, B *προφέρειν.* — V. 2. *ἄμμιν* Boeckh, v. *ἄμιν.* — V. 3. *καλῶν* B, *καλὸν* Vind, *κακῶν* v. — V. 3. *ὧν* Grotius, v. *ὦν.* — V. 4. *ἀνθρώποισι* Hermann, v. *ἀνθρώποις.* — *θεόσδοτος* Stephanus et Grotius, v. *ἀθεόςδοτος* (etiam Vind.). — *ἄτα* scripsi, B *ἄτη*, Vind. *ἀτληκηκότας*, Trinc. *ἀτλητηκότα*, v.

Digitized by Google

5 προςτύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.

* 19. [173.]

. . . . . –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓

Ὦ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προςφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαι-
νήσαις ἑκών
ἄλλοτ' ἀλλοῖα φρόνει.

20. [23.]

Lactant. ad Stat. Theb. II. 85: „*Ogygii* Thebani ab Ogyge rege aut amne. *Ogygiis* ait (Theb. I. 173) *aspera rebus fata tulere vicem*. Sic Pindarus in *Somniis*, (Cod. Gud. et Frising. *Somnis*, hinc Boeckh *Hymnis*). *Opite TωCDeeyPeNoπoNNHTHCTANeCC Iπy.*" cod. Gud. opite *IωCΔEEyPαNωNNHTHEΦα. NECCIΠI*, Mon. opire *IωCDeeypenoronnHτHeΦâHe· CCINHy*, Frising. opite. *ιωCEeyPE NONONNH THFΦα· NeCCyNy*. Boeckh coni.

Ὠγυγίους δ' εὗρεν, ὅπου πόλιν αἴτεε τάνδ' ἐς αἰπύ.

Unger Theb. Parad. 263 praeterea *Pronastarum* et *Messapiorum* nomina latere putat. Coniicio:

Ὠγυγίους δ' εὗρ' Ἀόνων Νηΐσταις στεφάναις ὕπο.

21. 22. [20. 21.]

Antiattic. in Bekk. An. I. 80. 8: Ἀρχαιέστερον. Πίνδαρος Ὕμνοις. — Gramm. ibid. 339. Ἄγριος ἔλαιος, ἣν οἱ πολλοὶ ἀγριέλαιον καλοῦσιν, ἔστι παρὰ Πινδάρῳ ἐν Ὕμνοις.

ἀθληκηκότα. Boeckh coni. ἀτλάτα κακότας. — V. 5. προςτύχῃ Vind., προςτύχοι B, πρὸς τύχῃ vulgo. — σκότει Grotius, v. σκόπει, Schneidewin σκότῳ. — Videtur hoc fragm. ad praecepta pertinere, quae Amphiaraus discedens Amphilocho filio impertivit, itaque non dubitavi ad Hymnos etiam Fr. 19. referre; fortasse autem utrumque fragmentum iungendum, ut ὦ τέκνον clausula fuerit epodi, tum integra stropha haec: Ποντίου θηρὸς πετραίου χ. μ. ν. π. π. π. ὁμίλει· τ. π. δ' ἐπ. ἑκὼν Ἄλλο τ' ἀλλοῖα φρόνει. ἀλλοτρίοισιν μὴ προφαίνειν κτλ. neque offensioni est in eiusmodi praeceptis, quod liberius sunt consociata.

Fr. 19. Athen. XII. 513. C: τοιοῦτός ἐστι καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδὶ (Ἀμφιάραος)· ὦ τέκνον κτλ. Plut. Quaest. Nat. c. 19 et de solert. anim. c. 27 affert: ποντίου θ. (omisso πετραίου) ... ὁμιλεῖ (non ὁμίλει). Lucian. de saltat. c. 67: καλὴ γὰρ ἡ ποιητικὴ παραίνεσις ἐκείνη τό· ὦ παῖ, ποντίου θ. πετραίου νόον ἴσχων (ΑΕ ἔχων) πάσαις πολίεσσιν ὁμίλει. — V. 3. πολίεσσιν ap. Athen. AC, πολέεσσι PVL. — τῷ παρεόντι δ' ἐπαινήσαις, C τὸ παρεὸν δ' ἐπαινήσας.

Digitized by Google

23. [18.]

Et. M. 821, 59, et Gud. 578, 42: *Πίνδαρος δὲ ἐν Ὕμνοις ἐρίφων μεθομήρεον, οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον.* ubi V. ex corr. *μεθωμήρεον.*

24. [17.]

Aristid. II. 168: *οὐκοῦν πρίν τινα τῶν ἀντιπάλων ἑλεῖν, ἕνα τῶν φίλων θηρεύσας ἄγεις, καὶ πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε καὶ τὸν Εὐρυτίωνα φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρεν.* ubi Schol. III. 463: *ἐν Ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς.*

25. [19.]

Schol. Pind. Pyth. IV. 288: *Ταύτην δὲ (Φρίξου μητρυιὰν) ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημοδίκην φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην, Φερεκύδης Θεμιστώ.* sic Boeckh, v. *Δημωτικήν*, G. *Δημοτικήν.*

26. [22.]

Quintil. VIII. 6, 71: „Exquisitam vero figuram huius rei (hyperboles crescentis) deprehendisse apud principem Lyricorum Pindarum videor in libro, quem inscripsit Ὕμνους. Is namque Herculis impetum adversus Meropas, qui in insula Co dicuntur habitasse, *non igni nec ventis nec mari, sed fulmini* dicit *similem fuisse*, ut illa minora, hoc par esset."

27.

Strabo VII. T. II. p. 91 ed. Kramer: *οὐκ ὀκνοῦσι δέ τινες καὶ τὸ μέχρι τοῦ Μυρτῴου πελάγους ἅπαν καλεῖν Ἑλλήσποντον, εἴπερ, ὡς φησιν ἐν τοῖς ὕμνοις Πίνδαρος, οἱ μεθ' Ἡρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον Ἕλλας πορθμόν, ἐπεὶ τῷ Μυρτῴῳ συνῆψαν, εἰς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος.* Non licet ipsa Pindari verba restituere, cum Strabo vel qui haec in breviarium redegit, suae accommodaverit orationi. Meineke coni.: *Οἱ δὲ μεθ' Ἡρακλέους ἐκ Τρωΐας πλεῦντες διὰ παρθένιον | Ἕλλας πορθμόν, ἐπεὶ τάχα Μυρτῴῳ συνῆψαν, | ποντίαν ἐς Κῶν ἐπαλινδρόμησαν | ἀντιπνεύσαντος Ζεφύρου.* Schneidewin: *Οἱ δὲ μεθ' Ἡρακλέος | ἐκ Τρωΐας πλεῦντες διὰ παρθένιον | Ἕλλας πόρον ἱρόν, ἐπεὶ τάχα Μυρτῴῳ συνᾶψαν | ἀμφιρύταν ἐς Κῶν ἐπαλινδρόμησαν, | ἀντιπνεύσαντος Ζεφύρου.*

28.

Schol. Aristoph. Plut. 9: *Καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς τοῦ Πινδάρου ὕμνοις εὐκαίρως ὑμῖν διείληπται.* Scholiasta recens admodum fortasse dixit commentarium a se ad Pythia carmina scriptum.

Digitized by Google

III.

ΠΑΙΑΝΕΣ.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ 29—34.

29. [24.]

–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – –̄ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –

Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι.

30. [25.]

–́ ⏑ – –́ ⏑ – –́ ⏑ –

–̄ – –̄ – –́ ⏑ ⏑ . . . . .

Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ
ἄειδον Κηληδόνες.

* 31. [26.]

Plut. Consol. ad Apoll. c. 14: *Καὶ περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος, τὸν νεὼν τὸν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι,*

Fr. 29. Schol. Pind. Nem. VII. 94: *Καθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας. ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν Παιᾶνα ἔφη· Ἀμφιπ. κτλ.* Respicit huc Schol. Nem. VII. 150. — *μοιριᾶν περὶ τιμᾶν* Boeckh, v. *μυρίαν περὶ τίμαν.* Ad celebrem hunc paeanem fortasse referendum *apoph thegma*, quod in cod. Vrat. apud Boeckh. T. II. 10 inter dicta Pindari refertur: *Παραγενόμενος δὲ εἰς Δελφοὺς καὶ ἐρωτώμενος, τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπε Παιᾶνα.* Similiter Eust. Prooem. 31 addens: *μονονουχὶ λέγων ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι, πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί.* Adde Philodem. de Musica in Vol. Hercul. I. c. XXI. *κα(ὶ) τὸν Π(ί)νδαρον οὕτω νομ(ί)ζειν, ὅτ' ἔφη θύσων ποι(ήσε)σθαι διθύραμβον*, ubi Schneidewin *ποιήσασθαι*, sed potius *θυσίαν* legendum. Ceterum fortasse hoc ipsum poeta in exordio carminis professus erat, quemadmodum etiam alii loci ex carminibus inter apophthegmata sunt relata.

Fr. 30. Pausan. X. 5, 12: *τὰ μέντοι ἄλλα με οὐκ ἔπειθεν ὁ λόγος, ἢ Ἡφαίστου τὸν ναὸν τέχνην εἶναι, ἢ τὰ ἐς τὰς ᾠδοὺς τὰς χρυσᾶς, ἃ δὴ Πίνδαρος ᾖσεν ἐπ' ἐκείνῳ τῷ ναῷ· χρύσειαι* (X *χρύσεια*, Vb *χρύσιαι*) *δ' ἐξ ὑπερῴου* (Pc *ὑπαρέτου*, PdLbMP *ὑπερέτου*, Ag *ὑπηρέτου*) *ἄειδον* (codd. plerique *ἃ* vel *ἃς εἶδον*) *Κηλήμονες οὗτος μὲν δὴ ταῦτα ἐς μίμησιν, ἐμοὶ δοκεῖν, τῶν παρ' Ὁμήρῳ Σειρήνων ἐποίησεν. Κηλήμονες*, quomodo corrigendum sit docet Athen. VII. 290. E: *τῶν παρὰ Πινδάρῳ Κηληδόνων, αἳ κατὰ τὸν αὐτὸν τρόπον ταῖς Σειρῆσι τοὺς ἀκροωμένους ἐποίουν ἐπιλανθανομένους τῶν τροφῶν διὰ τὴν ἡδονὴν ἀφαυαίνεσθαι.* Adde Eust. Od. 1689, 30 et 1709, 56 et Opusc. p. 89 ed. Tafel. Praeterea scripsi *χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ*, (Cobet *ὑπὲρ αἰετοῦ*, Schneidewin *ἐξ ὑπὲρ αἰετοῦ.*) nam *αἰετοῦ* legendum esse docet Galen. T. XVIII. A. p. 519: *οὕτω γὰρ ἐοίκασιν εἰκάζοντες οἱ παλαιοὶ καλέσαι τοῦτο τῆς οἰκίας τὸ μέρος. ἀετὸν δὲ καὶ οἵδε, καθάπερ καὶ ὁ Πίνδαρός φησιν ἐν ταῖς Πλειάσι (τοῖς Παιᾶσι)· χρύσεα δ' ὀξύπτερα αἰετοῦ ἄειδον Κληδόνες.* ita ed. Kühniana.

Digitized by Google

τους δὲ ποιήσαντας τὸ προσταχθέν, τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι· λέγεται δὲ καὶ αὐτῷ τῷ Πινδάρῳ ἐπισκήψαντι τοῖς παρὰ τῶν Βοιωτῶν πεμφθεῖσιν εἰς θεοῦ πυθέσθαι, τί ἄριστόν ἐστιν ἀνθρώποις, ἀποκρίνασθαι τὴν πρόμαντιν, ὅτι οὐδ' αὐτὸς ἀγνοεῖ, εἴ γε τὰ γραφέντα περὶ Τροφωνίου καὶ Ἀγαμήδους ἐκείνου ἐστίν. εἰ δὲ καὶ πειραθῆναι βούλεται, μετ' οὐ πολὺ ἔσεσθαι αὐτῷ πρόδηλον· καὶ οὕτω πυθόμενον τὸν Πίνδαρον συλλογίζεσθαι τὰ πρὸς τὸν θάνατον, διελθόντος δ' ὀλίγου χρόνου τελευτῆσαι. Boeckh huc retulit, fort. rectius Wyttenbach inter *Threnos*.

* 32. [27.]

Pausan. X. 16, 2: τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλὸν λίθου πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ γῆς πάσης αὐτοὶ λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινι Πίνδαρος ὁμολογοῦντά σφισιν ἐποίησεν. Cf. Strabo IX. 419: καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον, ὃν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ αἰετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως, ὁ δ' ἀπὸ τῆς ἀνατολῆς.

* 33. [28.]

Schol. Aeschyl. Eum. 3: Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα, διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ.

34.

Himer. III. 1: Χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσᾴσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖος Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. Coniicias *Simonidis* carmen in Bachum, *Pindari* in Apollinem respici, cf. ib. XIII. 7: τὰ δὲ σὰ νῦν δέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ τε χρυσῇ καὶ λύραις κοσμήσαντες, κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσι, Μούσαις Χάρισί τε ὁμοῦ συγχορεύσοντα. Quae deinceps de Baccho sequuntur, iam ad illud Simonidis carmen referenda fuerint, quamquam idem XVI. 7 etiam Simonidis carmen in Apollinem commemorat, ut fortasse aliquis coniiciat pariter etiam de Pindarico carmine in Bacchum esse cogitandum: sed omnino ineptio huic rhetori non multum tribuendum. — Huc fortasse etiam referendum, quod dicit Menander Rhett. Gr. IX. 320: Προὔλαβε δὲ καὶ Πίνδαρος ὕμνους γράφων εἰς τὸν θεὸν (Ἀπόλλωνα) ἀξίους τῆς ἐκείνου λύρας.

Digitized by Google

ΕΙΣ ΔΙΑ ΔΩΔΩΝΑΙΟΝ 35—38.

* 35. [29.]

x – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏑ –

Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ,

36. [30.]

Schol. Soph. Trach. 175: *Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτὰς* (sacerdotes Dodonaeas)· *οἱ δὲ δύο, καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν* (δὲ εἰς τὸ) *περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.*

* 37. 38. [31. 32.]

Strabo VII. 328: *Πότερον δὲ χρὴ λέγειν Ἑλλούς, ὡς Πίνδαρος, ἢ Σελλούς, ὡς ὑπονοοῦσιν παρ' Ὁμήρῳ κεῖσθαι, ἡ γραφὴ ἀμφίβολος οὖσα οὐκ ἐᾷ διϊσχυρίζεσθαι.* Cf. Et. M. 709. 38. Schol. Il. π. 234: *Πίνδαρος Ἕλλοι χωρὶς τοῦ σ ἀπὸ Ἕλλοῦ τοῦ δρυτόμου, ᾧ φασι τὴν περιστερὰν πρώτην καταδεῖξαι τὸ μαντεῖον.* Eust. Il. 1057. 57. — Strabo VII. 328: *Καὶ οἱ τραγικοί τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην.*

---

39. [33.]

⏑ – ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –
– ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ –
– ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ᾗ τ' ὀλίγον τοι

Fr. 35. Dio Chrys. Or. XII. T. I. 251 Emper. *ὃν πάνυ καλῶς ποιητὴς προεῖπεν ἕτερος· Δωδ. μ. ἀρ. π. οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς χορηγὸν λαβὼν τῆς αὑτοῦ τέχνης κτλ.* Pindari esse docet Plut. praec. reip. ger. c. 13. *ὁ δὲ πολιτικὸς ἀριστοτέχνας τις ὢν κατὰ Πίνδαρον καὶ δημιουργὸς εὐνομίας καὶ δίκης*, et de sera Num. vind. c. 4: *καὶ Πίνδαρος ἐμαρτύρησεν ἀριστοτέχναν ἀνακαλούμενος τὸν ἄρχοντα καὶ κύριον ἁπάντων θεόν, ὡς δὴ δίκης ὄντα δημιουργόν.* et de fac. in orbe lun. c. 13: *ἢ τίνος γέγονε ποιητὴς καὶ πατὴρ δημιουργὸς ὁ Ζεὺς ὁ ἀριστοτέχνας.* Respicit praeterea adv. Stoic. c. 14. Symp. Quaest. I. 2. 5. et Clem. Alex. Str. V. 710. Euseb. praep. Ev. XIII. 675. B. Ex his locis coniicias versum hunc addendum esse: *Δημιοεργὲ δίκας τε καὶ εὐνομίας.*

Fr. 39. Stob. Ecl. Phys. T. I. p. 8: *Πινδάρου Παιάνων· Τί* (V *ἔτι*) *δ' ἔλπεαι — φρενί* (sic VAE, v. *φρονεῖ*.) Clemens Al. Strom. V. 726 atque Euseb. Praep. Ev. XIII. 688 eadem sed memoriter ut videtur afferunt: *ὅ τι ἔλπεται* (codd. et Eus. *τί ἔλπεαι*) *σοφίαν ὀλίγαν τοι* (Eus. *ὀλίγον τι*) *ἀνὴρ ὑπὲρ ἀνδρὸς ἔχειν; ζαθέων* (codd. et Eus. *τὰ θεῶν*) *βουλεύματα ἐρευνᾶσαι βροτέᾳ φρενὶ δύσκολον*, additis in fine praeterea verbis *θνατᾶς δ' ἀ. μ. ἔφυ.* — V. 1. *ἔμμεναι, ᾗ τ'* Boeckh, Stob. *εἶναι, ᾗ.* — *ὀλίγον τοι* scripsi, ap. Stob. *ὀλίγον*, sed VA *ὀλίγοι*, H *ὀλίγοιν.* — V. 3. *ἐρευνᾶσαι*, Boeckh coni. *ἐρευνάσει.*

Digitized by Google

ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οἰ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρεινᾶσαι βροτέᾳ
φρενί· θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυν.

40. [34.]

Schol. Apoll. Rhod. I. 1086: *Εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων.* et *εὐλόγως δὲ ὅσσαν εἶπε τὴν ἀλκυόνος φωνήν. ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι Πίνδαρος.*

41. [35.]

Tzetz. ad Lycophr. 440: *Οἱ μάντεις οἱ γνήσιοι οἱ ἐθάδες τοῦ ἐν Δηραίοις τόπῳ Ἀβδήρων τιμωμένου Ἀπόλλωνος, οὗ μνημονεύει καὶ Πίνδαρος ἐν Παιᾶσιν.*

42. * 43. [36. 37.]

Plut. de musica c. 15: *Πίνδαρος δ' ἐν Παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι (ὑπὸ Ἀνθίππου).* — Ex eodem paeane haud dubie est, quod dicit Aelian. Var. Hist. XII. 36: *Ἄλκμαν δέκα* (Niobae liberos), *Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους.* Gellius Noct. Att. XX. 7: Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos.

44. 45. 46. 47. 48. [38. 40. 41. 42. 39.]

Quae ex Didymi commentariis in Paeanas proferuntur, ea ad res a poeta in his carminibus tractatas spectare consentaneum est, itaque huc pertinet I. Ammon. 70: *Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου φησίν· καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον ἱερόν.* (ita em. Koenius, v. *Ἰσμηνὸν πρῶτον*) κτλ. — II. Schol. Pind. Ol. I. 26: *Περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν.* — III. idem ad Ol. II. 70: *ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει· Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.* — IV. Idem ad Pyth. VI. 4: *ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται* et infra: *ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.* — V. Idem ad Pyth. XII. 45: *ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς.*

VI.

ΔΙΘΥΡΑΜΒΟΙ.

49. [43.]

Schol. Pind. Ol. XIII. 25: *Ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ*

Digitized by Google

πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ. cf. etiam Procl. ap. Phot. Bibl. 239.

50. [44.]

..⏑⏑–⏑⏑––⏑⏑–⏑⏑–
⏑–.....
Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων.

51. [52.]

Strabo IX. 404: *Καὶ ἡ Ὑρία δὲ τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος· ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἣν φησι Πίνδαρος ἐν τοῖς Διθυράμβοις.* (cf. Eust. Il. 264. 44). Hygin. Poet. Astron. 34: „Aristomachus autem dicit quendam Hyriea fuisse Thebis, Pindarus autem in insula Chio. Hunc autem cum Iovem et Mercurium hospitio recepisset, petisse ab his, ut sibi aliquid liberorum nasceretur: itaque, quo facilius petitum impetraret, bovem immolasse et his pro epulis apposuisse: quod cum fecisset, poposcisse Iovem et Mercurium quod corium de bove fuisset detractum, et quod fecerant urinae in corium infudisse, et id sub terra poni iussisse: ex quo postea natum puerum, quem Hyrieus e facto Uriona nomine appellaret: sed vetustate et consuetudine factum est, ut Orion vocaretur. Hic dicitur Thebis Chium venisse, et Oenopionis filiam Meropen per vinum cupiditate incensus compressisse etc."

52. [53]

...⏑⏑–⏑⏑–
⏑–⏑⏑–⏑⏑––⏑–⏑⏑–⏑⏑–
..... *Τρεχέτω δὲ μετά*
Πληϊόναν, ἅμα δ' αὐτῷ κύων (λεοντοδάμας.)

Fr. 50. Et. M. 460. 35: *Θώραξ — ἀφ' οὗ καὶ τὸ ἐμπίμπλασθαι οἴνου θωράσσεσθαι λέγεται — καὶ Πίνδαρος Διθυράμβων πρώτῳ· Ἀλόχῳ ποτὲ θωρηχθεὶς ἐπ' ἀλλοτρίᾳ.* (Sorb. *ἀλόγω ποτε θεωραχθεὶς κτλ.*) Auctius Cram. An. Par. IV. 194, 7: *Ὠρίων, ἐπεὶ καὶ Ὠαρίων ἐν συστολῇ καὶ Πίνδαρος ... Ἀλλ' οὐχ ὅπουτε θωραχθεὶς ἔπεχ' ἀλλότριαϊ ωαρίων.* Adde Meletium ap. Cram. An. Ox. III. 89, 29: *Πίνδαρος διθυράμβῳ· ἀλόγχω ποτὲ θωριχθεὶς ἐπείχεν ἀλλότρια.* (cod. Mon. *ἔπιεχε*, latina versio *ἀλόχω ποτὲ θωραχθεὶς ἐπέχεε ἀλλότρια.*) — V. 2. *Ὠαρίων* tribus syllabis proferendum, nisi *Ὠαρίων* praestat.

Fr. 52. Schol. Pind. Nem. II. 16 ex Aristarcho: *ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζῴδιον.* et: *καὶ ὁτὲ μὲν Πλειάδας καλεῖ πληθυντικῶς, ὁτὲ δὲ Πληϊόνην ὡς μίαν· τρεχέτω δὲ μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων. δοκεῖ γὰρ κατ' αὐτὸν τὸν Πίνδαρον ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις. ὑπομνήματα δὲ τούτων Ζεὺς κατηστέρισε, παρὸ δή φησιν· ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι.* His ultimis explicationem illius versus contineri animadvertit Boeckh, itaque *τρέχων* coniecit, sed potius hic *ἐπίτω* legendum: Iovis enim sunt verba. *Λεοντοδάμας* Boeckh probabiliter adiecit

Digitized by Google

53. [45.]



ex Luciano pro imag. c. 18: *ὡς ὁ τὸν Ὡρίωνος κύνα ἐπαινῶν ἔφη ποιητὴς λεοντοδάμαν αὐτόν.* Huc pertinet Et. M. 675, 36: *λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληϊόνης πορευομένης μετὰ τῶν θυγατρῶν κατὰ τὴν Βοιωτίαν συναντῆσαι αὐτῇ Ὡρίωνα· εἶτα ἐρασθεὶς ὥρμησε πρὸς τὸ ἁρπάσαι, τὴν δὲ φεύγουσαν μετὰ τῶν θυγατρῶν Ὡρίων ἐδίωκε, γενέσθαι δὲ αὐτῶν τὸν δρόμον πέντε ἔτη ἀδιάλειπτον· τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν οἰονεὶ μνήματα καταστερίσαι τὰς Πλειάδας φευγούσας τὸν Ὡρίωνα, ὅς ἐστιν ἐνιαυτός.* cf. Eust. Od. 1712, 49. Eudoc. 339.

Fr. 53. Dionys. Hal. de comp. verb. c. 22: *ποιητῶν μὲν οὖν Πίνδαρος ἀρκέσει παραχληθείς, συγγραφέων δὲ [Θουκυδίδης· κράτιστοι γὰρ οὗτοι ποιητῶν τῆς αὐστηρᾶς ἁρμονίας· ἀρχέτω δὲ Πίνδαρος καὶ τούτου διθύραμβός τις, οὗ ἐστιν ἀρχή· Ἴδετ' ἐν χορὸν κτλ.* et deinde, ubi totum locum adscripsit, v. 1—8. singulatim examinans repetit. Codices collati sunt Parisinus n. 1741 ap. Schneidewinum (P), Darmstadiensis a Werfero in Actis Monac. (D), Guelpherbytanus a Schneidero (Gu), Monacensis a Goellero (M), deinde tres libri, duo Regii, tertius Colbertinus ab Hudsono,

Digitized by Google

Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,
ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν·
ἰοδετᾶν λάβετε στεφάνων
τῶν ἐαριδρέπτων λοιβάν, Διόθεν τέ με σὺν ἀγλαᾷ
ἴδετε πορευθέντ' ἀοιδᾷ δεύτερον
ἐπὶ κισσοδέταν θεόν,
τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν

qui quidem hic videtur tantum Parisino illo libro n. 1741 usus esse, (signavi littera H), porro alius codex collatus a Gerhardo (signavi G, fort. Vratislaviensis), denique libri Victoriani tres ut Goellero videtur (R. v. l.) sed imprimis littera l potius indicari plerumque videtur, quomodo Victorius corrigendum censuerit, ita ut his lectionibus Victorianis non multum sit tribuendum. — V. 1. *ἴδετ'* codd., ut videtur, omnes, praeter vl, qui ut vulgo *δεῦτ'*, *ἴδετε* verum esse ostendit ipse Dionysius, cum dicit: *τὸ πρῶτον αὐτῷ κῶλον ἐκ τεσσάρων σύγκειται λέξεως μορίων, ῥήματος, καὶ συνδέσμου καὶ δυοῖν προσηγορικοῖν. τὸ μὲν οὖν ῥῆμα καὶ ὁ σύνδεσμος συναλοιφῇ κερασθέντα οὐκ ἀηδῆ πεποίηκε τὴν ἁρμονίαν.* Cf. Cram. An. Ox. I. 169, 19: *ἡ ἐν — κατὰ δὲ Βοιωτοὺς καὶ αἰτιατικῇ (συντάσσεται) οὕτως γὰρ ἔχει καὶ τὸ παρὰ Πινδάρῳ· Ἴδετε δ' ἐν χ. Ὀλ.* et 176, 5: *Βοιωτοὶ γὰρ τὴν ἐν πρόθεσιν συντάσσουσιν αἰτιατικῇ, Ἴδετ' ἐν χ. Ὀλ. Πίνδαρος*, et Gramm. in Mus. Philol. Cantabr. IV. 112: *ὡς παρὰ Πινδάρῳ· καλεῖτ' ἐς χορὸν Ὀλύμπιοι ἀντὶ τοῦ καλεῖσθε.* cf. Boisson. An. III. 239 (ubi *Ὀλύμπια*) *ἐν χορὸν* affert Gregor. Cor. 355. Ceterum P *ἐν σχορόν.* — V. 2. *πέμπετε*, P *πέμπεται.* — V. 4. *Ἀθάναις* Boeckh, vulgo *Ἀθήναις.* — V. 6. *ἰοδετᾶν* Boeckh, vulgo *ἰοδετῶν* et sic PR, *ἰοδέτην* Ald. GuH, *ἰαδέτων* GD, *ὅδ' ἐγὼν* l. — *λάβετε* vulgo et sic Gu primum, sed deinde *λάχεται*, GP(H)DM Ald. *λάχετε*, l *λάχει.* — *στεφάνων*, G *στέφανον.* — V. 7. *τῶν ἐαριδρέπτων*, P(H)Gu *τ' ἀντ' ἐαριδρέπων*, Ald. *τάν τ' ἔαρι δρέπων*, D *τάν τ' ἐαριδρέπτων*, M *τάν τε ἀριδρέπτων*, R *τάν τε ἐριδρέπτων*, G *τάν τε ἀγριδρέπτων.* Infra Ald. *τ' αὖτ' ἔαρι δρέπων*, l *τ' ἀντ' ἔαρι δρόπων*, et R *ταν.* — *λοιβάν, ἀοιδάν* DGM et Gu altero loco, Boeckh scripsit *ἰοδετᾶν λάχετε στεφάνων τᾶν τ' ἐαριδρέπτων λοιβᾶν*, Hermann *τὰν ἐαρόδρεπτον* (Schneidewin *ἐαρίδρεπτον*) *λοιβάν* vel *ἰοδέταν λάβετε στέφανον τᾶν γ' ἐαριδρέπτων λοιβᾶν.* Si *λάχετε* probaveris, non iam potest pro imperativo accipi, sed erit *ἐλάχετε* pariterque *ἴδετε* quod sequitur *εἴδετε.* Conieci *πανδαίδαλόν τ' εὐκλέ' ἀγορὰν ἰοδέταν λάχετε, στεφάνων τῶν* (vel *τάνδ'*) *ἐαριδρέπτων λοιβὰν Διόθεν τέ με ... ἴδετε.* Dionysius vulgatam tueri videtur, sed potest is prava lectione deceptus esse. — *σὺν ἀγλαᾷ ἴδετε πορευθέντ' ἀοιδᾷ* Boeckh, *σὺν ἀγλαιᾷ ἴδετε πορευθέντ' ἐν ἀοιδαῖς* Heyne, *σὺν ἀγλαΐᾳ ἴ. πορευθέντες ἀοιδαῖς* vulgo, sed PGu (priore l.) Ald. *ἀοιδαί*, DRl *ἀοιδάν*, unde Schneidewin *σὺν ἀγλαΐᾳ ... ἐς ἀοιδάν.* — V. 9. *ἔπι*, *ἔπὶ τὸν* P(H)GuG Ald. probante Schneidewino. — *κισσοδέταν*, P corr. *κισσοδότραν*, (a pr. m. *κισσοδόμ*) v HGu *κισσοδότραν*, MGDl *κισσοδαᾶ*, Ald. *κισσουδὲ ταν.* — *θεόν, τὸν*, Gu *θνητὸν*, R *θνατόν.* — V. 10. *τὸν Βρόμιον Ἐριβόαν τε* scripsi, et sic H, vulgo *δν Βρόμιον δν Ἐριβόαν*, PGu Ald. *τὸν βρόμιον τὸν ἐριβόαν τε.* Boeckh *τὸν Βρόμιον τὸν Ἐριβόαν καλέομεν*, eiecto *βροτοὶ* quod omnes libri tueri videntur. — V. 11. affert Scholiast. Isthm. VII. 76: *πληθυντικῶς δὲ εἶπεν ἀντὶ τοῦ ἀδελφῷ τῷ Ποσειδῶνι· σύνηθες δὲ τὸ σχῆμα Πινδάρῳ· ὑπάτων μέν τε πατέρων γυναικων τε Καδμειᾶν ἀντὶ τοῦ Διὸς καὶ Σεμέλης. — ὑπάτων μὲν*

Digitized by Google

γυναικῶν τε Καδμειᾶν ἔμολον.
ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει
φοίνικος ἔρνος, ὁπότ' οἰχθέντος Ὥρᾶν θαλάμου
εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται,
τότ' ἐπ' ἀμβρόταν χέρσον ἐραταί
ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

54. [46.]

– ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον.

DH, *ὑπάτωμεν* P, *μὲν ὑπάτων* Ald., *ὑπάτων γόνον μὲν* Gu, *ὑπάτων τε* vulgo, fortasse recte, antiqua varietas *μὲν* et *τε* fuisse videtur. — *μελπέμεν* Boeckh, *μέλπομεν* vulgo, *μέλπε* PHGu Ald., *μέν τε* l. (idem etiam *μέλπομεν*). — V. 12. *τε* fort. om. H. — *Καδμειᾶν* Schol. Isthm., ut Boeckh coniecerat, v. *Καδμείαν*. — *ἔμολον* HGu Ald., *εμολον* P, vulgo *Σεμέλαν*, Ml *Σεμέλην* (sed in l corr. *ἔμολον*, si vera traduntur) D *μέλαν*. Fort. *Καδμειᾶν μόλον*. — V. 13. *Ἀργείᾳ* Heyne, v. *Ἀργέᾳ*, PHDM Ald. *ἀργεανεμεω*. — V. 14. *ἔρνος*, MPGGuD Ald. *ἐανῶν*, l vero *φοινικοεάων*. Coniici possunt multa, fort. *Ἐν Ἀργείᾳ Νέμεα μάντιν οὐ λανθάνει* (i. e. *non sinit oblivisci*) *φοίνικος, ἐανᾶν ὁπότ' οἰχθέντος Ὥρᾶν θαλάμου*. — *Ὥρᾶν*, PMD *ὥραν*. — V. 15. *ἐπαΐωσιν*, l *ἐπάγοισιν*. — V. 16. *βάλλεται*, DGl *βάλλετε*. — V. 17. *ἀμβρόταν* H, *ἀμσβρόταν* P, *ἄμβροτον* vulgo. — *χέρσον*, PH *χθόν'*. — *ἐραταί* GMl, *ἐρατὰν* PGu Ald., *ἐρωτὰν* H, vulgo *ἐρατὰ*. — V. 18. *ἴων*, *ἴον* H Ald. — *φόβαι* G, Ml *φοβαί*, vulgo *φόβα*. Corrupte PH Ald. *φοβερά τε κόμαισι*. — V. 19. *ἀχεῖ τ' ὀμφαί* scripsi, et sic nuper Schneidewin, vulgo *ὑμνεῖτε ὁμᾷ*, PH *οἰχνεῖτ' ὁμφαῖς*, M Ald. *οἰχνεῖτ' ὁμᾷ*, D *οἰχνεῖτ' ὁμᾷ*, Gu *οἰχεῖτ' ὁμφαῖς*, etiam G *οἰχνεῖτ'*, v. (vel l?) *ἀχεῖτε ὁμᾷ*, apud Apollon. Dysc. de Synt. 223: *ὡς Βοιώτιόν ἐστιν ἔθος, ὅμοιον τῷ παρὰ Πινδάρῳ· Ἀχεῖται ὀμφαὶ μελέων σὺν αὐλοῖς*, unde Herm. *ἀχεῖταί τ' ὀμφαὶ* scripsit. — V. 20. *ἀχεῖ τε* scripsi, atque ita Schneidewin, vulgo *ὑμνεῖτε*, PHM *οἰχνεῖτε*, D *οἰχνεῖται*. Hermann *ἀχεῖται Σεμέλαν*.

Fr. 54. Schol. Arist. Acharn. 673: *παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων· Αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι*. Suid. v. *ἰοστέφανοι* eadem, omisso carm. titulo, et Zonar. 1114: *Πίνδαρος, ἰοστέφανοι Ἀθῆναι*. Auctius Schol. Arist. Nub. 299: *Πίνδαρος· Λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι*, ita Bekker, sed Dübner nescio qua auctoritate *ὦ ταὶ λιπαρ.* nihil monens, nisi *Ἀθῆναι* in V et Ald. legi. Denique plane redintegrat Aristidis Schol.: Aristides enim I. 319: *ἀκούων τὸ τῆς σοφίας πρυτανεῖον καὶ τὴν τῆς Ἑλλάδος ἑστίαν καὶ τὸ ἔρεισμα*. ubi Schol. III. 341: *τὸ δὲ ἔρεισμα πολλοὶ μὲν καὶ ἄλλοι καὶ Πίνδαρος δέ φησιν· ἔρεισμ' Ἀθήνας δαιμόνιον πτολίεθρον*, D *Ἀθηναίων*. (ap. Frommel 115 M *Ἀθηνᾶ εὐδαιμ.*, b *Ἀθάνας δαιμ.*) Cf. Aeschin. Epist. IV. 474 Bekk.: *καὶ εἰ μηδενὸς ἕτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανώπου ἑκάστοτε ἀκούεις λέγοντος· Αἵ τε λιπ. καὶ ἀοιδ. Ἑλλ. ἔρεισμ' Ἀθᾶναι. Καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι*. Inde

Digitized by Google

* 55A. [225].

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –

Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται

Boeckh recepit *αἵ τε*, at cod. a *ὦ τε*, itaque iam dudum correxi *ὦ ταί*, coll. Arist. Eqq. 1329: *Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοιζήλωτοι Ἀθῆναι*, ubi Schol., *ἀπὸ Πινδάρου παρῴδηται.* firmatque Eustath. prooem. 28: *ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι·* (conglutinavit cum initio Pyth. VII.) *κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν οἱ Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ.* Celebrem locum praeterea respiciunt, Isoc. de antid. 166: *Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνου ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν, ὥστε καὶ πρόξενον ποιήσασθαι καὶ μυρίας αὐτῷ δοῦναι δραχμάς.* Plut. vit. Thes. c. 1, de glor. Athen. c. 7, Apophth. Lac. div. c. 6. Lucian. Demosth. Enc. c. 10. Philostr. Imag. II. 12. Pausan. I. 8, 4. Athen. V. 187. D. Iulian. Or. I. 8. C. Damascius ap. Suid. v. *Σουπηριανός*. Liban. T. III. 27. et rursus III. 407 ed. Reiske. Schol. Hesiod. Op. 412. Schol. Aristid. III. 600. Cram. An. Ox. IV. 157. Arsen. 421. Eust. Il. 284, 5. Schol. Pind. Pyth. II. inscr. Vit. Pind. cod. Vrat. T. II. 9. ed. Boeckh. Thomas M. vit. Pind. ib. 4. Fuit autem initium dithyrambi, et his ipsis verbis summa laudum videtur comprehensa fuisse, siquidem Libanius loco priore dicit *μισθὸς τοῦτό γε τῶν εἰς τὴν πόλιν ἐπαίνων βραχέων δή τινων ὄντων.* Boeckh autem coniecit plura ex hoc carmine petiisse Himerium Or. XVI. 2. de Constantinopoli: *Καί μοι δοκεῖ* (Boeckh *δοκῶ*) *καὶ τῆς Πινδάρου λύρας λαβὼν μέλος ἐκεῖθεν εἰς αὐτὴν ἀναφθέγξασθαι, εἰ καὶ τῆς Ἑλλάδος μὲν εἰπεῖν ἔρεισμα μικρόν, ὅπερ εἰς τὰς Ἀθήνας ἦσται Πινδάρῳ, πάσης δὲ τῆς ὑφ' ἥλιον ἥδιστον ἄγαλμα. σὲ μὲν καὶ Ποσειδῶν ὁ βασιλεὺς ὁ θαλάσσιος γλαυκοῖς περιβάλλει τοῖς κύμασιν οἷά τινα νύμφην Ναΐδα, καὶ πανταχόθεν περιπτύσσει καὶ γέγηθε, σὲ δὲ Νηρηΐδων ἁλιπορφύρων χοροὶ ἄκροις ἐπισειρτῶντες τοῖς κύμασι κύκλῳ περὶ πᾶσαν χορεύουσι κτλ.* Sed hoc satis incertum.

Fr. 55A. Plut. de Glor. Athen. c. 7 de imperatoribus Atticis, Miltiadis et Themistocletibus: *Ἀρήιος ὁ κῶμος οὗτος, ἐκ γῆς ἅμα φάλαγξι καὶ στόλοις ἐκ θαλάσσης καὶ μεμιγμένοις σκύλοις καὶ τροπαίοις βεβριθώς· Κλῦθι, Ἔνυώ* (Ald. Bas. *ἄννα ἐγώ*, E *ἀννα . . . γω*, G *ἀνάγω*) *Πολέμου θ. ἐ. π. ἀμφύετε* (vel *ἐνφύετε*), *ἄνδρες, τὸν ἐρόθυτον θανατον, ὡς ὁ Θηβαῖος Ἐπαμινώνδας εἶπεν, ὑπὲρ πατρίδος καὶ τάφων καὶ ἱερῶν ἐπιδιδόντες ἑαυτοὺς τοῖς καλλίστοις καὶ λαμπροτάτοις ἀγῶσιν.* Xylander et Wyttenbach *ὡς ὁ Θηβαῖος Πίνδαρος* coniecerunt, Haupt *ὁ Θηβαῖος* deleto vocabulo *Ἐπαμινώνδας*, contra C. Fr. Hermann vitium verbo *εἶπεν* inesse putat, et *ἔπεσεν* coniecit, at Epaminondae memoria omnino aliena ab hoc loco, et Pindari haec esse etiam aliunde confirmatur, maxime scholio Aesch. Pers. v. 49. quod Haupt edidit, ubi cum vulgo *στεῦνται* legitur, scholiasta ille *στεῦται* legit: *κλῦθι ἀλλα πολέμου θύγατερ ἀιθύεται ἄνδρες ἐν διθυράμβῳ· οὕτως στεῦται ἐνικὸν ἀντὶ πληθυντικοῦ.* nam Pindarici schematis exemplum ex Pindari dithyrambo afferri consentaneum est. V. 1. Plut. de fraterno am. c. 11 sine poetae nomine affert, ubi recte *κλῦθ' Ἀλαλὰ* et Herodian. *π. μον. λέξ.* 39, 5. *τὸ γὰρ ἀλαλὴ οὐ φύσει τρισύλλαβον. Κλῦθ' ἀλαλὰ Πολέμου θυγάτηρ.* Porro Athen. I. 19. A. *οἱ δ' ἐν τῇ Ἰλιακῇ πολιτείᾳ μονονοὺ βοῶσι κλῦθ'* (*κλῦσθ'* BCD) *ἀλαλὰ* (BCD *ἀλλὰ*, VL *ἀλάλα*) *π. θύγατερ ἐγχέων* (sic L, *εὐχέων* V) *προοίμιον*, eademque Eust. Il. 994, 59. — *ᾇ θύεται* correxit Haupt ex Schol. Aesch.

Digitized by Google

ἄνδρες (ὑπὲρ πόλιος) τὸν ἱρόθυτον θάνατον.

* 55B. [196].

.... ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – ⏑ ⏑ – –

– ⏓ ⏑ ⏓ ⏑ ⏑ –

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ' ἐλευθερίας.

56. 57. [47. 48.]

⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – –

⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ –

Πρὶν μὲν εἶρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων
καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.

αἰθύεται. Pro Plutarcheo ἀμφύετε Reiske ἀμφιέννυτε, ego ἀμφιεσθ' vel ὀμφύνετ', Schneidewin ἄνα, δῦτ', ἄνδρες coniecit. — V. 3. Haupt probabiliter redintegravit ex Herodiano π. σχημάτων 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφορ'ν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων*) *καὶ ἰαχεῖ βαρυσθεγκτᾶν ἀγέλαι λεόντων*, unde *ὑπὲρ πόλιος* scripsi, Haupt *ὑπὲρ πόλιων*. — *ἱρόθυτον* Haupt, *ἱερόθυτον* Plut. Ceterum de versuum descriptione ambigi potest. Est autem haud dubie initium Dithyrambi, ubi haud obscure Atheniensium fortitudinem celebrat: itaque coniicias ad idem hoc carmen pertinere Fr. 55B.

Fr. 55B. Est haud dubie ex eodem *dithyrumbo*, ex quo Fr. 55A., nisi ad Fr. 54. referre malueris, vid. Plut. de glor. Athen. c. 7: *ἐν τούτοις Πίνδαρος ἐρεισμα τῆς Ἑλλάδος προσεῖπε τὰς Ἀθήνας, οὐχ ὅτι — ἀλλ' ὅτι πρῶτον, ὥς φησιν αὐτός, ἐπ' Ἀρτεμισίῳ παῖδες Ἀθηναίων ἐβ. φαεινὴν κρ. ἐλ., ἐπί τε Σαλαμῖνα καὶ Μυκάλῃ καὶ Πλαταιαῖς, ὥσπερ ἀδαμάντινοι στηρίξαντες τὴν ἐλευθερίαν τῆς Ἑλλάδος παρέδοσαν τοῖς ἄλλοις ἀνθρώποις.* ubi certo verba *ὥσπερ ἀδαμάντινοι* ex hoc ipso Pindari carmine petita videntur. Legitur iterum ap. Plut. vit. Themist. c. 8: *ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν· ὅθι* (sic Stephanus, libri *ὅτι,*) *π. Α. ἐ. φαεννὰν* (Bc *φανερὰν*, ia *φαενὰν*) *κ. ἐλ.* et de Herod. malign. c. 34 ubi item *ὅτι* (D *ὅθι*), et sine poetae n. de sera numinis vind. c. 6 ubi *ὅθι*. Respicit Aristid. II. 251: *ὡς φησι Πίνδαρος, κρηπῖδα τῆς ἐλευθερίας τοῖς Ἕλλησι βαλλόμενος* (*Θεμιστοκλῆς*), ubi sch. III. 600 *ἔρεισμα Ἑλλάδος* comparat. — V. 1. *Ἀθαναίων* Boeckh, v. *Ἀθηναίων*. — V. 2. *κρηπῖδ'*, in proecdosi scripsi *κρηπίδ'*.

Fr. 56. et 57. Ex uno eodemque carmine petita esse docet Strabo X. 469: *Μάρτυρες δ' οἱ ποιηταὶ τῶν τοιούτων ὑπονοιῶν· ὅ τε γὰρ Πίνδαρος ἐν τῷ διθυράμβῳ, οὗ ἡ ἀρχή· Πρὶν μὲν εἶρπε σχοινοτονίας* (σχοῖνος τονίας K, *σχοινογονίας* hi) *τ' ἀοιδὰ* (BKlnox *ἀοιδαὶ*) *διθυράμβῳ* (x *διθυράμβων*). *μνησθεὶς δὲ τῶν περὶ τὸν Διόνυσον ὕμνων τῶν τε παλαιῶν καὶ τῶν ὕστερον, μεταβὰς ἀπὸ τούτων φησί· Σοὶ μὲν ... πεύκαις. τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν Μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις.* Fr. prius auctius affert Athen. XI. 467 B: *καὶ Πίνδαρος δέ φησι· Πρὶν μὲν ἦρπε σχοινοτενείατα οἶδα καὶ τὸ σὰν κίβδηλον ἀπὸ στομάτων.* adde X. 455 C.: *Πίνδαρος δὲ πρὸς τὴν ἀσιγμοποιηθεῖσαν ᾠδὴν ... ἐποίησε· Πρὶν μὲν εἶρπε* (PVL *εἰρπε*) *σχοινοτενία τὰ οἶδα καὶ τὸ σὰν τι βόηλον* (ita AB, nisi quod B *σᾶν*, P *σαντιβόηλον*, VL *τὸ σὰν κίβδηλον*) *ἀνθρώποις.* (V *ἀνθρώποι*, L Bas. *ἄνθρωποι*). Respiciunt Athen. X. 488 D. Eust. II. 1335. 52. et Dionys. de comp. verb. c. 14: *εἰσὶ δὲ οἱ ἀσίγμους ᾠδὰς ὅλας ἐποίουν, δηλοῖ δὲ τοῦτο Πίνδαρος ἐν οἷς φησι· Πρὶν μὲν ἤρπε* (l *ηρπε*) *σχοινοτενῆ φωνήεντα* (l *σχοινοτενεῖ ατα οἶδα* haud dubie ex Ath.) *διθ. καὶ τὸ σὰν κίβδαλον ἄνθρωποι* (MG *ἀνθρώποις*). Recte Boeckh *σχοινοτένειά τ' ἀοιδὰ* correxit.

Digitized by Google

. . . . . – –́ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – –

. . . . . σοὶ μὲν κατάρχειν,
μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων,
ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δᾷς ὑπο ξανθαῖσι πεύκαις.

58. [49.]

. . . . . ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏓

. . . . Σὲ δ' ἐγὼ παρά μιν
αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Διί,
φίλτερον σιγῷμι πάμπαν· οὐ γὰρ ἐοικός
ἁρπαζομένων τῶν ἐόντων καθῆσθαι παρ' ἑστίᾳ,
καὶ κακὸν ἔμμεναι.

59. [50.]

–́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – ⏓

Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον.

Fr. 57. V. 1. κατάρχειν Hermann, κατάρχει ap. Strab. — V. 2. μᾶτερ μεγάλα, πάρα Boeckh, vulgo μᾶτερ, πάρα μεγάλαι et sic B (ex corr.) CE his, μᾶτερ, πάρα μεγάλοι reliqui. — ῥόμβοι, codd. ῥοίμβοι, fort. ῥύμβοι. — V. 3. κεχλάδειν Hermann, codd. καχλάδων. — ib. κρόταλ' scripsi, vulgo κρόταλα. — V. 4. δᾷς Boeckh, v. δαΐς, Bk δαῖς, Chlox δᾷς, D δὰς. — ξανθαῖσι, Bkl ξανθῇσι.

Fr. 58. Aristid. II. 70: Λοκεῖ δέ μοι καὶ Πίνδαρος, εἴ τι δεῖ περὶ τοῦ ᾄσματος εἰπεῖν, οὐκ εἰσηγούμενος οὐδὲ συμβουλεύων σπουδῇ ταῦτα λέγειν τοῖς ἀνθρώποις, ἀλλ' ὡσπερεὶ σχετλιάζων. τεκμαίρομαι ἔργοισιν Ἡρακλέος αὐτοῖς τούτοις, ὅτι καὶ ἔτ ἐρωθι μεμνημένος περὶ αὐτῶν ἐν διθυράμβῳ τινί· σὲ δ' ἐγὼ παρ' ἁμίν, φησίν, αἰ. μ. Γηρυόνη, τὸ δὲ μὴ Διΐ φιλ. σιγῶμι πάμπαν· οὐ γὰρ εἰκός, φησίν, ἁρπαζομένων τῶν ὄντων καθῆσθαι παρ' ἑστίᾳ καὶ κακὸν εἶναι. — V. 1. παρά μιν Hermann, vulgo παρ' ἁμίν, LN παράμιν. et Schol. III. 409: σὲ δέ, ὦ Γηρυόνη, ἐπαινῶ παρ' αὐτὸν τὸν Ἡρακλέα. ὁ μὲν γὰρ τὰ οὐκ ὄντα ἀφείλετο ἐν βιαίᾳ χειρί, σὺ δὲ ὡς ἀδικούμενος μάχην πρὸς αὐτὸν ἦρας, καὶ διὰ τοῦτο μᾶλλον ἀποδεκτός. — V. 2. Γηρυόνα Boeckh, vulgo Γηρυόνη, L γηρύονι, N γηρυόνι. — Διί, vulgo Διΐ, Hermann Δί. — V. 3. σιγῷμι Boeckh et sic lemma schol., vulgo σιγῶμι, N σιγῶ μὲ, M σιγῶμι μή. Fort. σίγαμι. — ἐοικὸς sicut deinde ἐόντων et ἔμμεναι Boeckh, vulgo εἰκὸς ... ὄντων ... εἶναι, et fortasse καὶ κακὸν εἶναι Aristides de suo adiecit. Hermanno omnia inde ab οὐ γὰρ εἰκὸς ab Aristide profecta videntur.

Fr. 59. Schol. Pind. Pyth. II. Inscr.: καὶ τὴν Αἴγυπτον ἐν Διθυράμβοις· τὰν κτλ. ἀγχίκρημνον cod. Gott., vulgo ἄγει κνήμων.

Digitized by Google

60. [51.]

–́ ⏑ ⏑͡⏑ –́ ⏑ – –́ ⏑ ⏑͡⏑ ⏑͡⏑́ ⏑ ⏓

Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

61. [54.]

Harpocrat. 142: *παλιναίρετος — ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.* Eadem Phot. 373, 11.

* 62. [55.]

Et. M. 274, 50: *Διθύραμβος — Πίνδαρος δὲ φησὶ λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα Λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. Ἡρωδιανὸς δὲ φησὶ τὰ προςτακτικὰ μὴ συντίθεσθαι.* Similia cod. Sorb. ap. Gaisf., Et. Gud. 146, 47. Et. Angelicanum a Ritschelio editum, denique Cyrillus (cod. Vindob. n. 319): *Ὁ Πίνδαρος λυθίραμμόν φησι αὐτόν· καὶ γὰρ ὁ Ζεὺς τικτόμενος αὐτοῦ ἔκραζεν· λῦθι λῦθι ῥάμμα.* cf. etiam Proclus ap. Phot. Bibl. 239: *ὁ δὲ Διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, προςαγορεύεται δὲ ἐξ αὐτοῦ ἤτοι διὰ τὸ κατὰ τὴν Νύσσαν ἐπ' ἄντρῳ τραφῆναι τὸν Διόνυσον ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς εὑρεθῆναι αὐτόν, ἢ διότι δὶς δοκεῖ γενέσθαι, ἅπαξ μὲν ἐκ τῆς Σεμέλης, δεύτερον δὲ ἐκ τοῦ μηροῦ· εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει,* quod pertinet ad Ol. XIII. 18.

* 63. [56.]

Choeroboscus I. 279: *εἶτα αὕτη ἡ αἰτιατικὴ φημὶ δὲ ἡ ἴκτινον κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα, ὥςπερ — διθύραμβον διθυραμβα παρὰ Πινδάρῳ.*

Fr. 60. Schol. Pind. Ol. VI. 152: *ὅτι διὰ τὴν ἀγροικίαν καὶ ἀναγωγίαν τοπαλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκαλοῦντο, καθάπερ καὶ αὐτὸς ἐν τοῖς Διθυράμβοις· Ἦν ... ὅτε σ. τὸ Β. ἔθνος ἔλεγον.* Strabo VII. 321: *ἦν ὅτι σύας* (sic E, *σοιας* ABC, *ὕας* lno et vulgo) *Βοι. ἔ. ἔνεπον* (E *ἔννεπον*) articulo omisso, qui etiam deest ap. Galen. Protrep. c. I.

Digitized by Google

V.

ΠΡΟΣΟΔΙΑ.

ΕΙΣ ΔΗΛΟΝ.

64. 65. [58.]

– ⏑ – – ⏑ ⏑ – ⏑ –
– ⏑ – – ⏑ ⏑ – ⏑ – –
– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏑ ⏑ – ⏑ ⏑ – ⏑ – – –
– ⏑ – – ⏑ ⏑ –
⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – –
⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –

Χαῖρ', ὦ Θεοδμάτα, λιπαροπλοκάμου *Στρ.*
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἄντε βροτοί
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον
κυανέας χθονὸς ἄστρον.

. . . . . .

. . . . . *Ἀντ.*
ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων

Fr. 64. et 65. recte Boeckh ad unum idemque carmen retulit, estque fortasse illud Ceis scriptum, quale ipse poeta carmen significat Isthm. I. init. ubi schol.: *Οἱ Κεῖοι Δηλιακὸν παιᾶνα ἠξίουν τὸν ποιητὴν γράψαι* et alius *μέλλοντος γὰρ Κέιος γράφειν προσοδιακὸν παιᾶνα κτλ.* unde Boeckh *Παιὰν Δηλιακὸς προσοδιακὸς* inscripsit. Respicit Sch. Callim. in Del. 28. — Fr. 64. Philo de corrupt. mundi p. 961 (ed. Francof. a. 1691): *τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν, δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ ἀναφανεῖσα δῆλη ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι· Χαῖρ' ὦ κτλ.* — V. 1. *Θεοδμάτα*, ed. Franc. *θεοτίμητε*. — V. 2. *παίδεσσι* Boeckh, vulgo *παιδὸς*, ed. Fr. *παιδὸς ἦ*. — V. 3. *θύγατερ*, quod Hermann coni., ed. Fr., vulgo *θυγάτηρ*. — V. 4. *τηλέφαντον* scripsi, vulgo *τηλέφατον*. — Fr. 65. Strabo X. 485: *Μυθεύεται γὰρ ἐνταῦθα ἡ Λητὼ τὰς ὠδῖνας ἀποθέσθαι τοῦ τε Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος· ἦν γὰρ τοπ᾽ροιθεν οὐ φορητά, φησὶν ὁ Πίνδαρος κτλ.* (om. fragm. xy, initium usque ad *Κοιογενὴς* no.). Apparet vel ex totius loci sententia strophan hanc et antistropham continuo se excepisse, nisi quod strophae finis, antistrophae initium interiit. V. 1. *πάροιθε φορητὰ κυμάτεσσι* Schol. Hom. Od. *κ'*. 3. (Cram. An. Par. III. 464, 7. Eust. 1644. 54): *οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος λέγων οὕτως· ἦν γ. τ. πάροιθε φορητὰ κυμάτεσσι Δῆλος* (*Δᾶλος* An. Eust.) *παντ. ἀν. ῥιπαῖς*. ubi *Δῆλος* ex interpretatione additum. Strabo *πάροιθεν οὐ φορητὰ κύμασί τε*. sed *κυματεσσι* D a pr. m. (a sec. *κυμάτεσι* ut Cl) — *τ' ἀνέμων* Tzschucke,

Digitized by Google

ῥιπαῖσιν· ἀλλ' ἃ Κοιογενὴς ὁπότ' ὠθίνεσσι θύοισ' ἀγχιτόκοις ἐπέβα νιν,
δὴ τότε τέσσαρες ὀρθαί
πρέμνων ἀπώρουσαν χθονίων,
ἀν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

ΑΙΓΙΝΗΤΑΙΣ ΕΙΣ ΑΦΑΙΑΝ.

66. [59.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
– ⏑ – – – ⏑ – – – ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ – –
Τί κάλλιον ἀρχομένοισιν ἢ καταπανομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;

ΕΙΣ ΛΕΛΦΟΥΣ.

* 67. [60.]

... ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
x – ⏑ – ⏑ ⏑ – ⏑ – –
x – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
– ⏑ ⏑ – ⏑ – – ⏑ ⏑ –
⏑ – – ⏑ – – ⏑ ⏑ – ⏑ – –
... Πρὸς Ὀλυμπίου Διός σε,
χρυσέα κλιτόμαντι Πυθοῖ,

vulgo copula deest. — V. 2. *ἀλλ' ἃ Κοιογενης* correxit Porson, *ἀλλὰ Κοίου γένος* Schneider, vulgo *ἀλλὰ καὶ ὁ γένος*, D *ἀλλὰ καιογενὴς*, Cs *ἀλλὰ καὶ ὁ γένης*, Bk *ἀλλ' ἀκαιογένης*, hi *ἀλλὰ καινογενής*. — *ὠδίνεσσι* Boeckh, *ὠδίνεσι* BDhios, *ὠδίναισι* k, *ὀδύναισι* vulgo. — *θύοισ'* scripsi, *θύοις* CDhl, *θείαις* Bkinos, *θοαῖς* Boeckh. — *ἐπέβα νιν* Porson, *ἐπέβαινεν* Schneider, vulgo *ἐπιβαίνειν*. — V. 4. *πρέμνων* Hermann, *πρεμνῶν* Bk, *πρυμνῶν* CDhilos. — V. 5. *δ' ἐπικράνοις* Porson, *δ' ἐπὶ κρανοῖς* Bls, *δ' ἐκράνοις* h, *δὲ κράνοις* i, *δ' ἐπὶ κραναῇ* kno. — *σχέθον*, *σχεδὸν* Bk. — *πέτραν*, *πέτρᾳ* Bklno. — V. 6. *τεκοῖσ'*, *τέκοις* Cl, *τόκοις* h, *τέκειν* no. — *ἐπόψατο* om. no. — *ἀδαμαντοπέδιλοι* respicit Plutarch. de fac. in orbe lunae c. 6: *τὴν δὲ γῆν κατὰ Πίνδαρον ἀδαμαντοπέδιλοι κίονες περιέχουσιν*. Cf. praeterea Seneca Qu. Nat. VI. 26: „Hanc (Delum) philosophi quoque credula natio dixerunt non moveri auctore Pindaro."

Fr. 66. Schol. Aristoph. Eqq. 1263: *τοῦτο ἀρχὴ προσοδίου Πινδάρου· ἔχει δὲ οὕτω· Τί κάλλιον κτλ.* Suid. s. v. *προσόδια· ὕμνοι· Ἀρχὴ προσοδίου· τί κάλλιον ἀρ. ἢ κ. ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν*, quod per errorem ductum ex Aristophanis versu, quem dixi. V. 1. fortasse *καταπανομένοις* praestat, atque Θ et hoc et *ἀρχομένοις* exhibet. — V. 2. Ven. *ἐλάτηραν*. — Recte autem Boeckh huc respexisse censuit Pausaniam II. 30, 3: *Ἐν Αἰγίνῃ δὲ πρὸς τὸ ὄρος τοῦ Πανελληνίου Διὸς ἰοῦσίν ἐστιν Ἀφαίας ἱερόν, ἐς ἣν καὶ Πίνδαρος ᾆσμα Αἰγινήταις ἐποίησεν.*

Fr. 67. Aristid. II. 510: *ἑτέρωθι δὲ ἔτι λιμπρότερον (Πίνδαρός φησι)· Πρὸς Ὀλ. κτλ. ὁρᾷς, ὡς εὐχόμενος μεταξὺ οὐ κατέσχεν ἑαυτόν, ἀλλὰ κάν-*

Digitized by Google

λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι χορῷ
ἀοίδιμον Πιερίδων προφάταν.

---

68. [61.]

Porphyr. de Abst. III. 251: *Πίνδαρος δὲ ἐν προςῳδίοις (προςοδίοις) πάντας τοὺς θεοὺς ἐποίησεν, ὁπότε ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἄλλοις* (Wesseling et Unger emendaverunt *τοῖς ἀλόγοις*) *ζῴοις.*

* 69. [93.]

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – . . . . .
* * *
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
5 ⏑́⏑ ⏑ – ⏑ . . . . .

Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται.
* * *

ἀλλ' οἶος ἄπλατον κεράϊζες θεῶν
Τυφῶνα πεντηκοντακέφαλον ἀνάγκᾳ, Ζεῦ πάτερ,

ταῦθα ἐσεμνολογήσατο. — V. 3. *λίσσομαι* Stephanus, *Γ ᾄσομαι, Θ ἄσομαι.* ib. *Χαρίτεσσι* Hermann, vulgo *Χάριτες.* — V. 4. *χορῷ* scripsi, *ΓΘ χρόνῳ,* vulgo *χώρῳ*, Kayser et Schneidewin coni. *θρόνῳ* coll. Pausan. X. 24, 4. — V. 5. *Πιερίδων* Canter; vulgo *Πιερίων.* Ad Prosodium Delphicum probabiliter retulit Boeckh.

Fr. 69. Strabo XIII. 626: *Πίνδαρος δὲ συνοικειοῖ τοῖς ἐν τῇ Κιλικίᾳ τὰ ἐν Πιθηκούσσαις, ἅπερ ἐστὶ πρὸ τῆς Κυμαίας, καὶ τὰ ἐν Σικελίᾳ, καὶ γὰρ τῇ Αἴτνῃ φησὶν ὑποκεῖσθαι τὸν Τυφῶνα, τόν ποτε Κιλίκιον κτλ.* (Pyth. I. 16.) — *καὶ πάλιν· κείνῳ κτλ. καὶ πάλιν· Ἀλλ' οἶος κτλ.* ex eodem carmine utrumque fr. petitum, nam sic demum id quod Strabo vult probant. Respicere videtur huc Iulian. Epist. XXIV. 395: *Καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος τὴν ἀναίρεσιν τοῦ Τυφωέος ἐν ἐπινικίοις κηρύττων καὶ τοῦ μεγίστου τούτου γίγαντος κράτος τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθείς, οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν ὑπερβολήν, ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν. ὡς οὐδέ τινος ἄλλου εἰς χεῖρας τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος, ἢ ὃν ἂν ἡ μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὐδὲ ἑτέρου τινὸς θεῶν ἢ μόνου Διὸς ἀξιονικοτέρου πρὸς ταύτην τοσούτου γίγαντος καθαίρεσιν ὄντος.* — V. 4. in proecdosi *πεντηκοντακέφαλλον* scripsi, vid. Phot. 188, 11: *κυνοκέφαλον· ἐν τοῖς δύο λλ λέγουσιν, οὕτως Ἀριστοφάνης.* (Eqq. 417.) cf. etiam Hesiod. Theog. 287. et ap. Strab. I. 43: *Ἡμίκυνες καὶ Πυγμαῖοι καὶ Μακροκέφαλλοι.* Hermann probabiliter *Τυφῶν' ἑκατοντακάρανον*, quod commendat Iuliani ille locus

Digitized by Google

5 *ἐν Ἀρίμοις ποτέ.*

70.

Μεμναίατ' ἀοιδᾶς.

VI.

ΠΑΡΘΕΝΙΑ.

ΠΑΝΙ. 71—76.

71. [63.]

x – – ⏑ ⏑ – ⏑ – – x – ⏑ ⏑ – ⏑ –
. . . . . .
– ⏑ ⏑ – ⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ –

Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,

. . . . . .

Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.

* 72. [66.]

220. [259.]

.. – – ⏑ – – – – ...
⏑ – – – – ⏑ – – ⏑ –
– ⏑ – ⏑ – – – [–] ...
.... *ἁλίου δελφῖνος ὑπόκρισιν ..*
τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος·

Fr. 216. Schol. Pind. Nem. VII. 87: *Ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· Τόλμα κτλ.*

Fr. 217. Plut. vit. Marcell. c. 29: *ἀλλὰ γὰρ τὸ πεπρ. οὐ πῦρ, οὐ σιδαροῦν* (BM *σιδηροῦν*) *σχήσει τεῖχος, κατὰ Πίνδαρον.* Correxit Boeckh.

Fr. 218. Clem. Alex. Paedag. III. 307: *Π. δὲ ἀ. οὐδὲν κατὰ Πίνδαρον.*

Fr. 219. Plutarch. de virt. mor. c. 12: *ὑφ' ἅρμασι γὰρ ἵππος, ὡς φησι Πίνδαρος, ἐν δ' ἀρότρῳ βοῦς, Κάπρῳ δὲ κτλ.* Auctius affert sine poetae nom. de tranquill. anim. c. 14. — V. 1. *ὑφ'*, altero loco *ἐν*. — V. 3. *βουλεύοντα* priore loco B Ven. 3. et altero loco C, *βουλεύοντι* reliqui.

Fr. 220. Plut. Sympos. Quaest. VII. 5, 2: *Ὁ δὲ Πίνδαρός φησι κεκινῆσθαι πρὸς ᾠδὴν ἁλίου δελφ. κτλ.* Idem de Sollert. Anim. c. 36: *ᾧ* (*δελφῖνι*) *καὶ Πίνδαρος ἀπεικάζων ἑαυτὸν ἐρεθίζεσθαί φησιν, οὐ δελφῖνος ἀπόκρισιν, τὸν μ. ἀ. ἐκ πόντου π. αὐ. ἐκίνησεν ἑ. μ.* V. 1. fort. *ἐναλίου δελφῖνος ὑπόκρισιν ἐρεθίζομαι.*

Digitized by Google

221. [260.]

⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.

222. [261.]

⏑ ⏓ ⏑ ⏑ – ⏓ ⏑ – –

⏑ ⏓ ⏑ – – ⏓ ⏑ –

Ὄπισθε δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων.

223. [262.]

⏓ ⏑ – – ⏓ – – ⏓ ⏑ –

⏑ ⏓ – [–] ....

Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων
λεόντων τε. .....

224. [265.]

...⏑ ⏑ – ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ – –

Ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.

225. [269.]

..– – – ⏓ ⏑ – –

Μὴ σιγᾷ βρεχέσθω.

226. [280.]

Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.

Fr. 221. Schol. ad Hom. Od. κ'. 240: *φιλάνορα — (δελφῖνες) κατὰ τὸν Πίνδαρον.* Cf. Eust. 1657, 13.

Fr. 222. Aristid. II. 509: *Πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα καὶ οὐκ εἰδότα, ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκε· ὄπισθεν δὲ κ. θαρσειᾶν κτλ. ὄπισθε* Boeckh, *θρασειᾶν ΓΘ.*

Fr. 223. Schol. Pind. Pyth. II. 31: *καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεύεσθαι καὶ κτιλεύεσθαι λέγει· ἔνθα ποιμένες κτλ.* sed cod. Gott. *ἔνθα αἱ ποίμναι,* hinc Boeckh correxit.

Fr. 224. Herodian. *περὶ σχημ.* 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφοράν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων* vid. Fr. 55. A) *καὶ Ἰαχεῖ βαρύφθεγκτ' ἂν ἀγέλαι* (sic A, *ἂν ἀγέλαν* B, vulgo *ἀναγγεῖλαι*) *λεόντων.* correxit Fiorillo.

Fr. 225. Schol. Pind. Ol. XI. 58: *τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι· συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι· καὶ ἀλλαχοῦ κεῖται· Μησὶ γὰρ βρ.* corr. Boeckh.

Fr. 226. Athen. VI. 248. C: *ἀλλὰ μὴν καὶ αὐτός, ἔφη, τὸ ποτίκολλον κτλ. ὡς ὁ Θηβαῖος εἴρηκε ποιητής, περὶ κολάκων ἐρῶ τι. ποτίκολλον* ABPV, *ποτικολλῶν* L et Basil. Et I. 24. B: *ποτίκολλον* (L *ποτικολλῶν*) — *φησὶν ὁ Θηβαῖος μελοποιός.*

Digitized by Google

227.

– ⏑ ⏑ – ⏑ ⏑ –

Ἁ μὲν πόλις Αἰακιδᾶν.

228.

. . . . . – ⏑ –

⏑ – – ⏑ ⏑ – ⏑ – – ⏑ . .

. . . . . *φὰν δ' ἔμμεναι*

Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

229.

Πρόφασις βληχροῦ γίνεται νείκεος.

* 230. [286.]

⏑ ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –

Μελιῤῥόθων δ' (ἀνθέων) ἕπεται πλόκαμοι.

231. [123.]

Etym. M. 277, 39: *Διόνυσος· — οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη.*

232. [124.]

Plutarch. de adul. et amic. c. 27: *εὐδία γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρῦν ἀνασπῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥςπερ ἀντιταττόμενον τῷ Λυσίῳ θεῷ, λύοντι*

Fr. 227. Schol. Arist. Pac. 251: *ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν — καὶ Πίνδαρος δὲ περὶ τῆς Αἰγίνης· ἁ μ. πόλις* (Ven. *πολλάκις*) *Αἴαν.*

Fr. 228. Herodian. *περὶ σχημ.* 59, 29: *καὶ τὸ παρὰ Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον· φὰν δ' κτλ.* Pro *φὰν* A *φαμέν.* — *υἱοὶ* Cl), *υἱὸς* B, *υἱὸν* A. — *καὶ*, *ἢ* CD. — *Ποσειδάωνος*, *Ποσειδάονος* A. Eadem Moschopul. 83. et Tryphon in Mus. Cantabrig. I. 56. Ad hoc carmen fort. pertinet Fr. 242.

Fr. 229. Cram. An. Ox. I. 95, 5: *Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρόν· πρόφασις* (cod. *πρόφασιν*) *βληχροῦ γ. ν.* Respicit Et. M. 200, 13: *βληχρὸν — Πίνδαρος δὲ ἐπὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.* Zonar. 193, 391. Suid. v. *βληχρόν*, Eust. Il. 589, 46.

Fr. 230. Lesbonax de fig. 184. ed. Valck: *ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται· γίνεται δὲ οὕτως· Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις, μ ε λ ι ῤ ῥ ό θ ω ν δ' ἕ π ε τ α ι π λ ό κ α μ ο ι ἀντὶ τοῦ ἕπονται* (cod. *ἕπεται*), *διήγεται σάρκες ἀντὶ τοῦ διήγυνται. Ὅμηρος· καὶ δὴ δοῦρα σέσηπε νεῶν κτλ.* Et medium quidem exemplum certissime Pindari est, ubi *ἀνθέων* addit Boeckh, fortasse etiam tertium huc pertinet, quod affert etiam schol. Philostrati p. 193 ed. Kayser: *Πινδαρικὸν* (*σχῆμα*) *— οἷον· Λακεδ. πολ. Ἀθ. καὶ Ὅμηρος. διοίγετο δὲ σάρκες ἀντὶ τοῦ διοίγοντο.* Fort. *δ ι ο ί χ ε τ ο σ ά ρ κ ε ς.*

Digitized by Google

τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον. ubi Dübner ed. [καὶ] μεριμνῶν.

233. [153. 130. 131.]

Schol. Il. φ'. 194: Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα, καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμόν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. — ἡ ἱστορία παρὰ Πινδάρῳ. Ad eundem locum haud dubie pertinet Schol. Il. Θ'. 368: Πίνδαρος γοῦν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν (Κέρβερον) κεφαλάς φησιν. — Conferas praeterea Tertullian. de cor. mil. c. 7: „Hercules nunc populum capite praefert, nunc oleastrum, nunc apium. Habes tragoediam Cerberi, habes Pindarum atque Callimachum, qui et Apollinem memorat interfecto Delphico dracone lauream induisse qua supplicem."

234. [135.]

Pausan. V. 14, 6: Μετὰ δὲ τοὺς κατειλεγμένους Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν (Ἠλεῖοι) ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτων παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετριναίοις.

235. [139.]

Serv. Virg. Georg. I. 14: „Huic opinioni *(Aristaeum Thebis relictis se primum Ceam, tum in Sardiniam contulisse.)* Pindarus refragatur, qui eum ait de Cea insula in Arcadiam migrasse, ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit, qualiter apes debeant reparari."

236. [145.]

Plut. Quaest. Nat. c. 36, ubi quaerit cur apes citius pungant, qui stuprum dudum fecerint, ex versione Longolii: *Et Pindarus: Parvula favorum fabricatrix, quae Rhoecum pupugisti aculeo, domans illius perfidiam.* sic Dübner, (sed Boeckh: Tu molitrix favorum parva, perfidum quae puniens Rhoecum stimulo pupugisti eum.) Huc pertinet Schol. Apoll. Rh. II. 477 (Et. M. 75, 32.) Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην· ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅτι βούλοιτο· ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Καί ποτε πέσεντος αὐτοῦ παρίστατο ἡ μέλισσα· πικρότερον δὲ ἀποφθεγξάμενος

Digitized by Google

εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ Πίνδαρος δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα(ι). vid. Fr. 142. fortasse ex eodem carmine.

237. [140.]

Harpocrat. p. 41. ed. Bekk.: Αὐτόχθονες· — ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι.

238. [144.]

Apollodor. Bibl. II. 4, 2: Αὗται δὲ αἱ νύμφαι (Γοργόνες) πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἣν φασιν εἶναι πήραν. quibus vulgo et in libris adduntur haec: Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.

239. [149.]

Schol. Pind. Nem. VII. 103: Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε (Πίνδαρος) καλεῖν τοὺς Θεσσαλούς.

240. [155.]

Strabo III. 170: Καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες Στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας (C Γαδειρίτας), εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα. et p. 171: Καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα. Cf. Eust. ad Dionys. Per. v. 64.

241. [156.]

Strabo XV. 711: Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.

242. [163.]

Pausan. I. 41, 5: Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾄσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον (codd. βουλόμενος C. Fr. Hermann βουλομένοις), ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.

243. [176.]

Schol. Il. π'. 170: καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι. Eadem Cram. An. Par. III. 286, 27. ubi πεντήκοντα ἐρεγμούς. Boeckh πεντηκοντηρέτμους.

Digitized by Google

244. [178.]

Aristid. II. 339: *Καί τοι τίς οὐκ ἄν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (Παλαμήδην) κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι ὑπὸ τοῦ χείρονος;*

245. [180.]

Soph. Aiac. Arg.: *περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν (Αἴας), ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ τοῦ Ἡρακλέος λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινεν.*

246. [181.]

Schol. ad Il. κ'. 435., ubi in AD haec leguntur: *Ῥῆσος γένει μὲν ἦν Θρᾴξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὑτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν· δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει· κατελθοῦσα δ' ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος.* Haec contracta sunt in BLV: *ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας (Ῥῆσος) πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.* Cf. Eust. 817, 28. Eudoc. 317.

247.

Pausan. IX. 22, 7: *Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾄσαι τὰ εἰς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ εἰς ποίησιν δράματος ἐξήρκεσε.*

248. [189.]

Vita Homeri in Gal. Opusc. Myth. p. 283: *Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη [Χῖόν τε καὶ] Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον.* Vit. Hom. V ap. Westerm. Biogr. p. 28.: *τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος.* cf. ib. p. 30. (Cram. An. Par. III. 98, 13.) et Tzetz. Exeg. Il. p. 7.

249. [189.]

Aelian. Var. Hist. IX. 15: *λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.*

250.

Philodem. de Musica col. XX. ubi improbabile dicit esse a Thaleta et Terpandro Lacedaemoniorum dissidia composita esse: *τοὺς ἐ(πὶ τῶν)*

Digitized by Google

ἀγώνων ἔ(τ)ερπεν ὁ Τέρ(παν)δρος· τοὺς δὲ Λάκωνας ἀ(π)ειθεῖν προα(ι)ρουμένους (τῷ) μαντείῳ κα(ὶ) (λ)όγῳ δ' ἴσω(ς) προαχθέν(τ)α(ς) ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καί τὸ μὲν κα(τὰ) Στησίχορ(ο)ν οὐκ ἀκρι(β)ῶ(ς) ἱστο(ρεῖ)τ(αι), τ(ὸ δὲ) Π(ι)νδ(ά)ρειον, εἰ τῆς διχ(ον)οίας ἔπεισεν, οὐκ οἴδαμεν. Ceterum dubium, utrum Stesichorus de Thaleta, de Terpandro Pindarus dixerit, an utriusque testimonium ad Terpandrum sit referendum. Omnino autem quaeritur, an Pindari nomen recte sit restitutum, nam fort. scrib. τὸ δὲ Τερπάνδρειον εἰ τῆς διχονοίας ἔπαυσεν, οὐκ οἴδαμεν, ut philosophus dicat, Stesichori testimonium de Terpandro Lacedaemonios reconciliante non satis dilucidum esse, Terpandri autem carmen, quo ad concordiam hortatus sit Lacedaemonios, utrum dissidia vere composuerit necne, incertum esse; igitur superstes etiam postera aetate fuisse Terpandri carmen foret censendum.

251. [191.]

Pausan. IX. 30, 2: Ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνιεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μεῖζονα τὸν αὐλητήν. Adde Plut. de mus. c. 8: γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· τούτου καὶ Πίνδαρος μνημονεύει.

252. [192.]

Tzetz. Chil. I. 8: Ὡς γὰρ ὁ Πίνδαρός φησιν υἱὸς τοῦ Δαϊφάντου Ἐλθόντα πρὶν ὡς πρὸς αὐτὸν (Κροῖσον) Ἀλκμαίωνα τὸν πάνυ, Ὁπόσον δύναιτο λαβεῖν ἐκέλευε χρυσίον. Ὁ δὲ χιτῶνα περιδὺς εὐρύκολπον εἰςάγαν, Κοθόρνους τε τῶν τραγικῶν καὶ τῶν εὐρυπεδίλων Τοὺς θησαυροὺς εἰςδεδυκὼς πάντα πληροῖ χρυσίου, Ὡς καὶ τὴν κόμην τὴν αὐτοῦ κατέχων τοῖς ὀδοῦσι· Τῷ τοῦ χρυσίου βάρει δὲ βαδίζειν οὐκ ἰσχύων Κροῖσον κινεῖ πρὸς γέλωτα βαδίσει καὶ τῇ θέᾳ, Ἐφ' οἷς αὐτὸν ἐκέλευσε δὶς τόσα λαβεῖν ἄλλα· Καὶ ταῦτα μὲν ὁ Πίνδαρος ὁ λυρικός που γράφει.

253. [193.]

Harpocrat. v. Ἄβαρις p. 1: Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν τρίτην αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα, ἄλλοι δὲ κατὰ τὴν κ' Ὀλυμπιάδα.

254. [194.]

Origenes adv. Cels. III. p. 126. Spencer: Καὶ πρῶτόν γε τὰ περὶ τὸν Προκοννήσιον Ἀριστέαν, περὶ οὗ ταῦτά φησι (Κέλσος)· Εἶτ' Ἀριστέαν μὲν τὸν Προκοννήσιον ἀφανισθέντα τε οὕτω δαιμονίως ἐξ ἀνθρώπων καὶ αὖθις ἐναργῶς φανέντα καὶ πολλοῖς ὕστερον χρόνοις πολλαχοῦ τῆς οἰκουμένης ἐπιδημήσαντα καὶ θαυμαστὰ ἀναγγείλαντα καὶ τοῦ Ἀπόλλωνος ἐπισκήψαντος Μεταποντίνοις ἓν θεῶν μοίρᾳ μένειν τὸν Ἀριστέαν, τοῦτον οὐδεὶς ἔτι νομίζει θεόν. Ἔοικε δ' εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου κτλ. Cf. Aeneas Gaz. in dial. Theophr. p. 77.

Digitized by Google

255. [195.]

Vita Pindari Vrat. T. II. p. 9. ed. Boeckh (Westerm. p. 98.): *ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου ᾗ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων· καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου βασιλείας.* Boeckh: *τῆς Καμβύσου βασιλείας*, Westerm. *Ξέρξου*, Schneider *Δαρείου*. cf. etiam Eust. Prooem. 26.

256. [200.]

Schol. Soph. Oed. Reg. 899: *Ἄβαι, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος. ᾗ διὰ τῶν Ἰαμιδῶν* (ita Boeckh, cod. *ηΔτ̃ σαμ̃ι*) *ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ Πίνδαρος.*

257. [202.]

Schol. Apoll. Rhod. 1, 411: *Αἰσωνὶς πόλις τῆς Μαγνησίας, ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός φησι καὶ Φερεκύδης.* sed fort. nihil aliud dicere voluit, quam Aesonem, Iasonis patrem, a Pindaro commemoratum esse (Pyth. IV. 118.)

258. [288.]

Quintil. X. 1, 109: „Non enim *pluvias*, ut ait Pindarus, *aquas colligit*, sed vivo gurgite exundat (Cicero)." Pindarus *συνάγειν ὕδατα ὄμβρια* dixisse videtur.

259. [289.]

Plutarch. de Pyth. orac. c. 18: *Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζει, ὅτι* * *. Ipse locus excidit.

260. [264.]

Plutarch. de sera Num. vind. c. 22. extr.: *προκεχειρισμένων δὲ καὶ ταύτῃ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσα καὶ διαφαγοῦσα τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα.*

261. [245.]

Theodor. Metoch. p. 282: *Τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι καὶ σπαράττουσι δήτινες Κῆρες ὀλβοθρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν* (cod. Mon. *ἀλγεινῶν*.)

262. [251.]

Theodor. Metoch. 439: *Καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως.*

263.

Eust. Prooem. 21: *καὶ τὸ ἀμεῦσαι, ὅ ἐστι παρελθεῖν· καὶ νικῆσαι, οἷον· ἀμεύσεσθαι Νάξιον Τίσανδρον.*

Digitized by Google

264. [249.]

Liban. Or. T. I. 432. ed. Reiske: *πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.*

265.

Philo de providentia II. p. 120. ed. Auger.: ***Pro honore*** **itaque, ut dixit olim Pindarus, *silentium laetabundus suscipiam.***

266.

Io. Siceliota Rhet. Gr. T. VI. p. 395: *πέντε τάξεις γλυκύτητος ἐννοιῶν, ἐν αἷς κατὰ Πίνδαρον οἷς χαίρει τις, τούτοις καὶ τιμώμενος ἥδεται.*

267. [110.]

Philostr. Vit. Apoll. Tyan. VI. 26: *τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς (Νείλου) ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι· πολλὰ γὰρ καὶ περὶ δαιμόνων ἄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.* cf. Phot. Bibl. 241. p. 331. Deus, quem Pindarus Nili fontibus praeesse finxit, Ganymedes videtur esse, vid. Schol. Arat. Phaen. 282: *ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νείλον πλημμυρεῖν.* Eundem Pindari locum respicit Philostr. Imagg. I. 5: *Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων· ἐς τοῦτον ὃ ποταμὸς βλέπει, καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι.* Egit haud dubie de hoc loco Porphyrius in libro *περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν.* vid. Suidas v. *Πορφύριος* et Eudoc. 364.

268. [111.]

Phot. 74, 1. et Suidas v. *Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος. Πολιτείας β' οὕτω γραπτέον — παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ. ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπο Διός. Καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμεντος. ἡ ἱστορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμασταῖς ἢ Ἡφαίστῳ.*

269. [141.]

Schol. Il. ξ'. 319: *αὐτὴ δὲ (Δανάη), ὥς φησιν Πίνδαρος καὶ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη.*

Digitized by Google

270.

Fulgent. Mythol. I. 12: „In huius (Apollinis) etiam tutelam corvum ponunt, — sive quod in horoscopicis libris, secundum Anaximandrum, sive etiam secundum Pindarum, solus inter omnes aves sexaginta quatuor significationes habet vocum.“ quae fides his habenda sit, satis incertum.

271. [117.]

Schol. Aesch. Eum. 11: *χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν* (Aeschylus) *αὐτὸν ἐκεῖσε Ἀπόλλωνα, κἀκεῖθεν τὴν περιπομπὴν αὐτῷ εἶναι, ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας.* Müller coni. *Τεγύρας* Orchom. p. 147.

272. [120.]

Iulianus Epist. XIX.: *Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἷονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι.*

273. [121.]

Liban. Epist. XXXIV.: *Ὁ μὲν Πίνδαρός που φησὶ μήλων τε χρυσῶν εἶναι φύλαξ, τὰ δὲ εἶναι Μουσῶν, καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν.*

274. [234.]

Stob. Flor. CXI. 12: *Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια.* Cf. Eust. Opusc. p. 124. Boiss. Anecd. Nova 140. Plut. Erot. 16: *καὶ οὐχὶ ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν.* Fort. *apophthegma* potius fuit, tribuiturque ab aliis Aristoteli (Diog. L. V. 18.), ab aliis Platoni (Aelian. V. H. XIII. 29.).

275. [208.]

Pausan. V. 22, 6: *Λέγεται δὲ ἐς μὲν Κόρκυραν, ὡς μιχθείη Ποσειδῶν αὐτῇ, τοιαῦτα δὴ ἕτερα ἦσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία.* Sed rectius videtur Unger Thebana Parad. p. 66. ad Isthm. VII. 18. referre. — Quod dicit Tzetz. Exeg. II. p. 132: *λαβὼν δὲ ὁ προρρηθεὶς Ἀσωπὸς πρὸς γάμον Μετώπην τὴν Λάδωνος θυγατέρα, καθά φησι Πίνδαρος, ἐκ ταύτης γεννᾷ Θήβην, Κέρκυραν, Αἴγιναν τὴν μητέρα τοῦ Αἰακοῦ, Σαλαμῖνα, Ἅρπιννα, Νέμεαν, Κλεώνην* ad Ol. VI. 84. pertinet, vid. ibi schol.

276.

Probus ad Virg. Ecl. VII. 61: „Pindarus initio Alciden nominatum, postea Herculem dicit ab Hera, quam Iunonem dicimus, *quod eius imperiis opinionem famamque virtutis sit consecutus.*“ Idem veriloquium Matris secutus est, vid. Diod. Sic. I. 24: *Ἀλκαῖον ἐκ*

Digitized by Google

γενετῆς καλούμενον ὕστερον Ἡρακλέα μετονομασθῆναι, οὐχ ὅτι δι' Ἥραν ἔσχε κλέος, ὡς φησιν ὁ Μάτρις, ἀλλ' ὅτι τὴν αὐτὴν ἐζηλωκὼς προαίρεσιν Ἡρακλεῖ τῷ παλαιῷ τὴν ἐκείνου δόξαν ἅμα καὶ προσηγορίαν ἐκληρονόμησε. idem tamen IV. 10: Διόπερ Ἀργεῖοι πυθόμενοι τὸ γεγονὸς Ἡρακλέα προσηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον. cf. oraculum ap. Tzetz. Lycoph. 662: Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, ἐξ Ἥρας γὰρ ἐν ἀνθρώποις κλέος ἄφθιτον ἔξεις. quod quidem oraculum alii (vid. Schol. Il. Ξ. 323.) sic proferunt: ἦρα γὰρ ἀνθρώποισι φέρων κ. ἀ. ἔξεις. Alii porro sic vocatum perhibebant, quod ἄεριον κλέος ἔσχεν, vid. Cram. An. Ox. II. 445. Cf. praeterea Et. M. 435, 3. et Suid. v. Ἡρακλῆς.

277. [226.]

Plato Theaetet. 173. D: Ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται (πέτεται b, et ABC in marg.) κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε (Ξ corr. ἐπίπερθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἴς τι τῶν ἐγγὺς οὐδὲν αὐτὴν συγκαθιεῖσα. unde descripsit Iamblich. Protrept. 212. Conferas etiam Clem. Alex. Str. V, 707. πέταται κατὰ Πίνδαρον τᾶς τε γᾶς ὑπένερθεν οὐρανοῦ τε ὕπερ ἀστρονομῶν καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνάμενος (H ἐρευνώμενος). et Theodoret. Gr. Aff. Cur. XII. 169, 11: πανταχῇ πέταται (D ποτᾶται) κατὰ Πίνδαρον, τά τε γῆς ὑπένερθεν (C ὕπερθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανούς τε ὑπεραστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν διερευνωμένη. Porro Galen. Protr. c. 1: τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ Πίνδαρον ἐπισκοπεῖ. Respicit etiam M. Antonin. II. 13: οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν, ἐρευνῶντος. cf. Porphyr. de abstin. I. p. 62. Macar. ap. Walz Arsen. p. 444. τὰ γῆς ἔνερθεν καὶ τὰ ἐπὶ πέδον. λείπει οἶδεν· ἐπὶ τῶν πολυπραγμόνων.

278.

Eust. Prooem. 16: Ἀγῶνα δὲ μνησιστέφανον, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον μνηστῆρα στεφάνων εἶπεν. Schneidewin μνασιστέφανον et μνασστῆρα.

279. [138.]

Et. M. 60, 37: Ἀλέρα καὶ Ἐλάρα (Tityi mater) — Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον· Ἀλέρας ὄζον. sic cum Hemsterhusio scripsi, v. ὡσόν (Va υἱόν).

280. [203.]

Steph. Byz. Ἀπέσας· — ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ.

Digitized by Google

281. [268.]

Suidas v. *Ἀράχνη· θηλυκῶς τὸ ὕφασμα, ἀράχνης ἀρσενικῶς τὸ ζωῦφιον. — εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ, καὶ παρὰ Καλλίᾳ.* Eadem Bekk. An. I. 442, 1., nisi quod *Καλλίοις* exhibet: videtur locus perturbatus sic restituendus *καὶ παρὰ Καλλιμάχῳ· ἔργον ἀράχνα ἀπὸ τῆς ἀράχνης ὀρθῆς.*

282.

Eust. Prooem. 21: *ἁρμασιδούπους τοὺς ἱππικωτάτους.*

283. [270.]

Eust. ad Od. 1406, 14: *τὸ διαβάλλειν δὲ οὐ μόνον συκοφαντικὸν ἔχει νοῆν, ὅθεν καὶ ἡ διαβολή, καὶ ὁ παρὰ Πινδάρῳ διάβολος ἄνθρωπος.* Idem ad Il. 128, 38: *ἡγεμονεὺς καὶ ἡνιοχεὺς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν καὶ Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς.*

284.

Eust. Prooem. 21: *ἐλασίχθονα Ποσειδῶνα τὸν ἐννοσίγαιον.* nisi forte Pyth. VI. 50. scribendum *τὶν δ' Ἐλάσιχθον* pro *Ἐλέλιχθον.*

285.

Schol. Arist. Av. 930: *ἐμὶν τεῖν· Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν.* De Pindaro finxisse videtur.

286.

Eust. Prooem. 11: *ἐνίκησαν οἵ,* (Schneidewin *ἐνίκασαν*) *ἤγουν οἵτινες ἐνίκησαν.*

287. [271.]

Et. Gud. 193, 9: *Ἐξεστηκὼς διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ Πινδάρῳ· ὁτὲ μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι, ὁτὲ δὲ το ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι ἢ ἀφίστασθαι.*

288.

Eust. Prooem. 21: *καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ.* Error grammaticorum subesse videtur.

289. [272.]

Et. M. 354, 59: *Ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους· ἔπετος* (V *ἐπέτος καὶ ἐπέτειος*) *γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ*

Digitized by Google

φ, ἀλλὰ διὰ τοῦ π, ὥς φησι Πίνδαρος καὶ Δημοσθένης. Ῥητορική. Scribendum videtur ἐπ' ἔτος γὰρ καὶ ἐπέτειον κτλ. ut hoc exemplum ex Pindaro, illud ex Demosthene attulerit grammaticus, ut a prava, quam existimabat, aspiratione deterreret. Similia leguntur ap. Bachmann. An. I. 227, 32. (ubi ἔτος γὰρ δεῖ λέγειν) Cram. An. Par. IV. 169, 9. Zonar. 809. Suid. v. ἐπέτειον, quibus adde Cyrillum in Cod. Vind. n. 319: ἐπέτειον ἐπὶ τοῦ νῦν ἕως ἔτους· ἐπέτος γὰρ δεῖ λέγειν τ. ἐ. π. οὐχὶ ἐφέτος, ὡς φ. Πίνδαρος καὶ Δημοσθένης.

290.

Schol. Il. ω'. 277: Καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μεταΐσσων. Ex perdito aliquo carmine haec verba petita, neque ex Ol. XIII. 20. τίς γὰρ ἱππείοις ἐν ἕντεσσιν μέτρα κτλ. detorta.

291. 292. [263.]

Eust. Proem. 16: Καὶ Δία εὐρύζυγον (καλεῖ) ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν καὶ — ἐρισφάραγον. de quo cf. idem Eust. ad Odyss. 1636, 8: ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν. Pindari fortasse versus est, quem sine poetae n. affert Et. M. 166, 53. quod etiam Gaisford coniecit:

ἐρισφάραγος πόσις Ἥρης ἔσται,

ut scribendum sit Ἥρας ἔσσεται.

293.

Cram. An. Ox. IV. p. 329, 17: τὸ Καρβὰν παρασύνθετον, Καριβόος, Καριβόαν καὶ Καρβάν, μόνον τὸ Εὖαν (Εὐὰν?) Θηλυκὸν παρὰ Πινδάρῳ. Fort. huc pertinet Hesych.: Εὐάν· ὁ κισσὸς ὑπὸ Ἰνδῶν. Sed. L. Dindorf coni. Εὐνάν, coll. Bekk. An. III. 1376: Εἰς ἂν Θηλυκὸν οὐκ ἔχομεν· τὸ εἰνάν, εὐνᾶνος ὃ παρατίθενταί τινες ὡς Θηλυκόν, νομίζοντες τὴν γυναῖκα σημαίνειν, δείκνυσι Λούπερκος ἐν τῷ περὶ γενῶν, ὅτι ἀρσενικοῦ γένους ἐστίν.

294. [273.]

Etym. M. 404, 21: Ἐχέτης ὁ πλουσίος, ὡς Πίνδαρος

295. [274.]

Eust. Il. ξ'. 975, 48: ἔστι δὲ καὶ γυμναστικὴ λέξις τὸ ἀλείφειν, ἐπεὶ καὶ οἱ γυμνικοὶ ἀγῶνες εἶχον ἔλαιον, ἐξ οὗτινος ἠλαιοῦντο, εἰπεῖν κατὰ Πίνδαρον.

296. [143.]

Schol. Il. φ'. 22: καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ πήτους. Cf. Eust. 1221, 35. Choeroboscus I. 423. (Bekk. An. III. 1232.) ἰ. παιδοφύγα. Ceterum Ioannes Alex. τον. παραγγ. 12, 26. ἰχθὺν apud Pindarum acui dicit.

Digitized by Google

297. [113.]

Lucian. Imagg. c. 8: *Συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὥστ' ἰοβλέφαρον ἐξεργάσασθαι (τὴν Ἀφροδίτην).* sic scribendum, vulgo *ὡς τὸ βλέφαρον*, sed *ἰοβλέφαρον* latere iam Solanus vidit, cf. Lucian. Imagg. c. 26: *ἕτερος δέ τις ἰοβλέφαρον τὴν Ἀφροδίτην εἶπε.*

298. [136.]

Et. M. 513, 20: *Κιδαλία — ἐκ Πινδάρου· χεῖρα Κιδαλίας·* (M *χεῖρας ἀκιδ.*) *εἰς τὴν χεῖρα αἰτιατικὴν μὴ ποιήσῃς ἐκθλιψιν· Κιδαλία γὰρ ἐστίν.*

299. [275.]

Schol. Pind. Nem. II. 17. *ὀρειᾶν Πελειάδων — ἔνιοι διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ ῑ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς.* (haec ultima addit R.) Corrupte Et. M. 517, 25. et Et. Gud. 526, 13: *κλέος. Πίνδαρος οὐκ οἶδα ὅπου, φησὶ κλεός. Κελεὸς καὶ συγκοπῇ κλεός. ὀξῦναί σε δεῖ.*

300.

Eust. Prooem. 21: *κρατησιβίαν χερσὶ τὸν ῥωμαλέον*

301. [212.]

Steph. Byz. v. *Κρήστων, πόλις Θρᾴκης — ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ.* Meineke coni. *Πεισάνδρῳ.*

302.

Eust. Prooem. 16: *Λιτὴν δὲ Ἠῶ τὴν εὐκταίαν, καὶ ὡς ἄν τις Ὁμηρικῶς εἴποι πολύλλιστον εἴτε καὶ καθ' ἕτερόν τινα τρίλιστον.*

303. [276.]

Schol. Hom. Il. ο'. 137: *μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον.* cf. Schol. Lips. Il. γ'. 307.

304. [278.]

Apollon. Lexic. Hom. 117, 25: ξεινοδόκος· — *ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· ἀντὶ τοῦ ἐμάρτυρησε.* Cf. Etym. M. 610, 47. et Et. Gud. 414, 36. ubi Simonidi per errorem tribuitur *ξεινοδόκησε Τελαμών*, Pindaro autem versus Simonideus. Zonar. 1415. (Mingarelli Codd. Nan. 496.) similiter ex Simonide ξ. τε λαβών affert.

305. [279.]

Schol. Hom. Il. χ'. 51: ubi A *τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος.* deinde V: *ἔστι γοῦν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· ὀνομακλύτα γάρ ἐστιν.* at B: *κατὰ σύνθεσιν οὖν ἐστίν, ὡς τὸ τοξόκλυτος παρὰ Πινδάρῳ καὶ περίκλυτος.*

Digitized by Google

306. [267.]

Schol. Eurip. Phoen. 683: *ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ Ὀρεικτίτου* (cod. Aug. *ὀρεικτήτου*, edd. Iunt. Bas. *ὀρυκτῆ τοῦ*) *συὸς παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου.* et ad v. 687. ed. Matthiae. *φησὶ δὲ καὶ Πίνδαρος ὀρείκτιτον σῦν τὸν ἐν ὄρει οἰκοῦντα.* Cf. etiam Schol. Pind. Pyth. II. 31: *καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτου συός.* et Schol. Eurip. Orest. 1616: *καὶ τὸ συὸς ὀρικτίτου παρὰ Πινδάρῳ.*

307. 308. 309.

Eust. Prooem. 21: *καὶ τὸ πέδοικος, ὅ ἐστι μέτοικος, καὶ τὸ πέδα στόμα φλέγει ἀντὶ τοῦ μετὰ στόμα, καὶ τὸ πεδασχεῖν ἤτοι μετασχεῖν.*

310.

Cramer An. Ox. IV. 309, 20: *Ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον* (Nem. XI. 40.) *ἔφη ἀντὶ τοῦ περίοδον καὶ περιέναι τετρασυλλάβως.* quamquam hoc fortasse ex Attico sermone petitum est exemplum.

311. [287.]

Serv. ad Virg. Aen. V. 830: *Fecere pedem*, i. e. podium, hoc est funem, quo tenditur velum, quod Graeci *πόδα* vocant, ut est apud Pindarum et Aristophanem.

312. 313. [182. 183.]

Eust. Il. λ'. 877, 55: *εἰτά φησιν* (Aristophanes Byz.) *ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν* (cf. praeterea ad Od. 1649, 5.) *οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ.* quod videtur factum in carmine aliquo, ubi Bellerophontem celebravit, cf. Horat. Carm. IV. 2, 14: *„Per quos cecidere iusta Morte Centauri, cecidit tremendae flamma Chimaerae.“*

314. [281.]

Choeroboscus II. 555. (Bekk. An. III. 1287): *Σημειούμεθα — καὶ τὸ ῥερίφθαι ἔπος παρὰ τῷ σοφῷ Πινδάρῳ.* Cf. Cram. An. Ox. IV. 185, 16. et 415, 5. An. Par. IV. 226, 16.

315. [282.]

Schol. Hom. ζ'. 24. ubi BL: *σκότιον τὸν ἐξ ἀδαδουχήτων γάμων νόθον λέγει, τὸ δὲ κύριον ὄνομα Σκοτίος.* ABL: *σκότιον ὡς λόγιον, τὸ δὲ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ παροξύνεται παρὰ Πινδάρῳ.* cf. Cram. An. Par. III. 284, 4.

316. [283.]

Et. M. 172, 10: *καὶ παρὰ τούτων Δωρικῶς τουτάκι, ὡς παρὰ Πινδάρῳ· Τουτάκι πεξαμένης.* Boeckh τουτάκι τε ξαμενής.

Digitized by Google

317. [284.]

Et. M. 249, 50. et Zonar. 466: δαυλός, ὁ δασύς, παρὰ τὸ δάσος γίνεται ῥῆμα δασῶ, ὡς τεῖχος τειχῶ, ἀφ' οὗ Πίνδαρος τετείχηται. Gaisford scripsit τετείχισται, quod est Isthm. V. 44. Pyth. VI. 9., contra mentem grammatici, sed potuit ille errare.

318.

Eustath. Prooem. 21: τόσσαι καλῶν· ἤγουν ἐπιτυχεῖν.

319. [219.]

Eustath. ad Dionys. Per. 467. de Sicilia Trinacria dicta, διὸ καὶ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν καὶ ὁ Πίνδαρος τριγλώχινα.

320.

Schol. Pind. Pyth. II. inscript.: καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους.

321. [285.]

Et. M. 504, 3: Κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· Τψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια (ἔχουσαν). Cf. Et. Gud. 315, 12. Zonar. 1185. Eustath. Prooem. 27.

322. [220.]

Galen. de puls. diff. VIII. 681. ed. Lips. (T. III. p. 38. ed. Bas.): Καίτοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος εἴη τις ἢ (τις ἦ) Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται.

323.

Tzetz. Allegor. Il. v. 407. (Matranga Anecd. 14.) Εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ πρῶτον, ὅστις ὑστέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας· τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τούτου, καὶ πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ. ad ultimum hunc versum ascriptum scholion ap. Cram. An. Ox. III. 378, 1: τούτου μέμνηται Πίνδαρος. sed fort. haec petita sunt ex schol. Pyth. V. 108. Similis certe ratio Tzetz. Chil. IV. 390: Ῥόδιόν ἐστιν ὄρος, τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας, αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης· Πίνδαρος καὶ Καλλίμαχος γράφει τὴν ἱστορίαν. haec enim manifesto petita ex Schol. Ol. VII. 159. — Non magis alia recepi quae leguntur apud Eustathium, velut quod est in Prooem. 21: οὕτω δὲ καὶ τὸ πρὰν Δωρικὸν ἀπορεῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ η γραφήν, ubi errore aliquo deceptus esse videtur Eusthathius. Quod idem dicit Eust. Od. 1404, 22: καὶ αὐτοδιδάκτους εἶναι φησὶ (τοὺς ἀοιδοὺς) καὶ ὡς εἰπεῖν θυμοσόφους, καὶ κατὰ Πίνδαρον αὐτόθεν φυᾶ εἰδότας. referendum ad Ol. II. 86.

Digitized by Google

— Quae leguntur ap. Eust. Il. 382. 38: *καὶ ὅτι Πίνδαρος ζηλώσας νίκη μίγνυσθαι τὸ νικᾶν καὶ ἔργῳ μίγνυσθαι τὸ ἐργάζεσθαι καὶ ἕτερα τοιαῦτα.* cf. ad Od. 1428, 34: *μίγνυνται ἀθληταί, Πινδαρικῶς εἰπεῖν, νίκαις.* ea exempla ficta sunt haud dubie. — Nec magis ambigere licet de alio loco Eust. Il. 346, 5: *εἰ δὲ καὶ Τυφάων ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεὺς γὰρ καὶ Τυφάων, Τυφάονος, ὅθεν τὰ Τυφαονίων ἀλαλητῶν,* (Oppiani est, vid. Eust. Od. 1650, 51.) *καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν δικαταληξίᾳ Τυφῶς.* Sunt haec ad commentarios in Pindarum referenda.

Quod dicit Tzetzes Epist. p. 23 ed. Pressel: *εὐπαλάμων τε ὕμνων τελοῦντι κατὰ Πίνδαρον τέκτονι Cratini* est, vid. Aristoph. Eq. 530. De aliis vid. Boeckh T. II. 1. p. XXIX. seq. et T. II. 2. p. 685 seq. — *Pindari* fortasse fr. delitescit ap. Schol. Il. *β'*. 373: *ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μένειν τοῦ φωτὸς στερίσκονται.* ubi cod. V. addit: *ὅθεν ἔτι ὀφθαλμὸν ἔσεσθαι τὴν Ἑλλάδα ἔφα, καί· Σικελίας τ' ἔσαν ὀφθαλμοί.* (vid. Pind. Ol. II. 9.) conieci olim: *ὀφθαλμὸν ἔσεσθαί νιν Ἑλλάδος ἔφα.* De aliis versibus, qui probabiliter ad Pindarum referri possunt, vide *Fragmenta Adespota.*

EPIGRAMMA.

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας
Ἡσίοδ' ἀνθρώποις μέτρον ἔχων σοφίης.

Epigramma hoc legitur apud Proclum ad Hesiod. p. 7. ed. Gaisf. *Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ ἥπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε· Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν, ἀνδρῶν χρινομένων ἐν βασάνοις σοφίης. Ἐπέγραψε δὲ καὶ Πίνδαρος· χαῖρε κτλ.* ut coniicias hoc epigramma eidem monumento inscriptum fuisse, in quo quatuor illi versus, quos sec. Pausan. IX. 38, 10. Orchomenii Chersiae tribuebant. Eadem quae Proclus etiam Tzetzes vit. Hes. p. 17. Pindaro tribuit etiam Suidas *τὸ Ἡσιόδειον γῆρας· ἐπὶ τῶν ὑπεργήρων· φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτον· χαῖρε κτλ.* et Apostol. XVIII. 12, b., sed in Append. Prooem. IV. 92: *τὸ Ἡσιόδειον γῆρας. Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον, καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· Χαῖρε κτλ. παρόσον τό τε γῆρας ἀπέρη καὶ δὶς ἐτάφη.* — V. 1. *τάφου, τάφον* App. Paroem., *τάφων* tres codd. Suidae (ABE).

Digitized by Google

POETAE ELEGIACI.

Digitized by Google

— Quae leguntur ap. Eust. Il. 38
νίκη μίγνυσθαι τὸ νικᾶν
καὶ ἕτερα τοιαῦτα. cf. ad O
ᾄδαρικῶς εἰπεῖν, νίκαις. e
ambigere licet de alio
αὐτὸς ὀνομάζεται, κ
χῶς ἄρα σχηματίζετ
φάονος, ὅθεν τὰ
Od. 1650, 51.
Sunt haec a
Quod
νων τελο
530.
685
ἀπὸ
σκο
Ἐ
ϛ

I.

CALLINUS.

1. [1.] *)

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
ὧδε λίην μεθιέντες, ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

* * *

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ', ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἕλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστίν

De Reliquiis poetarum Elegiacorum scripserunt *L. Ahrens* in Diario Antiquitatis a. 1841. p. 518 seqq. 1214 seqq. et a. 1842. p. 1012 seqq. idem in Philologo T. III. p. 222 seq. de hiatu apud elegiacos poetas disputans. *Bamberger* Coniectanea in Poetas Graecos Brunsvigae 1841. *Emperius* in Museo Rhen. Novo T. I. p. 453 seqq. *Alph. Hecker* in Philologo T. V. p. 450 seqq. *Guil. Hertzberg* in Prutz Literarhist. Taschenbuch V. III. p. 209 sqq. *G. Hermann* in Iahnii Annalibus Vol. XXVII. p. 26 sqq. *Otto Schneider* in Diario Antiquitatis a. 1838. p. 933 seqq.

Callinus. Fr. 1. Stob. Flor. LI. 19: *Καλλίνου.* Bernhardy Hist. Litt. Graec. II. 330. universum carmen Callino abiudicare videtur, leique ipsum illud *Καλλίνου* (quod A Vind. Trinc. tuentur) suspectum est. Thiersch in Act. Monac. III. 577 seqq. (cf. 637.) Callini tantum exordium (v. 1—4.) esse existimat, cetera Tyrtaeo vindicare mavult. — V. 1. *κότ'*, Ursinus *καί.* — V. 2. *αἰδεῖσθ'*, A *αἰδεῖ δ'.* — Post v. 4. Camerarius ut lacunam redintegraret, addidit: *εὖ νύ τις ἀσπίδα θέσθω ἐναντιβίως πολεμίζων*, at plures versus exciderunt, quibus poeta descripserat calamitates, quibus patria terra tunc premebatur bello ut videtur contra Magnetas adversa fortuna gesto. — V. 8. *τότ'* vel *τοτ'* B et Ursin., vulgo *ποτ'.* — *ὁππότε*, Bach *ὁκκότε.* — V. 12. *κως*, A *πως.* — *γε*, *τε* Trinc.

*) Numeri adiecti sunt editionis Bachianae.

Digitized by Google

ἄνδρ', οὐδ' εἰ προγόνων ἦ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου·
ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρός
θνήσκοντος· ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

ΕΙΣ ΔΙΑ.

2. [4.]

Σμυρναίους δ' ἐλέησον . . .
Μνῆσαι δ' εἴ ποτέ τοι μηρία καλὰ βοῶν.

3. [2.]

Νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀμβριμοεργῶν.

V. 13. *εἰ*, Brunck *ἦν*. — V. 15. *ἔργεται* (i. e. *εἴργεται*) scripsi, legebatur *ἔρχεται*, at hoc etiam in virum fortem, qui salvus ex bello revertit, cadit, itaque Schneidewin existimat post v. 16. pentametrum cum hexametro excidisse, ut haec dixerit poeta: eum non carum esse suis, (*si qui turpiter se periculis subduxerit: sed qui fortiter depugnaverit*) eum vero lugeri. Ceterum compares Demosthenis illud de Corona §. 97: *πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ.* — *μοῖρα*, A *μοῖραν*. — V. 16. *ἔμπας*, Brunck *ἔμπης*. — V. 17. *ὀλίγος*, Voss. (a m. s.) Ars. *ὀλίγον*. — V. 18. *σύμπαντι*, Ursin. *ξύμπαντι*.

Fr. 2. Strabo XIV. 633: *ἡνίκα καὶ Σμύρνα ἐκαλεῖτο ἡ Ἔφεσος· καὶ Καλλῖνός που οὕτως ὠνόμασεν αὐτήν, Σμυρναίους τοὺς Ἐφεσίους καλῶν ἐν τῷ πρὸς Λία λόγῳ· Σμυρναίους δ' ἐλέησον, καὶ πάλιν· Μνῆσαι κτλ.* (*καὶ πάλιν* et v. 2. om. Med. 3. 4.) V. 2. probabiliter Casaubonus addit *Σμυρναῖοι κατέκηαν*. Ad hanc elegiam fort. etiam Fr. 3. 4. 5. pertinent.

Fr. 3. Strabo XIV. 647: *Καὶ τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι Κιμμερικοῦ ἔθνους, εὐτυχήσαντος πολὺν χρόνον· τῷ δὲ ἑξῆς ἔτει Μιλησίους κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς Ἐφεσίους πολέμῳ. Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφορὰν — ἐξ οὗ καὶ τὸ νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν. — ἄλλης δέ τινος ἐφόδου τῶν Κιμμερίων μέμνηται πρεσβυτέρας ὁ Καλλῖνος, ἐπὰν φῇ· Νῦν δ' ἐπὶ κτλ. ἐν ᾗ τὴν Σάρδεων ἅλωσιν δηλοῖ.* — *ὀμβριμοεργῶν* Xyl., Paris. Mosc. *ὄβριμος ἔργων*, Med. 4 *ὄμβριμος ἔργων*, Med. 3 *ὀβριμοεργής*. Respicit huc XIII. p. 627. (vid. Fr. 5.) consentitque Clem. Alex. Strom. I. 398. a Callino secundas Magnetum res, ab Archilocho adversas commemorari. Adversari videtur Athen. XII. 525. C: *Ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τὸ Μαιάνδρῳ διὰ τὸ πλέον ἀγεσθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς ἐλεγείοις καὶ Ἀρχίλοχος. ἑάλωσαν γὰρ ὑπὸ τῶν Ἐφεσίων.* At Callinus videtur luxuriam et superbiam Magnetum memoravisse, quam deinde interitus civitatis ab Archilocho significatus subsecutus est.

Digitized by Google

4. [3.]

Τρήρεας ἄνδρας ἄγων.

5. [5.]

Strabo XIII. 627: *Φησὶ δὲ Καλλισθένης ἁλῶναι τὰς Σάρδεις ὑπὸ Κιμμερίων πρῶτον, εἶθ' ὑπὸ Τρηρῶν καὶ Λυκίων, ὅπερ καὶ Καλλῖνον δηλοῦν, τὸν τῆς ἐλεγείας ποιητήν. ὕστατα δὲ τὴν ἐπὶ Κύρου καὶ Κροίσου γενέσθαι ἅλωσιν. Λέγοντος δὲ τοῦ Καλλίνου τὴν ἔφοδον τῶν Κιμμερίων ἐπὶ τοὺς Ἡσιονῆας γεγονέναι, καθ' ἣν αἱ Σάρδεις ἑάλωσαν, εἰκάζουσιν οἱ περὶ τὸν Σκήψιον Ἰαστὶ λέγεσθαι Ἡσιονεῖς τοὺς Ἀσιονεῖς.* (Med. 3. *Ἀσιανούς.*) *τάχα γὰρ ἡ Μυρονία, φησίν, Ἀσία ἐλέγετο κτλ.* cf. Steph. Byz. v. *Ἡσιονία.*

6.

Pausan. IX. 9, 5: *ἐποιήθη δὲ ἐς τὸν πόλεμον τοῦτον καὶ ἔπη, Θηβαΐς· τὰ δὲ ἔπη ταῦτα Καλλῖνος, ἀφικόμενος αὐτῶν ἐς μνήμην, ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι· Καλλίνῳ δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταὐτὰ ἔγνωσαν.* Ita Sylburg., vulgo et codd. *Καλαῖνος* et *Καλαίνῳ.* (Ag *Καλλαίνῳ*, V a pr. *Καλλυΐνω.*)

7. [6.]

Strabo XIII. 604: *Τοῖς γὰρ ἐκ τῆς Κρήτης ἀφιγμένοις Τεύκροις, οὓς πρῶτος παρέδωκε Καλλῖνος, ὁ τῆς ἐλεγείας ποιητής, ἠκολούθησαν δὲ πολλοί, χρησμὸς ἦν αὐτόθι ποιήσασθαι τὴν μονήν, ὅπου ἂν οἱ γηγενεῖς αὐτοῖς ἐπιθῶνται· συμβῆναι δὲ τοῦτ' αὐτοῖς φασὶ περὶ Ἀμαξιτόν. νύκτωρ γὰρ πολὺ πλῆθος τῶν ἀρουραίων μυῶν ἐξανθῆσαι διαφαγεῖν, ὅσα σκύτινα τῶν τε ὅπλων καὶ τῶν χρηστηρίων· τοὺς δὲ αὐτόθι μεῖναι· τούτους δὲ καὶ τὴν Ἴδην ἀπὸ τῆς ἐν Κρήτῃ κατονομάσαι.*

8. [7.]

Strabo XIV. 668: *Καλλῖνος δὲ τὸν μὲν Κάλχαντα ἐν Κλάρῳ τελευτῆσαι τὸν βίον φησί· τοὺς δὲ λαοὺς μετὰ Μόψου τὸν Ταῦρον ὑπερθέντας, τοὺς μὲν ἐν Παμφυλίᾳ μεῖναι, τοὺς δ' ἐν Κιλικίᾳ μερισθῆναι καὶ Συρίᾳ μέχρι καὶ Φοινίκης.*

Fr. 4. Steph. Byz. *Τρῆρες Θρᾴκιον ἔθνος, λέγεται καὶ τρισυλλάβως παρὰ Καλλίνῳ τῷ* (sic RV, *κιῶ* et *καλλίνω* Pp, *Καλλιμάχῳ* A) *ποιητῇ· Τρῆρεας* (R *Τρίρεας*) *ἄ. ἄ.* Treres Celtae fuerunt, non diversi a *Treveris.*

Digitized by Google

II.

TYRTAEUS.

I. *EYNOMIA.*

1.

Aristoteles Polit. V. 6, 2: *Ἐν δὲ ταῖς ἀριστοκρατίαις γίνονται αἱ στάσεις — ἔτι ὅταν οἱ μὲν ἀπορῶσι λίαν, οἱ δ' εὐπορῶσι· καὶ μάλιστα ἐν τοῖς πολέμοις τοῦτο γίνεται. Συνέβη δὲ καὶ τοῦτο ἐν Λακεδαίμονι ὑπὸ τὸν Μεσσηνιακὸν πόλεμον. Δῆλον δὲ καὶ τοῦτο ἐκ τῆς Τυρταίου ποιήσεως τῆς καλουμένης Εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον ἠξίουν ἀνάδαστον ποιεῖν τὴν χώραν.* Adde Paus. IV. 18, 1: *καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἵρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶσιν, ἐᾶν ἄσπορον. Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι· καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τύρταιος.*

2. [1.] *)

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

* 3.

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.

Tyrtaeus. Fr. 2. Strabo VIII. p. 362: *καὶ γὰρ εἶναί φησιν (Τύρταιος) ἐκεῖθεν* (ex Lacedaemone) *ἐν τῇ ἐλεγείᾳ, ἣν ἐπιγράφουσιν Εὐνομίαν· Αὐτὸς γὰρ κτλ.*

Fr. 3. Diod. Sic. T. III. p. 3: *Ὅτι ὁ αὐτὸς Λυκοῦργος ἤνεσε χρησμὸν ἐκ Δελφῶν περὶ τῆς φιλαργυρίας τὸν ἐν παροιμίας μέρει μνημονευόμενον· Ἁ φιλοχρ. ... ἀδύτου, ἄρχειν μὲν βουλῆς κτλ.* Haec, quae sequuntur Tyrtaei sunt (Fr. 4.) itaque verisimile est, etiam priora Tyrtaei esse, itaque homines docti neglecto versu 1. *Ἁ φιλοχρ. κτλ.* inseruerunt v. 2. et 3. post primum distichon Fr. 4. sed cum hoc distichon *ὧδε γὰρ κτλ.* non bene cohaerere videatur cum eo, quod Plutarchus praemittit: *Φοίβου ἀκούσαντες κτλ.* hoc ipsum Schneidewinus subditicium esse censet. Sed potius in epitome Diodori duo diversi loci temere in unum conflati. Diodorus primum ex Tyrtaeo commemoraverat oraculum Lycurgo editum de vitanda avaritia, deinde aliud oraculum, quod Polydorus et Theopompus retulerant. Tyrtaeus autem hoc ipsum oraculum more suo pentametro addito explanaverat, fortasse etiam alia addiderat, denique in fine subiecit: *ὧδε γὰρ κτλ.* Ceterum Plut. Instit. Lac. 42. Alcameni et Theopompo editum esse dicit: cf. Zenob. Prov. II. 24. ibique interpr. — V. 1. doricas formas consulto servavi; pro *ὀλεῖ* Diod. et Zenob. *ἕλοι*, pro *δὲ* Schol. Eurip. Andr. 446. *γὰρ*. Coniiciat aliquis Tyrtaeum scripsisse *ἕλοι, ἄλλο δέ κ' οὐδέν.*

*) Numeri adiecti sunt editionis Bachianae.

Digitized by Google

* * * * * *

ὧδε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου.

4. [2.]

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει . .,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

V. 2. ὧδε Hermann, Diod. δὴ. — V. 3. χρυσοκόμης, Hermann χρησαμένους.

Fr. 4. Plutarch. vit. Lycurg. c. 6: Ὕστερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαστρεφόντων καὶ παραβιαζομένων, Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν· Αἱ δὲ σκολιὰν ὁ δᾶμος ἕλοιτο, τοὺς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας εἶμεν. τοῦτ' ἔστι μὴ κυροῦν, ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην παρὰ τὸ βέλτιστον· ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν, ὡς τοῦ θεοῦ ταῦτα προστάσσοντος, ὥς που Τύρταιος ἐπιμέμνηται διὰ τούτων· Φοίβου — ἀνταπαμειβομένους. (V. 1 — 7.) Auctius vero Diodor. Sic. T. III. p. 3. omisso poetae nomine et confusum cum Fr. 3. (ubi vide locum) affert v. 3 - 10. De hoc loco satis difficili conferas inprimis Goettling Opusc. p. 317. — V. 1. οἴκαδ' ἔνεικαν Amiotus et Xylander, libri οἷ τάδε νικᾶν. — V. 2. τε, τοῦ FaL. — V. 3. ἄρχειν, ἔχειν Fa, sed corr. in m. — βουλῆς Plut. (Fa τιμῆς), βουλῇ Diod. — βασιλῆας, ia βασιλεῖας. — V. 4. Σπάρτης Diod., Σπάρτας Plut. fort. recte. — ἱμερόεσσα, Diod. ἐχερόεσσα. — V. 5. πρεσβυγενεῖς Diod., πρεσβύτας Plut., fort. πρεσβυγενέας, cf. etiam Plut. an seni sit ger. resp. c. 10. — τε γέροντας Plut., δὲ γέρ. Diod. — V. 6. εὐθείαις ῥήτραις, Diod. εὐθείην ῥήτρας. — Post ἀνταπαμειβομένους distinctionem sustuli, nam arctissime cohaerent ea quae sequntur; similiter Sauppe Ep. ad Herm. p. 69. qui praeterea coniecit εὐθείῃ ῥήτρᾳ πάντ' ἀπαμειβομένους, Boissonade εὐθείην ῥήτραις. — V. 7. μυθεῖσθαί τε Dindorf, cod. μυθεῖσθαι δέ. — ἔρδειν, in proecdosi scripsi ἔρδειν. — V. 8. μηδέ τι βουλεύειν an μηδ' ἐπιβουλεύειν scribendum sit incertum, cum in fine vocabulum exciderit, cod. μηδέ τι ἐπιβουλεύειν, Dindorf μηδ' ἐπιβουλεύειν τῇδε πόλει τι κακόν, Bach μηδέ τι βουλεύειν τῇδε πόλει σκολιόν. — V. 9. δήμου τε, Kreba δήμου δὲ coni. — V. 10. Hecker interpunctione post ἕπεσθαι deleta coni. Φοῖβος ἀκειρεκόμης κτλ. Ceterum hic quoque videtur Tyrtaeus ipsa oraculi verba servavisse, quae poeta deinceps explanat, ut hoc fuerit dei responsum:

Ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας
πρεσβυγενέας τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι.

Nec obstat, quod Plut. dicit an seni g. s. resp. c. 10: τὴν ἐν Λακεδαίμονι ἀριστοκρατίαν ὁ Πύθιος πρεσβυγενέας, ὁ δὲ Λυκοῦργος ἄντικρυς Γέροντας ὠνόμασεν.

Digitized by Google

5. [3. 4.]

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φιτεύειν·
ἀμφ αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

6. [5.]

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντὸς ὅσον καρπὸν ἄρουρα φέρει.

7. [5.]

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εἴτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

8.

Strabo VIII. p. 362: *Πλεονάκις δ' ἐπολέμησαν διὰ τὰς ἀποστάσεις τῶν Μεσσηνίων· τὴν μὲν οὖν πρώτην κατάκτησιν αὐτῶν φησι Τυρταῖος ἐν τοῖς ποιήμασι κατὰ τοὺς τῶν πατέρων πατέρας γενέσθαι· τὴν δὲ δευτέραν, καθ' ἣν ἑλόμενοι συμμάχους Ἀργείους τε καὶ Ἠλείους*

Fr. 5. Tria fragm. in unum coniunxi, et primum quidem alterumque iam Buttmann copulavit. V. 1. et 2. Pausan. IV. 6, 2: *Οὗτος δὲ ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ· μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου λέγοντα· Ἡμετέρῳ κτλ.* — V. 3. servavit Schol. ad Plat. p. 448. ed. Bekk.: *Ἀφικόμενος δὲ οὗτος (Τυρταῖος) εἰς Λακεδαίμονα καὶ ἐπίπνους γενόμενος συνεβούλευσεν αὐτοῖς ἀνελέσθαι τὸν πρὸς Μεσηνίους πόλεμον, προτρέπων παντοίως· ἐν οἷς καὶ τὸ φερόμενον εἰπεῖν ἔπος· Μεσσήνην ἀγαθὸν μ. ἀ. ἀγαθὸν δὲ φ.* et similiter idem p. 388. et Olympiod. in Alcib. I. 162. (Olymp. etiam *φυτεῦσαι.*) *ἀγαθὴν* bis scripsit Buttmann. Respicit Strabo VIII. 366. — V. 4—8. Strabo affert VI. 279: *Μεσσήνη δὲ ἑάλω πολεμηθεῖσα ἐννεακαίδεκα ἔτη, καθάπερ καὶ Τύρταιός φησι· Ἀμφ' αὐτὴν κτλ.* Adde Pausan. IV. 15, 2., ubi versus 4. 5. 6., et IV. 13, 4., ubi v. 7. et 8. leguntur. — V. 4. *ἀμφ' αὐτὴν* Pausan. *ἄμφω τώδ'* Str. — V. 6. *αἰχμηταί*, Strabonis libri *αἰχμητάς* et deinde *ἦ μητέρων*. Respicit Strabo VIII. 362: *τὴν μὲν οὖν πρώτην κατάκτησιν αὐτῶν* (Messeniorum) *φησὶ Τυρταῖος ἐν τοῖς ποιήμασι κατὰ τοὺς τῶν πατέρων πατέρας γενέσθαι.* — V. 7. *δ'* Xylander. om. Strab. libri.

Fr. 6. Pausan. IV. 14, 3: *ἐς τιμωρίας δέ, ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους, Τυρταίῳ πεποιημένα ἐστίν· Ὥσπερ κτλ.* V. 3. *παντὸς ὅσον* Ahrens, *πᾶν ὅσσον* Kuhn, *πάνθ' ὅσσων* AXKFcAgPc, *πάνθ' ὅσων* MLab, *πάνθ' ὅσον* PdVab. Schneidewin (Philol. I. 588.) *ἥμισα πάνθ' ὅσσον.*

Fr. 7. Pausan. eod. l.: *Ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε· Δεσπότας κτλ.* quod ex eodem carmine esse apparet. V. 1. *οἰμώζοντες, οἰμώζοντας* VaLb.

Digitized by Google

(Kramer coni. *Ἀρκάδας*) *καὶ Πισάτας ἀπέστησαν, Ἀρκάδων μὲν Ἀριστοκράτην τὸν Ὀρχομενοῦ βασιλέα παρεχομένων στρατηγόν, Πισατῶν δὲ Πανταλέοντα τὸν Ὀμφαλίωνος, ἡνίκα φησὶν αὐτὸς στρατηγῆσαι τὸν πόλεμον τοῖς Λακεδαιμονίοις.*

9.

Aristot. Eth. Nic. III. 8, 5. (III. 11): de iis disserens, qui vi cogunt milites, ut fortiter pugnent: *Καὶ οἱ προστάττοντες, κἂν ἀναχωρῶσι τύπτοντες, τὸ αὐτὸ δρῶσι· καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες· πάντες γὰρ ἀναγκάζουσι· δεῖ δὲ οὐ δι ἀνάγκην ἀνδρεῖον εἶναι, ἀλλ' ὅτι καλόν.* ubi Eustratius *τοῦτο περὶ Λακεδαιμονίων λέγοιτ' ἄν· τοιαύτην γάρ τινα μάχην, ὅτε πρὸς Μεσσηνίους ἐμαχέσαντο, ἐπολέμουν, ἧς καὶ ὁ Τυρταῖος μνημονεύει.*

II. (*Υ Π Ο Θ Η Κ Α Ι.*)

10. [6.]

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,

Fr. 10. Lycurg. in Leocr. 107: *χρήσιμον δ' ἐστὶ καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων (τοῦ Τυρταίου), ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις (τοῖς Λακεδαιμονίοις)· τεθνάμεναι γάρ κτλ.* V. 1. *ἐπὶ*, V. Franke *ἐνὶ*. — V. 2. *ᾗ*, AB *τῇ ἑαυτοῦ*. — V. 3. *αὐτοῦ* Z Ald., v. *αὐτοῦ*, V. Franke *ἣν δ' αὐτοῦ*. — V. 4. *ἀνιηρότατον, ἀνιαρότατον* P, *ἀνιαρώτατον* AB et L a pr. m. — V. 6. *μικροῖς*, Z *μικρᾷ*. — V. 7. *μὲν* om. A a pr. m., Thiersch coni. *ἐχθρὸς γάρ τ' ἀστοῖσι*. — V. 9. *αἰσχύνει*, LP *αἰσχύνῃ*. — *εἶδος*, olim conieci *εὖχος*. — V. 10. *ἀτιμία*, Bekker et Hermann *ἀτιμίη*. — V. 11. *εἰ δ'* V. Franke et Passow, vulgo *εἰθ'*, iidem in fine V. 12. comma ponunt (vulgo plene interpungitur), ut v. 13. apodosin contineat. Sauppe *ἢ δ'* vel *ἢ θ'*, Thiersch verba *εἰθ' οὕτως* Lycurgi esse putat, qui omissis aliis versibus deinde pergat recitare Tyrtaei versus . . . *Ἀνδρός τοι*, amicus Thierschii *εἰ δ' ἄγεθ' οὕτως ἀνδρὸς ἀλ.* eiecto *τοι*, Hermann *εἰ δ' οὕτως οὔτ' ἀνδρὸς ἀλ. οὐ. ὥ. γ. οὐδ' αἰδώς, ἧς τ' ὀπίσω τελέθει*, ut ante *ἧς τ'* negatio repetenda sit, quae illi *οὔτε* respondeat, Ahrens *εἰ δ' οὕτως ἀνδρὸς τότ'* (nunc *τε* scribit) *ἀλ. . . . οὔτ' ὀπίσω γένεος*. — *ὥρη, ὥρη* ABLPZ. — V. 12. *οὔτ' αἰδὼς, οὐδ' αἰδὼς* Z. — *οὔτ' ὄπις οὔτ' ἔλεος* scripsi, vulgo *εἰσοπίσω τελέθει*, sed ABP *οὔτ' ὀπίσω τέλος* (P *τελ.*) et *οὔτ' ὀπίσω* etiam L a m. pr., sed corr. *ἧς τ' ὀπίσω* ut Z.

Digitized by Google

θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα —
αἰσχρὰ τάγ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν —
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χείλος ὀδοῦσι δακών.

V. 13. τῆσδε, τῆς γε Z. — μαχώμεθα, μαχόμεθα ABP. — V. 14. θνήσκωμεν, θνήσκομεν AB. — ψυχέων Ald., ψιχάων ABLPZ. Ahrens θνησκέμεν εὐψύχως, Kayser post v. 13. pentametrum, ante v. 14. hex. excidisse putat. — V. 16. μηδὲ φόβου, Z μήτε φόβου. — αἰσχρᾶς, Sauppe αἰσχρῆς. — V. 17. ποιεῖσθε ABP, vulgo ποιεῖτε. — V. 18. μαρνάμενοι, LPZ μαχόμενοι. — V. 20. γεραιούς Z, γηραιούς ABLP, conieci γεράρους, idem etiam Winckelmann, sed fort. poeta scripsit τοὶ νεαροί, Kayser ἀνηλεγέως coniecit, χηρεῖους Ahrens deleto τοὺς. — V. 21. γὰρ, AB μὲν γὰρ. — V. 22. πρόσθε, B πρόσθεν. — V. 25. φίλαις ἐν, BZ φίλ' ἐνί, Schneidewin φίλῃς ἐν. — V. 26. τάγ' vel τά γ' vulgo, Hermann τά τ', Sauppe τὰ δ'. Ego conieci olim αἴσχεά τ' ὀφθαλμοῖς, Cobet αἰσχρὸν ἐν ὀφθαλμοῖς, Hecker αἰσχρόν τ' ὀφθ., idemque priore versu ἔντερά θ' αἱματόεντα coniecit, ipse, ut puto, mox improbaturus. Deinde Reiske νεμεσήτ' ἐνιδεῖν, V. Franke νεμεσητὰ ἰδεῖν, possis νεμεσήτ' ἐσιδεῖν. — V. 27. νέοισι δὲ, Thiersch νέῳ δέ τε. cf. Hom. Il. X. 71: νέῳ δέ τε πάντ' ἐπέοικεν Ἀρηϊκταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ ὅττι φαγήῃ· ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον αἰδῷ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος, τοῦτο δὴ οἰκτιστον πέλεται δειλοῖσι βροτοῖσιν. — V. 28. ἐρατῆς Z, itaque Valckenaer coniecit, ἀρετῆς ABLP, ἄρα τῆς vulgo, ἄρα τις χ' V. Franke, ego in proecdosi ἄρα τις. — V. 29. θητὸς Reiske, libri θνητοῖσιν. — V. 31. et 32. Stoll in Philologo IV. 169. subditicios censet, iniuria, quamquam distichon hoc repetitur Eleg. 11. v. 21. 22. — Ceterum et haec elegia, et quae deinceps sequuntur 11. et 12., integra sunt carmina, quamquam Franke elegiam 10. et 11. in unum coniungere conatus est, versibus aliis traiectis aliis obelo notatis, cui iure iam adversatus est Aug. Matthiae (de Tyrtaei carminibus Altenb. 1820.) Thiersch autem in Act. Mon. III. 625. omnia in breves quasdam particulas dissolvere conatus est.

Digitized by Google

11. [7.]

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' εἰς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας ὁμῶς αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ Ἄρηος πολυδακρύου ἔργ' ἀΐδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ παρὰ φευγόντων τε διωκόντων τε γέγευσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἐς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενον ἐστὶ δαΐζειν
ἀνδρὸς φεύγοντος θῆῑῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.

Fr. 11. Stob. Flor. L. 7: *Τυρταίου* (sic A Trinc., Vind. a m. s. ἰρωελεγεῖα) *Ἀλλ' Ἡρακλῆος κτλ.* Resp. v. 1. Plutarch. de nobil. c. 2: *ὁ Τυρταῖος τοὺς αὐτοῦ στρατιώτας εἰς πόλεμον παρακαλούμενος, γενεὰν Ἡρακλέους ἀνικήτου φησὶν αὐτούς.* V. 1. Gesn. margo *ἀνίκητον.* — V. 4. In proecdosi hic et v. 10. *ἐς* scripsi, et v. 5. *ἐχθρὴν.* — V. 6. *κῆρας ὁμῶς αὐγαῖς* Grotius, *κῆρας αὐγαῖς* A. Voss. Vind., *κῆρας ἐπ' αὐγαῖσιν ἡ. φίλαις* B, *αὐγαῖσιν κῆρας* Gesn. in m. Etenim *ὁμῶς* cum omissum et postea in margine adiectum esset, per errorem insertum versui seq. et inde illud *ὡς* ortum, quod prorsus incommodum. — V. 7. *Ἄρηος* scripsi, et sic Emperius, v. *ὡς Ἄρεως*, (Voss. *ὡς Ἄρεος*). — ib. B et Gesn. in m. *πολυδακρύτου*, v. — ib. *ἀΐδηλα* Ars. et marg. Gesn., v. *ἀρίδηλα.* — V. 9. *παρὰ* Voss., *πρὸς* B., .ξ· Vind., *μετὰ* v. — *τε* ante *διωκ.* om. Trinc. (Vindob.) — ib. *τε γέγευσθε* scripsi, *τ' ἔγευσθε* Voss., *τ' ἄγεσθε* A, *τ' ἐγένεσθε* Trinc. (et Vind. sec. Schneidewin., sec. Gaisf. *ἄγεσθε* vel *ἄγευσ.*) — V. 13. *σαοῦσι* Buttmannus, v. *σάουσι.* — V. 14. A *πᾶσ' πώλετο.* — V. 15. *οὐδείς*, fort. *οὐδεὶς δ'* ut Ursin. — V. 16. *ἦν* et *γίγνεται* Valckenar., v. *ἄν* et *γίνεται*; idem etiam *αἰσχροπαθῇ*, vel *ὅσσαπερ αἰσχρὰ παθεῖν γίγνεται ἀνδρὶ κακῷ* coniecit. Fort.: *ὅσσ' αἰσχρ', ἤν τι πάθῃ, γίγνεται ἀνδρὶ κακῷ — κακά*, B supra *κακῷ.* — V. 17. *αργαλέον*, Ahrens coni. *ἀρπαλέον.* et est aperte corruptum; nam fugientem interimere facillimum est: neque tamen *ῥηΐδιον* hic scribendum, sed *ῥιγαλέον*: ipsi enim Spartani fugientibus parcere solebant, vid. Plut. Lyc. c. 22: *Τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον ὅσον ἐμβεβαιώσασθαι τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων, εἶτα εὐθὺς ἀνεχώρουν οὔτε γενναῖον οὔτε Ἑλληνικὸν ἡγούμενοι κόπτειν καὶ φονεύειν ἀπολεγομένους καὶ ἀποκεχωρηκότας.* cf. O. Müller Dor. T. II. p. 247. — V. 18. *θῆῑῳ*, Franckius *θήϊον.* — V. 19. *αἰσχρὸς* codd., *αἰσχρὸν* Gesn. margo Trinc. — *κακκείμενος* A, v. *κατακείμενος.*

Digitized by Google

ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χείλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὦμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄμβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄμβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω·
καὶ πόδα παρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισι πλησίον ἱστάμενοι.

12. [8.]

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην

V. 24. γαστρὶ, Voss. Ars. δουρί. — V. 25. ὄμβριμον Ars., ὄβριμον v. — V. 27. ἔρδων servavi, corrigunt ἔρδων. — ib. ὄμβριμα Voss. Ars., ὄβριμα v. — πολεμίζειν, Arsenius πολεμίζων, Voss. πολεμίζ-, unde ἔρδειν ... πολεμίζων coniicias. — V. 28. A ἑστάτ'. — V. 33. πεπλημένος Brunckius, v. πεπαλημένος. — V. 37. ξεστοῖσιν epitheton tantum ornans foret, sed distinguenda sunt haec iacula, quibus milites levis armaturae utebantur, a pilis hoplitarum (v. 29. ἔγχεϊ μακρῷ, v. 34. δόρυ μακρὸν) itaque ξυστοῖσιν coniicio, apud Homerum quidem hasta procera appellari solet, ut est μακροῖσι ξυστοῖσι Il. ν'. 497. et νῶμα δὲ ξυστὸν μέγα ναύμαχον ... δύω καὶ εἰκοσίπηχυ ὀ'. 677., sed postea dicta sunt iacula breviuscula, ut Herodot. II. 71. ξυστὰ ἀκόντια. Xenoph. Cyr. VII. 1, 33. ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ μαχαιρῶν, itaque equites potissimum utebantur, vid. ib. IV. 6, 1. — V. 38. πανόπλοισι Dindorf, πανοπλίοισι A. Voss. Trinc. Vindob., πανοπλίταις B. Gesn. marg., ταῖσι πανοπλίαις Ursinus, πανοπλίοις v. — πλησίον, B (?) ἐγγύθεν.

Fr. 12. Stob. Flor. LI. 1. affert primum v. 1—14: Τυρταίου (sic A Trinc.), tum LI. 5. v. 15—44. (Τυρταίου Trinc., Ἥρω ἐλεγεῖα Voss. et Vind. in m., om. lemma A.), sed recte Brunck, alii haec in unum coniunxerunt, quae videntur casu magis, quam consulto ap. Stobaeum diremta. Continuo post v. 14. secutum esse v. 15. maxime docet quod haec ipsa particula carminis inter Theognidea recepta est v. 1003—6. hoc modo: Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον, κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σαφῶς· ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ, ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ. Et ad eandem elegiam utrumque fragmentum pertinere docet etiam repetitio consulto adhibita v. 10. et 20; accedit quod Plato quoque in Legibus utramque partem respexit, cf. quae dixi in Museo Rhen. novo III. 213 seq. Bernhardy tamen Hist. Litt. Gr. II. 346. multa sibi reperisse visus est, quae offensioni sint, cui jure adversatus est etiam Schneidewin

Digitized by Google

οὐτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ Θέων Θρηΐκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς,
— οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ —
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·

Philol. III. 106. — V. 1. Plato Leg. I. 629: *Τυρταῖον — ὃς δὴ μάλιστα ἀνθρώπων περὶ ταῦτα ἐσπούδακεν εἰπών, ὅτι· οὔτ' ἂν μν. οὔτ' ἐν λ. ἄ. τιθείμην, οὔτ' εἴ τις πλουσιώτατος ἀνθρώπων εἴη, φησίν, οὔτ' εἰ πολλὰ ἀγαθὰ κεκτημένος, εἰπὼν σχεδὸν ἅπαντα, ὃς μὴ περὶ τὸν πόλεμον ἄριστος γίγνοιτ' ἄν.* et ib. II. 660: *ἐὰν δ' ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος, ἄθλιός τ' ἐστὶ καὶ ἀνιαρῶς ζῇ, καὶ οὔτ' ἂν μνησαίμην, φησὶν ὑμῖν ὁ ποιητής, εἴπερ ὀρθῶς λέγει, οὔτ' ἐν λ. ἄ. τιθείμην, ὃς μὴ πάντα τὰ λεγόμενα καλὰ μετὰ δικαιοσύνης πράττοι καὶ πᾷτο, καὶ δὴ καὶ δηΐων οὗτος ἂν ὀρέγοιτο ἐγγύθεν ἱστάμενος, ἄδικος δὲ ὢν μήτε τολμῷ ὁρῶν φόνον αἱματόεντα, μήτε νικῷ θέων Θρηΐκιον Βορέην, μήτε ἄλλο αὐτῷ μηδὲν τῶν λεγομένων ἀγαθῶν γίγνοιτό ποτε.* unde restitutum *τιθείμην*, Stob. *τιθείην* (et pro *ἐν λόγῳ* habent A Vind. Trinc. *ἂν λόγῳ.*) — V. 2. *παλαισμοσύνης*, A Vind. Trinc. *παλαιμοσύνης*, fort. recte. — V. 3. *ἔχοι*, *ἔχοις* Vind., *ἔχει* A Voss. — V. 4. *θέων*, B *θεῶν*. — V. 5. *χαριέστερος*, Trinc. *χαριέστατος*. — V. 6. *Κινύρεω μάλιον* G. M. Schmidt, cf. Hesych.: *Μάλιον· μᾶλλον*, vulgo *Κινυρέοιο μᾶλλον*, et sic Vind. A (hic tamen *Κινυρεοῖο*), B *Κινύραο πλέον*, Camerarius *Κινύρεω βάθιον*. Ceterum cf. Plato Rep. III. 408. B: *οὐδ' εἰ Μίδου πλουσιώτεροι εἶεν.* — V. 8. cf. Plat. Phaedro 269. A: *τί δέ, τὸν μελίγηρυν Ἄδραστον οἰόμεθα κτλ.* — V. 9. *ἔχοι*, *ἔχει* A et Vind. a m. pr. — *πλὴν* om. B. — V. 11. *μὴ τετλαίη*, Vind. Trinc. *μήτε τλαίης — φόνον*, *πόνον* A a m. pr. cf. Plat. Leg. I. 629. E: *εἰρηκας γοῦν ὧδε ἐν τοῖς ποιήμασιν, ὡς οὐδαμῶς τοὺς τοιούτους ἀνεχόμενος· οἳ μὴ τολμήσωσι μὲν ὁρᾶν φόνου αἱμ. z. δ. ὀρέγοιντ' ἐγγ. ἱστάμενοι.* — V. 13—16. leguntur in Theognideis v. 1003—6. — *ἥδ'* Hermann, vulgo *ἡ δ'*. — *τόδ'*, *τόγ'* B, idem inverso ord. *ἄριστον ἔν ἀ. ἄεθλον*. — V. 14. *νέῳ*, Theogn. *σοφῷ*. — V. 16. *ἀνήρ*, Upton coni. *ἂν εὖ*. Huc respicit Plato Leg. I. 630. B: *διαβάντες δ' εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, ὡς φράζει Τυρταῖος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι.* — V. 17. *αἰσχρᾶς*, A *αἰσχροῖ*, unde in proecdosi *αἰσχρῆς* scripsi. — V 19. *δ' ἔπεσιν* Hermann, vulgo *δὲ πεσεῖν*, Voss. *δὲ*.

Digitized by Google

αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
εἰ δέ τις ἐν προμάχοισι πεσὼν φίλον ἄλεσε θυμόν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' οὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

13. [10.]

Αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν.

V. 22. τ', Vind. θ', A δ'. — ἔσχεθε, A ἔχεσκε. — V. 23. εἰ δέ τις scripsi, (nisi ἄνδρα δ' ὃς malis), ut v. 27. τὸν δ' ὀλ. κτλ. sit apodosis, vulgo αὐτὸς δ' et plene interpungitur v. 26. — V. 25. πολλὰ, A πολλὰ δὲ. — V. 31. οὐδέ ποτε Hermann, vulgo οὐδέποτε. — V. 35. εἰ, Brunck ἢν, contra Ursinus et Steph. φύγοι. .. ἕλοι. — τανηλεγέος, Vind. τανηλεγέως. — V. 36. ἕλῃ, B ἔχῃ. — V. 37. μιν om. A. — V. 38. τερπνὰ A, θερπνὰ vulgo. — V. 39. γηράσκων A, vulgo γηράσκων δ', explicantur his versibus 39—42 verba πολλὰ τερπνὰ παθών. — μεταπρέπει Vind. Trinc., vulgo μετατρέπει. — In Theognidis haec sunt contracta et male cum alienis versibus conglutinata v. 933: Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ· ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχεν· πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν χώρης εἴκουσιν, τοί τε παλαιότεροι. γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν βλάπτειν οὐδ' αἰδοῦς οὐδὲ δίκης ἐθέλει. Franke v. 39—42 subditicios censet, Thiersch Act. Mon. III. 636. existimat v. 41. 42. ante v. 39. 38. collocandos, et πάντες δὴ ἐν θώκοισι coniecit, contra Schneidewin vulgatum ordinem tuetur, sed v. 37. et 38. eiiciendos esse censet, quod fieri nequit, nam vir fortis continuo ab omnibus, quamvis nondum ad senectutem pervenerit, honorari solet.

Fr. 13. Galen. de Hippocr. et Platon. plac. III. T. I. p. 267. ed. Bas. οἷον καὶ ὅταν εἴπῃ (Χρύσιππος) Τυρταῖον λέγοντα· Αἴθωνος κτλ. ὅτι μὲν

Digitized by Google

14. [9.]

Πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου.

III. *EMBATHPIA.*

15. [11.]

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιητᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμιως [βάλλετε]
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

* 16. [12.]

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν.

γὰρ ἔχει ὁ λέων θυμὸν ἀκριβῶς ἅπαντες ἄνθρωποι καὶ πρὶν ἀκοῦσαι Τυρταίου γιγνώσκομεν. et ibid.: *Τύρταιος δέ γε, καθάπερ οὖν καὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ ἁπλῶς εἰπεῖν ἅπαντες οἱ ποιηταὶ σφοδρότατον ἔχειν φασὶ τοὺς λέοντας τὸν θυμόν, ὥστε καὶ τῶν ἀνθρώπων ὅστις ἂν ᾖ θυμοειδέστατος εἰκάζουσι λέοντι.*

Fr. 14. Plutarch. de Stoic. repug. c. 14: *καὶ τὸ Τυρταίου τὸ πρὶν ἀρετῆς κτλ.* — *πρὶν*, Brunck *πρίν γ'*.

Fr. 15. Dio Chrys. I. 34. ed. Emp.: *ἔτι δὲ οἶμαι τὴν παρακλητικήν, οἷα τῶν Λακωνικῶν ἐμβατηρίων, μάλα πρέπουσα τῇ Λυκούργου πολιτείᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ἐκείνοις· ἄγετ' ὦ κτλ.* ubi Schol. secund. Morellium: *παρακλητικὰ ἐκ τῶν Τυρταίου.* Tzetz. Chil. I. 692: *Τυρταῖος Λάκων στρατηγὸς καὶ ποιητὴς ὑπῆρχεν Προτρεπτικὰ πρὸς πόλεμον γράψας ἐσμάτων μέλη — ὡς Λίων ὁ Χρυσόστομος οὕτω που γράφει λέγων· ἄγετ' ὦ κτλ.* V. 1. *Σπάρτας*, V *παρτα.* — V. 2. *κοῦροι*, M *κοῦρα.* — *πατέρων* CM AVP Tzetz., *πρότερον* m. in marg., *πρῶτον* rell. — *πολιητᾶν*, quod Hermann coniecit, P, *πολιητᾶν* V, *πολιητῶν* M, *πολιητᾶς* C, *πολιῆται* M in m. et rell., om. Tzetz., Ahrens *ὁπλιτᾶν*, Schneidewin *πανοπλιτᾶν*, Thiersch *ἄγετ' ὦ Σπάρτας πολιᾶται, κοῦροι πατέρων εὐάνδρων.* — V. 3. *λαιᾷ μὲν* V et Tzetzes, *λαᾶ μὲν* C, *λαιὰν μὲν* M, *λαιᾷ μέντοι* mr. — *ἴτυν*, B *ἴτην.* — *προβάλεσθε*, *προβάλλεσθε* BCMP a m. s. (a m. pr. *προβάλλεσθαι*) et Tzetz. (cod. B Tzetz. *προβάλλοντες*). — V. 4. *δ'* ciecerunt Klotz et Thiersch. — *βάλλετε* cancellis sepsi, nam est haud dubie a librariis profectum ad versum redintegrandum; Tyrtaeus scripsisse videtur *δόρυ δ' ἐξιτερᾷ δ' εὐτόλμως.* Ceterum *βάλλετε* libri meliores PCM (supra *βάλλοντες*) var. lect. v., sed *βάλλοντες* V et rell., Luzac et Thiersch *πάλλοντες.* — V. 5. *φειδόμενοι*, Tzetz. *φείδεσθε*, unde prius *πάλλοντες . . φείδεσθαι* conieci. — *τᾶς ζωᾶς* M, *τὰς ζωᾶς* C, *ζωᾶς* rell. — V. 6. *πάτριον* CM (corr. *πάτρι*), *πατρὶ* B, *πάτρι* v. — *τᾷ Σπάρτᾳ* CM (corr. *τῆς σπάρτας*) Tzetz., *τᾶ Σπάρτα* B, *τᾶς Σπάρτας* v. Contra mr pro hoc versu nihil nisi *περὶ πάτρας.*

Fr. 16. Hephaest. 46. om. nom. auctoris: *Τὸ μέντοι τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα, εἰσὶν οἳ Λακωνικὸν καλοῦσι, προφερόμενοι παράδειγμα· Ἄγετ' κτλ. Ἄρεος* D (idem *κίνησιν*), vulgo *Ἄρεως.* Probabiliter ad Tyrtaeum referunt. — Ex Tyrtaeo conversus videtur versus ap. Mar. Vict. II. 11: *Ite o Spartae primores fauste nunc Parcas ducentes.* quem ille falso Molossicum versum dicit temereque *moras* Laconici exeroitus *Parcas* interpretatur.

Digitized by Google

III.

ASIUS.

Χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλίτῃ
ἦλθεν κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
ἥρως εἰστήκει βορβόρου ἐξαναδύς.

IV.

PISANDER.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης·
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρῃ συνάγων.

Asius. Athen. III. 125. B: *Κνισολοῖχος γάρ τις εἰ καὶ κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον καὶ κνισοκόλαξ — τὰ μὲν οὖν τοῦ Ἀσίου, ἔφη ὁ Μυρτίλος, ἔπη ταῦτ' ἔστι· Χωλὸς κτλ.* V. 1. *ἶσος* P, v. *ἴσος*. — V. 2. *ἦλθεν κνισοκόλαξ* B, *ἦλθε κνισσοκόλαξ* C, *ἦλθεν ὁ κνισοκόλαξ* PVL. Welcker *Κνισοκόλαξ*, ut nomen proprium sit, coniecit de Cycl. Ep. I. 144. Si Melcs Homeri pater intelligendus est, Asius fortasse Irum aliquem nuptiis intervenire finxit, quamquam Homerici Iri origo repetenda ex iis, quae Athen. VI. 259. A refert. Ceterum non est hoc epigramma, sed pars maioris carminis.

Pisander. Anth. Pal. VII. 304: *Πισάνδρου Ῥοδίου. τούτου τοῦ ἐπιγράμματος μέμνηται Νικό(λαος) ὁ Δαμασκηνὸς ὡς ἀρίστου. εἰς Ἱππαίμονα τὸν ἐκ Κρήτης Μάγνητα.* Prius distichon legitur etiam ap. Dion. Chr. XXXVII. T. II. 532: *Ἀνδρὶ ... Βάβης. τίς οὖν οἶδεν Ἑλλήνων οὐχ ὅτι τὸν ἵππον, ἀλλ' αὐτὸν τὸν Ἱππαίμονα; δοκῶ μὲν οὐδὲ Μαγνήτων, ὅθεν ἦν Ἱππαίμων. οὗτος μὲν οὖν φροῦδος ἐξ ἀνθρώπων αὐτῷ Βάβητι καὶ Ποδάργῳ.* et ap. Polluc. VI. 45: *οὐ μὴν οὐδὲ ὁ Μάγνης κύων, τὸ Ἱππαίμονος κτῆμα, ὁ Λήθαργος, ἀνώνυμος, ὃς τῷ δεσπότῃ συντέθαπται, καθάπερ μηνύει τοὐπίγραμμα· ἀνδρὶ κτλ.* et Eudoc. 96. — V. 1. *ὄνομ' ἦν* Anth. Poll. Eud. et ap. Dion. BM. (in m. *ὄνομα ᾧ*), sed reliqui codd. *ὄνομα τῷ*. — *Ἱππαίμων*, Eud. *Ἱππάμων*. — V. 2. *Λήθαργος* Dio Poll. Eud., *Θήραργος* Anth., sed *γρ. λήθαργος*. (haud dubie ex Nicolao Damasc.) — *Βάβης*, Eud. *Βάθης*. — V. 3. *ἐκ* sec. m. in Pal. add. — *Αἵμονος* Plan., *αἵμονος* Pal. Ceterum Thessalus fuit equus, Creticus canis, Hippaemon Magnesius, servi, qui inferiore habetur loco, patriam consulto poeta videtur reticuisse: fuit fortasse Phryx, vid. Tit. Phryg. n. I. ap. Stevart A Description of some ancient monuments in Lydia and Phrygia: BABA, idem nomen *Βάβυς*, vid. Proverbia *Κάκιον ἢ Βάβυς αὐλεῖ*, de quo cf. Athen. XIV. 624. B et Zenob. Prov. IV. 81., et *Βάβυος χορὸς* App. Prov. I. 46. Ceterum etiam Pherecydis Syrii pater *Βάβυς* vocabatur, vid. Suid. *Φερεκύδης*, Diog. Laert. I. 116. De significatione confer Phot. Bibl. p. 341. B: *Βάβια δὲ οἱ Σύροι, καὶ μάλιστα οἱ ἐν Δαμάσκῳ τὰ νεογνὰ καλοῦσι παιδία, ἤδη δὲ καὶ τὰ μειράκια ἀπὸ τῆς παρ' αὐτοῖς νομιζομένης Βαβίας θεοῦ.*

Digitized by Google

V.

MIMNERMUS.

NANNΩ.

1. [1.] *)

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
εἰ ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,
ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

2. [2.]

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυανθέος ὥρῃ
ἔαρος, ὅτ' αἶψ' αὐγῇς αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακόν
οὔτ' ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι,

Mimnermus. Fr. 1. Stob. Flor. LXIII. 16: *Μιμνέρμου· τίς δὲ κτλ.* V. 1. 2. affert. Plut. de virt. mor. c. 6. s. p. n.: *ἀκολάστων μὲν γὰρ αἵδε φωναί· τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς Ἀ. τ. ... μέλει.* Cf. Apostol. XVI. 61. c. Huc respicit Horat. Epp. I. 6, 65: *Si, Mimnermus uti censet, sine amore iocisque Nil est iucundum, vivas in amore iocisque.* V. 1. *τίς δὲ*, cod. Vind. Arsen. *τίς δαί.* — *χρυσῆς*, fort. *χρυσέης.* — V. 3. et seq. om. cod. Vind. Trinc. — *δῶρα καὶ εὐνή*, Hecker *δῶρα Διώνης.* — V. 4. *εἰ ἥβης ἄνθεα* AB, *ἄνθεα εἰ ἥβης* vulgo, *ἄνθεα τῆς ἥβης* Grotius, *εὐανθὴς ἥβη γ. ἁρπαλέη* Schneidewin, *ἄνθε' ἀεὶ ἥβη* O. Schneider, Kayser *ἄνθε' ὁμηλικίης* vel *ἡλικίης δ' ἄνθεα*, Ahrens *οἱ' ἥβης ἄνθεα*, Hermann *ἄνθεα ταῦθ' ἥβης*, Hertzberg *εἰ' (αἰ?) ἥβης ἄνθεα.* Fort. *ἔσθ' ἥβης ἄνθεα γίγνεται, ἁρπαλέα κτλ.* — V. 5. *ἐπεὶ δ'*, AB *ἐπεί τ'*, Brunck *ἐπὴν δ'.* — V. 6. *ὁμῶς καὶ καλὸν* libri, *ὁμῶς καὶ κακὸν* Hermann, *ὅμως καὶ καλὸν* Doederlein coni. — V. 7. *αἰεί μιν* scripsi, v. *αἰεὶ μέν.* — V. 8. *προσορῶν*, Grotius *προσορᾶν.*

Fr. 2. Stob. XCVIII. 13: *Μιμνέρμου· ἡμεῖς δ' κτλ.* V. 1. *πολυανθέος* A, v. *πολυάνθεμος.* — *ὥρῃ* scripsi, legeb. *ὥρη.* — V. 2. *αἶψ'*, Brunck *ἄψ.* — *αὐγῇς* Schneidewin, *αὐγὴ* libri; subiectum est *φύλλα.* Postea Schneidewin coni.: *φύλλ', ἃ φύει πολυανθέος ὥρη ἔαρος, αἶψ' αὐγῇς ἅζεται ἠελίου.*

*) Numeri adiecti sunt editionis Bachianae.

Digitized by Google

ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίννυθα δὲ γίγνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος·
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα τεθνᾶναι βέλτιον ἢ βίοτος·
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὥντε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3. [4.]

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλοις.

4. [5.]

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ὁ Ζεύς
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

5. [3.]

(Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·)
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

V. 9. ἐπήν, Brunck ἐπεί. — παραμείψεται, παραμεῖψαι *A*. — V. 10. τεθνᾶναι Stephanus et O. Schneider, τεθνάμεναι Bach, codd. δὴ τεθνάναι, nisi forte leg. δὴ θνᾶναι. cf. Hesych. θνάναι. θανεῖν. — V. 11. ἄλλοτε A, v. ἄλλοτέ τ'. — V. 12. πενίης, περὶ ἡ A. — V. 16. διδοῖ B, v. διδῷ.

Fr. 3. Stob. CXVI. 1: *Μιμνέρμου* (A, sed Trinc. *Μενάνδρου*) τὸ πρὶν κτλ. — V. 1. ὥρη, Ursin. ex codd. ὥρην. — V. 2. φίλοις Voss., vulgo φίλος.

Fr. 4. Stob. CXVI. 33: *Μιμνέρμου Ναννοῦς* (*Νάννου* A, om. lemma Vind.)· *Τιθωνῷ* κτλ. — V. 1. ἔχειν, A. Vind. Trinc. σχεῖν, fort. ὀχεῖν. b. ὁ Ζεὺς om. A. B. Voss. Vind., ὁ Trinc., ἄφθιτον αἰεί coni. Schneidewin.

Fr. 5. Stob. CXVI. 34: *ἐκ Μιμνέρμου Ναννοῦς* (*Νάννου* A, om. Vind. Trinc.)· *Ἀλλ' ὀλιγοχρ.* κτλ. ... *ἀμφιχυθέν*· sed cum v. 4—6. legantur in Theognideis v. 1020—1022, recte Brunck fragmento, quod servavit Stobaeus, tres versus praemisit: *Αὐτίκα* ... *εἶναι*, qui praecedunt apud Theogn. 1017—1019. — V. 4. ὄναρ, Schneidewin ἔαρ. — V. 5. ἀργαλέον, Theogn. οὐλόμενον. — V. 6. Theog. αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται. — V. 7. A. ὅταν γνωστὸν τιθῇ.

Digitized by Google

6. [6.]

Αἶ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

7. [7.]

Τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

8. [8.]

Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

9. [12.]

Ἡμεῖς δ' αἰπὺ Πύλου Νηλήϊον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νησὶν ἀφικόμεθα.
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἐζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
κεῖθεν δ' ἀστύεντος ἀπορνύμενοι ποταμοῖο

Fr. 6. Diogen. Laert. I. 60: *φασὶ δ' αὐτὸν (Σόλωνα) καὶ Μιμνέρμου γράψαντος· αἶ γὰρ κτλ. ἐπιτιμῶντα αὐτῷ εἰπεῖν· Ἀλλ' εἴ μοι κτλ.* cf. Apostol. I. 60. b. — V. 1. *μελεδώνων*, Cobet *μελεδωνέων*, recte, ut videtur: nam antiqui poetae aut *μελεδώνη* ant *μεληδών* videntur dixisse.

Fr. 7. Anthol. Pal. IX. 60: *Μιμνέρμου· παραίνεσις εἰς τὸ ἀνέτως ζῆν.* Idem distichon legitur in Theogn. v. 795, 796. praemisso alio:

Μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς,
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐών.

quod Bach, alii etiam Mimnermo vindicaverunt, sed ab hoc separandum est. — V. 1. *σαυτοῦ*, Bekker olim *σ' αὐτοῦ*.

ε

Fr. 8. Stob. XI. 1: *Μενάνδρου Ναννοῦς* (A, om. Trinc., *μ ναννους* Vind., *Μένανδρος ἐν Νάννοις* Schow.) *ἀληθ. κτλ.* Passow et Gaisford *Μιμνέρμου*.

Fr. 9. Strabo XIV. 634: *Ἀπελθόντες δὲ παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι στρατεύουσιν ἐπὶ τὸν τόπον ἐν ᾧ νῦν ἐστὶν ἡ Σμύρνα, Λελέγων κατεχόντων· ἐκβαλόντες δ' αὐτοὺς ἔκτισαν τὴν παλαιὰν Σμύρναν. — Ὕστερον δὲ ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα καὶ μετὰ τῶν ἐνθένδε ἐπιόντες τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ φράζει μνησθεὶς τῆς Σμύρνης ὅτι περιμάχητος ἀεί· Ἡμεῖς κτλ.* V. 1. *ἠμεῖς δ' αἰπύ*, Med. 3. 4. Paris. *ἠμεῖς αἰπύ τε.* — *Πύλου* scripsi, vulgo *Πύλον*. — V. 3. *ἐς δ' ἐρατὴν* Wyttenbach, codd *ἐς δ' ἄρα τὴν*. — V. 5. *κεῖθεν*, Med. 4 corr. *κεῖθε*. — *δ' ἀστύεντος*, Paris. Med. 2 *διαστήεντος*, Med. 3 *δ' ἀναστάντες*, unde olim *δὲ στιήεντος* conieci probante Hertzbergio. Brunck *δ' Ἀλήεντος*, Schneidewin *δ' αὐτις Ἀλεντος*, at producitur prima syllaba, vid. Lycophr. 468. Hecker *δ' ἀενάοντος*. In proecdosi *δὲ κρυόεντος* (*δ' αὖ στυγόεντος*) scripsi, vid. Pausanias VIII. 28, 3: *Ἄλεντος* (codd. *ἀνελόντος*) *δὲ τοῦ ἐν Κολοφῶνι καὶ ἐλεγείων ποιητὴν τὴν ψυχρότητα ᾄδουσιν*, ut hunc ipsum locum respexerit. Fortasse huc potius quam ad Acidem Siciliae fluvium referendum est proverbium ap. Diogen. II. 74: *Ἄκις ποταμὸς* (K *Ἄκτις ποτός*, Apostol. II. 12. *Ἄκτης*

Digitized by Google

θεῶν βουλῇ Σμύρνην εἴλομεν Αἰολίδα.

10. [13.]

Strabo XIV. 634: *Κολοφῶνα δ' Ἀνδραίμων Πύλιος (κτίζει), ὥς φησι καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ.*

11 [10.]

Οὐδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων
ἐξ Αἴης, τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπῆρες ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον,

* * *

Αἰήταο πόλιν, τόθι τ' ὠκέος Ἠελίοιο
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χεῖλος, ἵν' ἥχετο θεῖος Ἰήσων.

12. [9.]

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
οὐδέ ποτ' ἄμπαυσις γίγνεται οὐδεμία
ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠώς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ·
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή
κοιλίη, Ἡφαίστου χερσὶν ἐληλαμένη

ποτός) ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γάρ ἐστιν οὗτος. Sed quod flumini revera fuerit nomen, prorsus obscurum. — V. 6. *Σμύρνην εἴλομεν* Brunck, vulgo *Σμύρναν εἴδομεν.*

Fr. 11. Strabo I. 46: *εἰ δ' ὥςπερ ὁ Σκήψιός φησι παραλαβὼν μαρτυρα Μίμνερμον, ὃς ἐν τῷ Ὠκεανῷ ποιήσας τὴν οἴκησιν τοῦ Αἰήτου πρὸς ταῖς ἀνατολαῖς ἐκτὸς πεμφθῆναί φησιν ὑπὸ τοῦ Πελίου τὸν Ἰάσονα καὶ κομίσαι τὸ δέρος, οὔτ' ἂν ἡ ἐπὶ τὸ δέρος ἐκεῖσε πομπὴ πιθανῶς λέγοιτο εἰς ἀγνῶτας καὶ ἀγανεῖς τόπους, οὐδ' ὁ δι' ἐρήμων καὶ ἀοίκων καὶ καθ' ἡμᾶς τοσοῦτον ἐκτετοπισμένων πλοῦς οὔτ' ἔνδοξος οὔτε πασιμέλων. Οὐδὲ κτλ. καὶ ὑποβάς· Αἰήταο κτλ.* Apparet haec cohaerere et paucos quosdam versus intercidisse. V. 1. *οὐδέ κοτ' ἄν* Porson, v. *οὐδ' ὁκόταν.* — *μέγα* Brunck, v. *μέτα.* — *αὐτὸς*, Hecker *αὖτις.* — V. 6. *χρυσέῳ*, Hecker *χρυσέοι.* — V. 7. *χεῖλος, ἵν'* scripsi, ABC *χείλεσιν*, rel. et edd. *χείλεσ', ἵν'.*

Fr. 12. Athen. XI. 470. A: *Μίμνερμος δ' ἐν Ναννοῖ ἐν εὐνῇ φησι χρυσῇ κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν Ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολάς, αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου· λέγει δ' οὕτως· Ἠέλιος κτλ.* V. 1. *γὰρ*, fort. *γάρ τ'*, Hermann *πόνον ἔλλαχεν.* — V. 2. *ποτ'*, Bach *κοτ'.* — *γίγνεται* Dindorf, *γίνεται* vulgo. compares 1, 4. 2, 7 et 11. 5, 4., ubi ipse in proecdosi *γίνεται* scripseram. — V. 3. *ἐπεὶ*, Casaubonus *ἐπὴν.* — V. 4. *εἰσαναβῇ*, Hermann *εἰςανέβη.* — V. 6. *κοιΐλη* Meineke, quemadmodum *ὁμοῖος* et *ὁμοΐως* dici solet; possis etiam *κωΐλη*, ut *ὀλώϊον* est ap. Hesiod. Th. 591., vulgo *κοίλη*, Eustath. p. 1632, 27. qui h. l. respicit, *κύλη.* Ahrens coni. *κοίλη ἐν*, Schneidewin *κοίλη ὑφ'.*

Digitized by Google

χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ
εὔδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ·
ἔνθ' ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

13. [11.]

Pausan. IX. 29, 4: *Μίμνερμος δὲ ἐλεγεῖα εἰς τὴν μάχην ποιησας τὴν Σμυρναίων πρὸς Γύγην τε καὶ Λυδούς, φησὶν ἐν τῷ προοιμίῳ θυγατέρας Οὐρανοῦ τὰς ἀρχαιοτέρας Μούσας, τούτων δὲ ἄλλας νεωτέρας εἶναι Διὸς παῖδας.* Respicit Schol. Pind. Nem. III. 16: *Καὶ ὁ μὲν Ἀρίσταρχος Οὐρανοῦ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος καὶ Ἀλκμὰν ἱστοροῦσιν.*

14. [13.]

Οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμόν
τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον
Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας
Ἕρμιον ἀμ πεδίον, φῶτα φερεμμελίην·
τοῦ μὲν ἄρ' οὔποτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη
θρῃμὺ μένος κραδίης, εὖθ' ὅγ' ἀνὰ προμάχους
σεύαιθ', αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο
πικρὰ βιαζόμενος δυσμενέων βέλεσιν·
οὐ γάρ τις κείνου δηΐων ἔτ' ἀμεινότερος φώς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς

V. 7. *ὑπόπτερος* Heyne, vulgo *ὑπόπτερον*, ut Apollo tripode alato fertur (Monum. Instit. Archaeol. T. I. t. 48.), ut ap. Aesch. Prom. v. 138. Oceanides *ὄχῳ πτερωτῷ* vehuntur; conf. etiam Gerhard Pict. Vasc. I. t. 41, 57 al. — V. 8. *εὖδονθ'* PVL, *εὕδονθ' ὅθ'* AB. — *χώρου* VL, *χωροῦ* B, *χοροῦ* AP. — V. 9. *ἵνα δὴ θοὸν* scripsi et sic Meineke, BP *ἵν' ἀληθοον*, VL *ἵνα οἱ θοόν*. — V. 10. *ἑστᾶσ'* Brunck, *ἕστασ'* B, *ἱστᾶσ'* PVL. — V. 11. *ἑτέρων* VL, *ἑτερέων* BP, conieci *σφετέρων* vel *προτέρων*, Schneidewin *ἱερῶν* vel *πτερινῶν* vel *ἐπεβήσεθ' ἑῶν*, Ahrens *στερεῶν* vel *ἐπεβησετ' ἄρ' ὤν*. Potest etiam *σειρῶν* alia coniici. Ceterum de hac fabula cf. Gerhard Pict. Vasc. I. t. 109.

Fr. 14. Stob. VII. 12: *Μιμνέρμου· Οὐ μὲν δὴ κτλ.* — V. 1. *οὐ μὲν δὴ κείνου γε*, Hecker *τοῦ μὲν δὴ κλεινόν γε.* — V. 2. *ἴδον*, A *εἰδον.* — V. 4. *Ἕρμιον* A et ap. Schow. BCW, v. *Ἑρίμιον.* — V. 5. *οὔποτε*, prius *οὐκοτε* scripsi. — V. 6. *εὖθ' ὅγ'* Schneidewin, *εὖθ' ὅτ'* A, Schow ut vid. ex codd. BCW *ὁππότ'*, vulgo *ἐσθ' ὅτ'·* — V. 7. *σεύαιθ'* Schneidewin, *σεύηθ'* A, *σεύεθ' ὅθ'* Schow, *σεῦ' ἠθ'* vulgo. Deinde A *αἱματόεν ὑσμίνη πολέμιον*, sed supra *οι*. — V. 8. *πικρὰ*, O. Schneider *πυκνά*. — *βιαζόμενος* codd. Schowii, v. *βιαζομένου·* — *βέλεσιν* O. Schneider, v. *βέλεα*. — V. 9. *δηΐων* si integrum est, pro *ἔτ'* certe *τότ'* scribendum; in proecdosi *ληῶν* scripsi, Ahrens *δὴ Ἰὼν ἔτ'* vel *τότ'*, debebat certe *οὐ γὰρ δὴ κείνου τις Ἰὼν* scribere.

Digitized by Google

ἔργον, ὅτ' αὐγαῖσιν φέρετ' ὠκέος ἠελίοιο.

15. [15.]

Καί μιν ἐπ' ἀνθρώπους βάξις ἔχει χαλεπή.

16. [15.]

Ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι.

17. [14.]

Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων.

18.

Athen. IV. p. 174. A.: *Ὁ δ' αὐτὸς (Δημήτριος ὁ Σκήψιος) ἱστορεῖ κἀν τῷ τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας (Τρωϊκοῦ διακόσμου) Δαίτην* (sic BC, δαίταν PVL) *ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσίν, οὗ μνημονεύειν Μίμνερμον.* Cf. Eust. ad Od. p. 1413, 23.

19. [16.]

Aelian. V. Hist. XII. 36: *Ἔοικασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις — Μίμνερμος εἴκοσι καὶ Πίνδαρος τοσούτους.*

20. [17.]

Plutarch. de fac. in orbe lun. c. 19: *Εἰ δὲ μὴ Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις τὸν Στησίχορον καὶ τὸν Πίνδαρον ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν φανερώτατον κλεπτόμενον καὶ μέσῳ ἅματι* (sic Scholt, v. ἅμα τὴν) *νύκτα γινομένην καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν . . . φάσκοντας.* ubi prima Mimnermi haud dubie sunt, corrigendum autem *ἄστρον φανερώτατον κλεπτόμενον*, quae sequuntur ex Cydia (vel Stesichoro) et Pindaro (Fr. 84.) sunt petita.

21.

Argum. Soph. Antig.: *Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι.* Videtur excidisse id, quod de Antigone dixerat Mimnermus.

V. 11. fort. *αὐγῆσιν*, ib. *φέρετ'*, Schneidewin *στρέφετ'*, idem post *ἔργ'*, *δθ' ἅμ' αὐγῆσιν φέρετ'*, Ahrens *θέρετ'*, sed postea *ἰσ' αὐγῆς φέρετ'*. — *ὠκέος*, Schneidewin *ὀξέος*. Post *ἠελίοιο* fort. *εἶκελος* excidit. Ceterum hoc fragm. videtur ex eadem elegia petitum ad quam pertinet fr. 13.

Fr. 15. et 16. Etym. M. 187, 45: *Βάξις — σημαίνει δὲ τὴν φήμην καὶ τὴν ῥῆσιν, Μίμνερμος· Καί μιν — Ἀργαλέης κτλ.* Fr. 16. *αἰεί*, D. Colb. *ἀεὶ*.

Fr. 17. Schol. Hom. Il. *π'*. 287: *ἱπποκορύστας Μίμνερμος, Παίονας κτλ.* Cf. Cram. An. Par. III. 287, 1. (*παιᾶνας ἄ. ᾰ.*)

Digitized by Google

22.

Tzetzes Lycophr. v. 610: *Τροιζηνία δὲ λέγεται ἡ Ἀφροδίτη· ὡς Μίμνερμος λέγει ὑπὸ Διομήδους τρωθεῖσα ἡ Ἀφροδίτη παρεσκεύασε τὴν Αἰγιάλειαν πολλοῖς μὲν μοιχοῖς μοιχευθῆναι, συγκοιμηθῆναι δὲ καὶ τῷ Ἱππολύτῳ καὶ Κομήτῃ, τῷ Σθενέλου υἱῷ. Διομήδης δὲ παραγενόμενος εἰς τὸ Ἄργος, ἐπιβουλεύεται παρ' αὐτῆς· τοῦ δὲ καταφυγόντος εἰς τὸν ναὸν τῆς Ἥρας διὰ νυκτὸς φεύγει σὺν τοῖς ἑταίροις καὶ ἦλθεν εἰς Ἰταλίαν πρὸς Δαῦνον βασιλέα, ὃς αὐτὸν δόλῳ ἀνεῖλεν.*

VI.

SOLON.

ΣΑΛΑΜΙΣ.

1. [12.] *)

Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

BIBLIOTHECA BODLEIANA

Mimnermi fragmentum aliud praeterea olim legebatur apud. Stob. CII. 3. *Κατὰ ἰατρῶν Μιμνέρμου Νάννου* (ita A, sed Voss. Vind. Tr. simpliciter *Μιμνέρμου* vel *Μνημέρμου*). Coniecit Meineke *Μενάνδρου Φανίου*, sed cum versus, qui sequuntur, tam a Mimnermi quam a Menandri poesi sint alieni, potius censendum est Mimnermi fragmentum excidisse, et illos versus Euripidis esse: *Μιμνέρμου Ναννοῦς· (ἃ δὴ φιλέουσιν ἰητροί . . . . . Εὐριπίδου· Ὁπ)οῖα δὴ φιλοῦσιν ἰατροὶ λέγειν τὰ φαῦλα μείζω καὶ τὰ δεῖν' ὑπέρφοβα πυργῶντες αὐτούς.* Contra Meineke ap. Cram. An. Ox. I. p. 102. *τὸ παρὰ Μιμνέρμῳ· Ὦ Ζεῦ πολυτίμητε, ὡς καλαὶ νῶν αἱ γυναῖ* recte *Μενάνδρῳ* scripsit. Ap. Stob. CXXV. 3. *Μιμνέρμου ἐκ Νεοπτολέμου* (Voss. Vind. Tr. et Apostol. V. 92. c. simpl. *Μιμνέρμου*) *Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ Ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.* fortasse itidem excidit Mimnermi fragmentum, ut deinde scribendum sit *Νικομάχου ἐκ Νεοπτολέμου* (vid. Suid. v. *Νικομ.*), sed cum satis turbatum sit hoc caput, etiam alia coniicias: possunt enim hi trimetri etiam Archilochi esse. — Aliae Mimnermi reliquiae haud dubie delitescunt in Theognideis, quemadmodum v. 983—88. 1007—12. 1023, 24. 1039, 40. 1055—58. 1063—68. 1069, 70. alia.

Solon. Fr. 1. Plut. Sol. c. 8: *Ἐλεγεῖα δὲ κρύφα συνθεὶς καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίδιον περιθέμενος. Ὄχλου δὲ πολλοῦ συνδραμόντος ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον ἐν ᾠδῇ διεξῆλθε* (cf. Aristid. II. 361.) *τὴν ἐλεγείαν, ἧς ἐστὶν ἀρχή· Αὐτὸς ... θέμενος. Τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν ἐστι χαριέντως πάνυ πεποιημένων.* Respicit hoc carmen etiam Philodem. de Mus. in Vol. Hercul. I. c. 20. — V. 2. Bab *ἐπῶν*.

---

*) Numeri adiecti sunt editionis Bachianae.

Digitized by Google

2. 3. [12.]

Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν.

* * *

Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

(ΥΠΟΘΗΚΑΙ ΕΙΣ ΑΘΗΝΑΙΟΥΣ.)

4, [13.]

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὁμβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν

Fr. 2. 3. Diog. Laert. I. 46: *ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω διὰ κήρυκος τὰ συντείνοντα περὶ Σαλαμῖνος ἐλεγεῖα καὶ παρώρμησεν αὐτούς· καὶ αὐθις πρὸς τοὺς Μεγαρέας ἐπολέμησαν καὶ ἐνίκων διὰ Σόλωνα· ἦν δὲ τὰ ἐλεγεῖα τὰ μάλιστα καθαψάμενα τῶν Ἀθηναίων ταῦτα· εἴην ... Σαλαμιναφετῶν· εἶτα· Ἴομεν κτλ.* V. 1. 2. affert Plut. praec. reip. ger. c. 17. inde a *Φολεγ.* Respicit Demosth. de falsa leg. §. 252. — V. 1. *Σικινήτης* cod. Monac., vulgo *Σικινίτης.* — V. 4. *Σαλαμιναφετῶν* Is. Vossius et Hermann, v. *Σαλαμῖν' ἀφέντων*, sed Stephani codd. *Σαλαμῖν' ἀφέτων.* — V. 5. 6. Apostol. IX. 6. b. Arsen. 304. Schol. Demosth. p. 94. ed. Sauppe et Ulpian. in Demosth. de F. L. p. 152 ed. Dobs. afferunt, ubi *ἀπωσάμενοι* est, leguntur hi duo versus etiam in Ald. Voem. praemissi Fragmento 4., ex coniectura manifesta: *ἴσμεν γ' εἰς κτλ.* Ap. Ulpian. Sch. Dem. Ald. Voem. etiam τ' om.

Fr. 4. Demosth. de Fals. Leg. 254: *Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' ἴδῃθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἵος οὗτος ἀνθρώπους ... Λέγε σύ· ἐλεγεῖα Σόλωνος* (*Σόλωνος* om. Lind. *Π*8M Vind. 4. ΣΥΩksA1A2B, in tΩ est *ἡρωελεγεῖα*, sed in Ω add. m. sec. *ἐλεγεῖα Σόλωνος.*) *Ἡμετέρα κτλ.* Varietatem lectionis exhibeo non solum Bekkeri ex editione, sed auctam Voemelii copiis, qui liberaliter mecum communicavit quae in suis codicibus leguntur, de quibus dixit in Notitia codd. Demosth. (*Lind.* — Lindenbrog.; *Ald.* V — Aldina Voemell; *Π* — Florent. Laur. Plut. 59. n. 9; 8. — Flor. Laur. Plut. 59. n. 8.; M — Malatestianus; Vind. 4. — Vindobonensis n. 105.; Vind. 3. — Vindob. n. 101.; praeterea Ω — Antverpiensis denuo est collatus a Voemelio). Versus ipsos om. ΣksA1A2, sed s primum et tertium distichon in scholiis ponit. Exstat haec elegia praeterea in Cod. Vind. 153, cuius collationem a Schubarto mecum communicatam iam olim subieci (S) et in cod. Paris. Reg. n. 2600, fol. 114., quem contulit Voemelio auctore promtissimo studio B. Hase (P.). — V. 1. Est ipsum hoc exordium elegiae, neque quidquam excidit, quemadmodum Voemel existimat. — *ἡμετέρα* codd., *ἡμετέρη* Brunck. Initium elegiae videtur respicere Arist. Eqq. 1175. — *ποτ' ὀλεῖται*, S *ποτε' λεῖται*, P *ποτ' ὠλεῖ.* — V. 2. *μακάρων*, Y pr. *μακρων.* — V. 3. *ὁμβριμοπάτρη* Ωtu Lind. *Π* ex corr., vulgo *ὀβριμοπάτρη*, S *ὀβριπάτρη.* — V. 4. *Παλλὰς πολλὰς* Ω, om. P.

Digitized by Google

ἀστοὶ βούλονται χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ·
* * * * *
πλουτοῦστν δ' ἀδίκοις ἔργμασι πειθόμενοι
* * * * * *
οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος
οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον·
εἰς δὲ κακὴν ταχέως ἦλυθε δουλοσύνην,
ἥ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἑρατὴν ὤλεσεν ἡλικίην·
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλαις.

V. 6. *ἀστοὶ, ἀστοὶ δὲ* r Vind. 3 M (a pr. m.) — *χρήμασι*, male olim conieceram *ῥήμασι*. — V. 7—11. om. Lind. — *οἷσιν*, u *οὐσιν*, P *οἷσι*. — *ἑτοῖμον*, P *ἔτοιμοι*. — V. 8. *ὕβριος*, P a m. pr. *ὕβρις*. — *μεγάλης*, M a m. pr. *μεγάλων*. — V. 9. *ἐπίστανται*, r8. *ἐπίσταται*. — V. 10. *ἡσυχίῃ, ἡσυχίᾳ* M a m. pr., u *ἡ ἀχίν* .. Post hunc versum inserunt editores *χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι* mutuati ex Fr. 13. v. 7., aut *τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται* ut Sylburgius, aliquanto probabilius (Fr. 8.). Conieci olim nihil nisi hemistichium excidisse:

εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ .
πλουτοῦσιν δ' ἀδίκως . . . . .
οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι, κλέπτουσι δ' ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος.

ut *ἀδίκοις ἔργμασι πειθόμενοι* illatum sit ex Fr. 13. v. 12. Ceterum in codd. nec hic nec infra ullum lacunae indicium. — V. 11. om. Lind. — *πλουτοῦσιν* FYΦt, *πλουτοῦσι* Ω a m. pr. S, *πλουτεῦσι* olim edidi — *ἔργμασι*, Ω a m. pr. tu *ἔρμασι*. — V. 12. 13. om. u. — *τι* om. Ω Vind. 4. — V. 13. *ἠφ'*, *Π*8MS *ἀφ'*, et *ἁφαρπαγῇ* FYΦr. — V. 14. *θέμεθλα Δίκης* scripsi, codd. omnes *δίκης θέμεθλα*. — V. 15. *σύνοιδε*, Φ *δ' ἔληθε συνοῖδε*, *Π*8M Vind. 4. r *λέληθε συνοῖδε* — *τὰ*, Chrysoloras corr. *τε*. — *γιγνόμενα, γινόμενα* S. — V. 16. *ἀποτισομένη* cod. Bavar., *ἀποτισαμένη* ceteri libri. — V. 17. *τοῦτ'*, S *τοῦ δ'*, Steph. *ταῦτ'*. — *ἕλκος*, *Π* corr. *ἕρκος*. — V. 18. *ταχέως*, Ω Vind. 3. u *τέως*, sed Ω in m. *ταχέως*, unde *τελέως* possis conïcere. — V. 19. *ἣ* Stephanus M corr. Ald. V., *ἥ* *FYΦuΩΠ*8M. — *ἐπεγείρει* Ω Vind. 4., *ἐπεγείρειν* Φ, *ἐπαγείρειν* *F*YrS8M, *ἐπαγείρει* Lind. Vind. 3., *ἀπαγείρειν* P, *ἐπέγειρεν* coniecit Schneidewin. — V. 20. *ἑρατὴν*, *ἐρατὸν* YS Lind. P, *ἐραστὴν* Vind. 4. — V. 21. *δυσμενέων*, Hecker *δυσνομίης*. — V. 22. *τρύχεται*, M8r *τρύχετ'*, hinc Chrysoloras *τρύχετ' ἐνί*. — *φίλαις* scripsi, vulgo *φίλους* ut Vind. 4., *φίλοις* YSP*Π*8M Lind., utrumque t, *φιλεταίροις* Ω u Vind. 3. Ahrens coni. *ἢ συνόδοις τῆς ἀδικησιφίλοις*, Hecker *ἐν συνόδοις τῶν ἑτάρων ἀδίκοις*, Emperius *τοῖς δ' ἀδίκοις ὄφελος*, Hertzberg *τῆς ἀδικοῦσι φίλους*.

Digitized by Google

ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἰκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπήν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες,
καὶ κακὰ δουλοσύνης στυγνὰ φέρουσι βίᾳ.
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὐλειοὶ δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει,
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας·
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πιντά.

5. [14.]

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·

V. 24. *ἰκνοῦνται* (pro quo Schneidewin *ἰκνεῦνται*) Ω et omnes codd., *ἰκνοῦνται* P. — V. 25. *πραθέντες*, Ω a m. pr. *παραθέντες*. — *ἀεικέλιοισι*, M8Φr *ἀεικλείοισι*, P *ακελίωσι*. — *δεθέντες*, FYrvS *δοθέντες*. — V. 26. vulgo deest, supplevit Goettling ex apogr. Planud. (Iriarte Cod. Matrit. p. 113): *Παίκακα δ. ζυγὰ φ. βία*, unde *καὶ κακὰ δ. συχνὰ φ. βίᾳ* scripsit, ego *στυγνὰ — βίᾳ* praetuli. — V. 27. *οἴκαδ'*, Hermann *οἴκῳ*. — V. 28. *αὐλειοι*, P *αὔλιοι* — *δ' ἔτ'* Vind. 3., vulgo *δέ τ'*, *δέτ'* Ω, *δ' δτ'* P*II* Vind. 4 YΦrS, *δ' ὅτ'* M a pr. m. 8., Hecker *δ' ἴσχειν οὐκέτ' ἔχουσι*. — V. 29. *ὑπὲρ ἕρκος*, *ὑπέρερκος* P, om. u. — *ὑπέρθορεν*, *ὑπέρθυρον* 8M a m. pr. Vind. 4. r. — *πάντως* S Vind. 4., *πάντων* P Vind. 3. M8Ω et Bekkeri codd., *πάντων* et supra *πάντας* *Π*, *πάντας ἢ πάντων* Bodl. (haud dubie *πάντη*). — V. 30. *εἰ καί τις* margo Lessing., *ἢ γέ τις* (*ἠγετις*) PYS, *εἰ γέ τις* *II*8M Lind. Vind. 3, 4. Ω et ceteri Bekkeri codd., *εἰ γέ τις ἢ* (*εἰγετις ἢ*) Ald. V. Bodl. — *ἐν*, *ἢ* Vind. 4. M. 8r. — *ἢ θαλάμου* scripsi, nisi malis *θαλάμων*, idemque Schneidewin et Koechly coniecerunt, vulgo et codd. omnes *ἢ θαλάμῳ*. — V. 31. *με*, P *μή*. — V. 32. *κακὰ πλεῖστα*, u *καλὰ πλεῖστα*, r8 Vind. 4. *πλεῖστα κακά*, Schneidewin *κακὰ πολλά*. — *δυσνομία*, antea scripsi *δυσνομίη* et deinde *εὐνομίη*, quod Baitero quoque placuit. — V. 33. *εὔκοσμα*, S *ἐμπέδα*. — V. 34. *καὶ θαμὰ*, O Schneider *καὶ θ' ἅμα*, quod ego quoque conieci. — V. 35. *τραχέα*, Chrysoloras *τρηχέα*. — *λειαίνει*, *λαιένει* Ω, *λιαίνει* P, *δ' ἰαίνει* r8, *δι' αἴνει* *II*. — V. 36. *ἄτης*, Ω a pr. m. *ἀυτης*, unde *ἀυάτης* aliquis coniiciat. — V. 37. *δὲ*, *δὲ δὴ* S. — V. 39. *ἀργαλέης*, Vind. 4. *ἐργαλέης*. — *ἔστι* P, vulgo *ἐστί*. — V. 40. *πάντα*, Ω a m. pr. *πάντας*.

Fr. 5. Plut. vit. Sol. c. 18: *Ἐπισημαίνεται δὲ* (*Σόλων*) *αὐτὸς αὑτῷ τὴν ἐξίσωσιν οὕτως· Δήμῳ κτλ.* V. 1. *μὲν* om. CL. — *ὅσσον* Stephanus, *ὅσον* libri. — *ἐπαρκεῖ* libri, *ἀπαρκεῖ* Coraës, *ἐπαρκεῖν* Brunck.

Digitized by Google

οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν·
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισιν,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

6. [15.]

Δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.

7. [16.]

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἰᾶδεῖν χαλεπόν.

8.

Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.

9. [18.]

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

10. [17.]

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,

V. 4. *μηδὲν*, qV *οὐδὲν*. — V. 5. FaL *ἐς τὴν δ' ἀμφιβαλῶν κράτος ἀμφοτέροισι*. Hunc locum respicit Aristid. T. I. 829. et II. 360.

Fr. 6. Plut. Comp. Sol. et Popl. c. 2: *Καὶ τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος Ὧδ' ἂν ἄριστα κτλ.* V. 1. *Δῆμος δ'* Schneidewin alii praemiserunt, Brunck scripsit *ὧδ' ἂν δῆμος*. — V. 2. *λίην* FaL, v. *λίαν*. Ad idem hoc carmen fort. pertinet fr. 12.

Fr. 7. Plut. Sol. c. 25: *ἔργμασι* (a *ἕρμασι*) *γὰρ ἐν μ. π. ἀδεῖν* (v. *ἀδεῖν*) *χ. ὡς αὐτὸς εἴρηκε*. Ad hoc carmen fort. pertinent Theognid. v. 799—802.

Fr. 8. Clem. Al. Str. VI. 740: *Σόλωνος δὲ ποιήσαντος· Τίκτει γὰρ* (*τοι H*) *κτλ. ἄντικρυς ὁ Θέογνις γράφει· Τίκτει τοι κόρος ὕβριν ὅταν κακῷ ὄλβος ἕπηται.* Uterque secuti videntur antiquius proverbium: *Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ἀνδρὶ παρείη*, Diogenian. VIII. 22. Simile Solonis dictum memorat Diog. I. 59.

Fr. 9. Diog. L. I. 49: *ἤξας γὰρ* (*Σόλων*) *εἰς τὴν ἐκκλησίαν μετὰ θώρακος καὶ ἀσπίδος, προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου, καὶ οὐ μόνον, ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι, λέγων ταῦτα· Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερός εἰμι· σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μέν, διὰ δέος δὲ σιωπώντων. Καὶ ἡ βουλὴ Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί· Δείξει κτλ. τὰ δὲ περὶ τῆς τοῦ Πεισιστράτου τυραννίδος ἐλεγεῖα προλέγοντος αὐτοῦ ταῦτα ἦν· Ἐκ νεφέλης κτλ.* unde verisimile est, hoc et sequens Fr. ad idem carmen pertinere. V. 1. *δὴ μανίην*, C *σημανίην*. — V. 2. *ἐς*, M *εἰς*.

Fr. 10. Diod. Sic Exc. Vat. T. III. p. 23. Dindf.: *Λέγεται Σόλων καὶ προειπεῖν τοῖς Ἀθηναίοις τὴν ἐσομένην τυραννίδα δι' ἐλεγείων· Ἐκ κτλ. ... νοεῖν.* V. 1—4. Diog. L. I. 50. (et Apostol. VI. 93. c.) affert, V. 1. 2. Plut. Sol. c. 3: *Ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων· Ἐκ νεφέλης ... ἀστεροπῆς*, deinde sequitur Fr. 12, V. 3. 4. Diod. Sic. XIX. c. 1. — V. 1. *πέλεται*, Diog. *φέρεται*. — *μένος*, ap. Diog. ed. Frob. *βία*. — *χαλάζης*, ap. Pl. C *χάλαζα*, Diod. *θαλάττης*.

Digitized by Google

βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν·
λείως δ' ἐξάραντ' οὐ ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ' ἤδη χρὴ περὶ πάντα νοεῖν.

11. [19.]

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην·
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν κοῦφος ἔνεστι νόος·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

V. 2. *λαμπρᾶς*, Diog. *λαμπρῆς* fort. rectius — *γίγνεται*, Diod. *γίνεται*, et sic ut videtur codd. Plut. Diog. — V. 3. *δ'* om. Diod. utroque l. — *μονάρχου*, Diod. l. XIX., 1. *τυράννου* (F *τυράννου*) — *ἀϊδρίῃ* Diod. ib., sed altero l. *ἀϊδρείῃ*, Diog. *ἄϊδρις ἐών*. — *δουλοσύνην*, Diod. Exc. *δουλοσύνης*, et priore l. FV *ἔπεσαν* pro *ἔπεσεν*. — V. 5. *λείως δ' ἐξάραντ'* scripsi, cod. *λίης δ' ἐξεραντα*, id est, *si quem plane extuleris*, cf. Phot. 218, 3: *τὸ γὰρ λέως ἔστι τελέως. Ἀρχίλοχος· Λείως γὰρ οὐδὲν ἐφρόνεον.* Apollon. de prov. 334. *Α. τελέως, λέως.* Firmat Diodorus dicens: *πρὶν τελέως ἰσχυρὸν γενέσθαι.* Antea scripsi ex mea et Schneidewini coni. *λίην δ' ἐξάραντ'*, Ahrens *γαίης δ' ἐξάραντ'*, Kayser *χειῆς δ' ἐξάραντ'*. — *οὐ* add. L. Dindorf. — *ῥᾴδιον*, Cod. *ῥᾳΐδιον*. Dindorf *ῥῄδιον*. — V. 6. *περὶ* add. Dindorf, Sintenis coni. *τινὰ πάντα*, Schneidewin *παρεόντα*.

Fr. 11. Diog. L. I. 51: *Ὅτε τὸν Πεισίστρατον ἐμαθεν ἤδη τυραννεῖν, τάδε ἔγραψε πρὸς τοὺς Ἀθηναίους· Εἰ δὲ κτλ.* (unde Nicetas Choniat. p. 772. ed. Bonn., ubi cod. A. om. v. 5—8. et ex Plutarcho v. 1. *λυγρὰ*, v. 2. *μῆνιν*, v. 3. *ἐρύματα* exhibet.) et Diod. Exc. Vat. T. III. p. 24: *Καὶ μετὰ ταῦτα τυραννοῦντος ἔτη· Εἰ δὲ κτλ.* integrum servant. Plut. vit. Sol. c. 30: *Καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε καὶ τῶν φίλων φεύγειν παραινούντων οἱ προσεῖχεν, ἀλλὰ ποιήματα γράψων ὠνείδιζε τοῖς Ἀθηναίοις· εἰ δὲ — δουλοσύνην* (v. 1—4.) et supra: *καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις, οἷς διὰ τῶν ποιημάτων γέγραφεν· εἰς γὰρ κτλ.* (7. 5. 6.) unde Clem. Al. Str. I. 328. affert v. 7. 5. 6. V. 1. *λυγρὰ*, Diogen. *δεινὰ*. — *ὑμετέρην*, Diod. *ὑμετέραν*. — V. 2. *μή τι θεοῖς τούτων*, Diod. *μὴ θεοῖσι ταύτην*, et *μὴ θεοῖσι* ap. Plut. FaLC (C etiam *τούτων* om.) — *μοῖραν*, Plut. *μῆνιν*. — V. 3. *ῥύματα* Stephanus, *ἐρύματα* Diod. Plut., *ῥῦσια* Diog. fort. recte. — V. 4. *ταῦτα*, Diod. *τοῦτο*. — *ἔσχετε*, ap. Pl. C *ἔχετε*, Diog. *ἴσχετε* sed ed. Frob. *ἔχετε*. — V. 5. *ὑμέων* Diog., *ὑμῶν* rel. — *μὲν* om. Par. c. ap. Clem. Respicit Cratinus Leg. Fr. 1. — V. 6. *κοῦφος*, Plut. Clem. *καῦνος*, Nauck coni. *καῦρος*. — *ἔνεστι*, ap. Pl. C *ἔστι*. — V. 7. *ἔπος αἰόλον*, Pl. Cl. *ἔπη αἰμύλου*. — *ἀνδρὸς*, ap. Diog. cod. Mon. *ἄνδρα*. — V. 8. *γιγνόμενον*, Diod. et cod. Mon. Diog. *γινόμενον*. Quod Plut. et Clemens versuum ordinem invertunt, memoriae errore factum videtur; ac si Plutarcho fides habenda esset, pertinerent haec ad illud carmen, in quo praesagiens de futura Pisistrati tyrannide dixit, vid. fr. 9. et 10.

Digitized by Google

12. [17.]

Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

(*ΥΠΟΘΗΚΑΙ ΕΙΣ ΕΑΥΤΟΝ.*)

13. [4.]

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν·
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτῃ·

Fr. 12. Plut. vit. Solon. c. 3: *Ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστὶ λίαν καὶ ἀρχαῖος ὡς θῆλον ἐκ τούτων. Ἐκ νεφέλης — ἀστεροπῆς* (Fr. 10. v. 1. 2.). *Ἐξ ἀνέμων δὲ θάλασσα κτλ.* unde vulgo etiam hoc distichon priori subiungunt et ad illam elegiam referunt: at Plutarchus ex diversis elegiis duo diversa exempla petiit, quod etiam Schneidewin animadvertit. Dixit autem poeta de populo qui nisi improbis ducibus utatur sit iustissimus, sicut mare placidum, ventis non turbantibus. Herodot. VII. 16: *τὰ σὲ καὶ ἀμφότερα περιήκοντα ἀνθρώπων κακῶν ὁμιλίαι σφάλλουσι, κατάπερ τὴν πάντων χρησιμωτάτην ἀνθρώποισι θάλασσαν πνεύματά φασι ἐμπίπτοντα οὐ περιορᾶν φύσι τῇ ἑωυτῆς χρῆσθαι.* Polyb. XI. 29: *ὅθεν ἀεὶ τὸ παραπλήσιον πάθος συμβαίνει περί τε τοὺς ὄχλους καὶ τὴν θάλατταν· καθάπερ γὰρ κἀκείνης ἡ μὲν ἰδία φύσις ἐστὶν ἀβλαβὴς τοῖς χρωμένοις καὶ στάσιμος, ὅταν δ' εἰς αὐτὴν ἐμπέσῃ τὰ πνεύματα βίᾳ, τοιαύτη φαίνεται τοῖς χρωμένοις, οἷοί τινες ἂν ὦσιν οἱ κυκλοῦντες αὐτὴν ἄνεμοι, τὸν αὐτὸν τρόπον καὶ τὸ πλῆθος ἀεὶ καὶ φαίνεται καὶ γίγνεται πρὸς τοὺς χρωμένους, οἵους ἂν ἔχῃ προστάτας καὶ συμβούλους.* cf. interpretes ad Livium XXVIII. 27. 11.

Fr. 13. Stobaeus Flor. IX. 25. *Σόλωνος.* Parodia lusit initium elegiae Crates Fr. 1. V. 1. affert Clem. Al. Str. VI. 742: *Σόλων τῆς ἐλεγείας ὧδε ἄρχεται· Μνημοσύνης κτλ.* V. 1—6. om. A. — *Μνημοσύνης*, Trinc. *Μνημοσύνη.* — V. 2. *μοι εὐχομένῳ*, Valckenaer *μευ εὐχομένου.* — V. 3. *μοι*, Brunck *ἐμοὶ.* — V. 6. *δεινὸν, πικρὸν* Voss. Ars. — V. 7. et 8. affert Plut. Sol. c. 2. (ubi FaL *χρήματα δὲ πειρῷ.*) adde comp. Sol. et Publ. c. 1. — *χρήματα δ' ἱμείρω*, Trinc. *χρήματ' ἰμέρω.* — V. 9. *πλοῦτον*, Schowii codd. *πλοῦτος.* — *δν*, *οὐ* A, om. N. — *παραγίγνεται*, b *περιγίγνεται.* — V. 11. *τιμῶσιν ὑφ' ὕβριος, οὐ* distinxi et sic Hermann suasit, v. *τιμῶσιν, ὑφ' ὕβριος οὐ.* Emperius *διφῶσιν ὑφ' ὕβριος, οὐ κ. κ.*, Ahrens *μετίωσιν*, quocum iungit *ὑφ' ὗ. οὐ κ. κ.* — V. 12. *ἔρχεται* om. Voss. — V. 13. *ἀναμίσγεται*, Ars. Voss. *ἀναμίγνυται.* — *ἄτῃ* ab, v. *ἄτῃ.*

Digitized by Google

ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δέ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δηώσας καλὰ ἔργα, θεῶν ἔδος αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος·
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἦλυθε πάντως αἶθις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοεῖμεν ὁμῶς ἀγαθός τε κακός τε·
δεινὴν εἶς αὐτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὐτίκ' ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.

V. 14. et seqq. om. A. — V. 15. ἀνιηρὴ, Trinc. ἀνίη, ρῆ, B m. sec. ἀρχή, φλαύρη δὲ κτλ. — V. 16. δὴν Vind. Bace, δή rel. — V. 21. καλὰ, Gesn. m. κακά. Schneidewin κλυτὰ vel δήσας ἀγλαὰ. — V. 22. αὐθις, Bach αὖτις. — V. 23. πίονα om. Ars. Voss., contra B m. sec. et b καὶ ἀπείρονα exhibent. — V. 24. ἀτὰρ, Ars. Voss. αὐτὰρ. — V. 27. οὔ ἑ Hermann, B m. sec. οὔτι, b οὔτε et supra οὔτι, rel. οὔτε. — V. 28. πάντως, Trinc. παντός. — V. 29. ἦν abegw, Trinc. Vind. οἳ, vulgo εἰ. — V. 30. μοῖρ' ἐπιοῦσα, Trinc. N. B. m. sec. μοῖρα ἑποῦσα. — V. 31. πάντως αὖθις· ἀναίτ. Wyttenbach (Brunck αὖτις), libri πάντως· αὐτίκ' ἀν. — ἀναίτιοι bcd, v. ἀναίτια, Wyttenbach ἀναίτιά τ', Hermann ἀναίτια δ'. Ego olim ἦ. π. αὖτε, καὶ ἄντιτα, quam coniecturam me sibi surripuisse conqueritur Ahrens, qui coniecit ἀμέιρως· ἄτη, ᾗ ἄντιτα κτλ. nunc lapsum calami fuisse dicit, vitium vitio emendans: ἄ τη, ᾗ ἄντιτα κτλ. — V. 32. ἢ γένος ἐξοπίσω B m. sec. c, ut Pierson coniecerat, rel. ἠγεμόνων ὀπίσω, (sec. Schneidewinum A ἢ προγόνων ὀπ.) unde Sauppe ἢ γένος ὢν ὀπίσω, probabilius Schneidewin ὢν ὀπίσω. — V. 34. δεινὴν εις αὐτοῦ b (nisi quod αὐτοῦ), et δεινὴν etiam B. m. s., ἐνδὴν εἷς αὐτὸς ac, ἐκ δὴν ἦν αὐτὸς e, ἐνδηην αὐτός Vind., sed corr. ἐν δὴν ἦν, vulgo ἐν δὴν ἦν (ἦν) αὐτὸς. Emperius κεδνὴν εἷς αἰτοῦ, Hermann αἰνεῖν, ἦν αὐτός, Schneidewin εὖ δεῖν εἷς αὐτός, Ahrens εὐθηνεῖν αὐτός, possunt alia multa coniici. — V. 35. αὐτίκ' scripsi, vulgo αὐθις, Trinc. αὖτις. Schneidewin αὖ τις. — V. 36. τερπόμεθα, a pr. m. et Vind. et a (Schowii cod. a fortasse non diversus a Vind.) τρεφόμεθα.

Digitized by Google

χῶστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ·
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλός, μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισιν,
φειδωλὴν ψηχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον·
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς,
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε

V. 37. χῶστις Schneidew., v. χ' ὅστις. — ὑπ' ἀργαλέῃσι, Trinc. ὑπαργαμέῃσι. Deinde Brunck ὑπ' ἀργαλέης ἐπιέσθη. — V. 39. 40. ab instituta sententia alieni esse videntur, itaque in Comm. Crit. I. p. 8. eiicere volui tanquam margini additos ex alia Solonis elegia, defendere studet M. Schmidt Mus. Rhen. Nov. V. 625. Bernhardy Hist. Litt. Gr. II. 357. v. 39—42. in suspicionem vocat, quemadmodum ci etiam extrema pars ex Theognide interpolata videtur, et v. 37. 38. ante v. 59. collocandos censet, sed vid. Schneidewin in Philol. III. 111. — V. 40. καλός, Vind. acw κάλλος. — V. 42. κτήσασθαι, conieci olim κεκτῆσθαι, post κτήσεσθαι. — πάντως Gesner, v. πάντων. — πολλὰ, c πλεῖστα, b utrumque. — V. 46. ψυχῆς, Voss. B m. pr. Trinc. ψυχὴν. — οὐδεμίαν Schneidewin, v. οὐδεμίην. — V. 48. μέλει B m. s. Gesn. margo cef, vulgo μένει. — V. 50. ἔργα δαεὶς Voss. Ars. B m. s. b., ἐργαλαεὶς Vind., ἔργαλα εἰς accfgw. — V. 51. Μουσέων Brunck, codd. μουσάων et μουσῶν. — διδαχθείς, Brunck διδάχθη, Hermann pro πάρα coni. λάβε, Halm πόρε, contra Ahrens (deleto διδαχθείς) Μουσάων ᾧ πάρα δῶρα. — V. 55. συνομαρτήσωσι, Voss. συνομαρτήσασι, Brunck συνομαρτήσουσι. — πάντως, bdf πάντα. — V. 57. ἄλλοι, Salmasius οὔθ' οἱ. — ἔργον, B m. s. ἔργα. — V. 59. γίγνεται, b ἔσσεται, unde Schneidewin ἄέξεται. — V. 60. κοὐκ ἄν Gesn. m. Voss. B m. s. Schowii codd., καὶ οὐκ ἄν Vind., v. κἄν. — V. 61. κυκώμενον, Lobeck κακούμενον, Dindorf νούσοις κεκακωμένον.

Digitized by Google

ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν·
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.'
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν,
ᾗ μέλλει σχήσειν χρήματος ἀρχομένου,
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης·
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισομένην, ἄλλοτε ἄλλος ἔχει.

14. [7.]

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

15. [6.]

Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·

V. 62. χειροῖν, Vind. χεροῖν. — V. 65—70. leguntur in Theognideis v. 585—90. — V. 65. δέ om. Theogn. — ἐπ', Vind. Voss. ἐφ' ἔργμ. — V. 66. ᾗ, a ἢ, Voss. Gesn. m. w τι, Theogn. πῇ. — μέλλει, b μέλλοι. — χρήματος, Theogn. πρήγματος. — V. 67. εὖ ἔρδειν, Theogn. εὐδοκιμεῖν. — προνοήσας Vind. Voss. Ars. B. m. s. abcew, vulgo προορήσας. — V. 69. κακῶς Gesn. m. Vind. ab, sed in Vind. et a supra κακῶς, ut vulgo tam hic quam ap. Theogn. legitur. — ἔρδοντι, Theogn. ποιεῦντι. — δίδωσιν, Theogn. τίθησιν. — V. 71—76. leguntur in Theognideis V. 226—30. V. 71. affert Aristot. Pol. I. 3, 9: ὥσπερ Σόλων φησὶ ποιήσας πλούτου δ' οὐθὲν τ. π. ἀνδράσι κεῖται. Plut. de cup. divit. 4: ὅθεν εὖ πρὸς τούτους λέλεκται ὑπὸ τοῦ Σόλωνος· πλούτου δ' οὐ. τ. π. ἀνθρώποισι. Basil. M. de leg. Gentil. II. p. 183. κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὃς φησι πλ. δ. οὐ τ. π. ἀνδράσι κεῖται· ἀνθρώποισι etiam Theogn. — V. 72. ἡμέων, Theogn. ἡμῶν et νόον pro βίον. — V. 73. διπλασίως, Theogn. διπλάσιον — κορέσειεν ἅπαντας, Doederlein κορέσει' ἕνα πάντως. Ahrens κορέσειε πένητας, Schneidewin κορέσειεν ἅπαντα. — V. 74. Theogn. χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη. — V. 75. ἄτη Vind. Voss. B m. s. Gesn. m. abcegw, vulgo αὐτή. — αὐτῶν, Theogn. αὐτῆς et ὁπότε pro ὁπόταν. — V. 76. πέμψῃ, Vind. Voss. πέμψει. — τισομένην, Theogn. τειρομένους. — ἄλλοτε ἄλλος ἔχει Schaefer ex Theognide, vulgo ἄλλοτέ τ' ἄλλος ἔχει ut Vind., c ἄλλοτ' ἂν ἄλλος ἔχοι (ut Gaisf.), abeg ἄλλοτέ τ' ἄλλος ἔχοι, Hermann ἄλλοθεν ἄλλος ἔχει.

Fr. 14. Stob. Flor. XCVIII. 24. V. 1. μάκαρ, Stephanus μάκαρς. — πονηροί, Grotius πόνηροι.

Fr. 15. Plut. Sol. c. 3: Ὅτι δ' αὐτὸν ἐν τῇ τῶν πενήτων μερίδι μάλ-

Digitized by Google

ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

16. [8.]

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

17. [9.]

Πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

18. [10.]

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

λον ἢ τῇ τῶν πλουσίων ἕπαττε, δῆλόν ἐστιν ἐκ τούτων· Πολλοὶ γὰρ κτλ. Leguntur in Theogn. 315—18. Vv. 2. 3. 4. laudat Plut. de tranqu. an. c. 13. et de prof. in virt. c. 6., idem v. 2. et init. v. 3. de cap. ex inim. util. c. 11., Basil. M. de gentil. leg. II. p. 177. affert v. 2—4. V. 4. resp. Theodul. or. de reg. off. 146. Respicit fort. h. l. Aristot. Eth. Nic. X. 8, 11: *καὶ Σόλων δὲ τοὺς εὐδαίμονας ἴσως ἀπεφαίνετο καλῶς, εἰπὼν μετρίως τοῖς ἐκτὸς κεχορηγημένους, πεπραγότας δὲ τὰ κάλλιστα, ὡς ᾤετο, καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια κεκτημένους πράττειν ἃ δεῖ.* nam plura in eandem sententiam in hac elegia videtur poeta exposuisse. — V. 1. *γὰρ*, Theogn. *τοι.* — *πλουτεῦσι*, ap. Plut. v. Sol. FaL *πλουτοῦσι* ut Theogn. — V. 2. *αὐτοῖς*, Theogn. *τούτοις.* — V. 3. *αἰεί* C Theogn. Basil., FaL *ἐστιν αἰεί*, vulgo *ἐστιν.* — V. 4. Hermann *ἄλλος, ὅτ' ἄλλος ἔχει.*

Fr. 16. Clem. Al. Str. V. 694: *Σοφώτατα τοίνυν γέγραπται τῷ Σόλωνι ταῦτα περὶ θεοῦ· Γνωμοσ. κτλ.* Eadem Theodoret. I. 14. ubi v. 2. *πάντα* et praeterea CVa *πειρᾶται.*

Fr. 17. Clem. Al. Str. V. 727. *Εἰκότως ἄρα Σόλων ὁ Ἀθηναῖος ἐν ταῖς ἐλεγείαις καὶ αὐτὸς κατακολουθήσας Ἡσιόδῳ· Πάντῃ κτλ.* Cf. Euseb. Pr. Ev. XIII. 688. C. ubi *πάμπαν.*

Fr. 18. Plato in Amatoribus p. 133. C *Σόλων γάρ που εἶπε Γηράσκω δ' αἰεὶ π. δ.* ubi δ' om. ΑΘΠpr., et deinde exhibent ΑΘΠ *πολλὰ δὴ διδ.* Schol. ibid.: *παροιμία — εἴλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων.* Respicit Plato etiam in Lach. p. 188. B. 189. A. de republ. VIII. 536. B. ubi Schol. *αἰεὶ γηράσκω.* Addo Plut. vit. Sol. c. 31. *ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί, γηράσκω δ' αἰεὶ π. δ.* (ubi FaL *ἀεὶ*) et c. 2. *ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε γηράσκειν αἰεὶ* (sic qV, *ἀεὶ* rel. ut videtur omnes). Schol. Soph. Antig. 711. (ubi *πάντα* pro *πολλὰ*). Io. Siceliot. ap. Walz Rhet. VI. 201. Zenob. III. 4. Diogenian. III. 80. Arsen. 161. Apostol. V. 40. Paroemiogr. ed. Gott. T. II. 107. Suid. v. *γηρᾶναι.* Cf. etiam Dio Chrys. or. XVIII. init. Cic. de senect. c. 8. et 14. Valer. Max. VIII. c. 7, 14.

Digitized by Google

ΠΡΟΣ ΦΙΛΟΚΥΠΡΟΝ.

19. [22.]

Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνόσσων
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον·
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

ΠΡΟΣ ΜΙΜΝΕΡΜΟΝ.

20. [21.]

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο,
μηδὲ μέγαιρ' ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου,

21. [21.]

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς.

Fr. 19. Plut. vit. Sol. c. 26: *Καὶ αὐτὸς δὲ* (Σόλων) *μέμνηται τοῦ συνοικισμοῦ* (Solorum, quae antea Aepea dicta fuit)· *προσαγορεύσας γὰρ ἐν ταῖς ἐλεγείαις τὸν Φιλόκυπρον· Νῦν δὲ φησὶ σὺ κτλ.* Vita Arati p. 53. Westerm.: *Μέμνηται δὲ τούτων* (τῶν ἐν Κύπρῳ Σολίων) *Σόλων ἐν ταῖς ἐλεγείαις ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα, ὃς συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν, ἀμοιβὴν ταύτην νέμων τῆς συμβουλῆς αὐτῷ· λέγει δὲ ὁ Σόλων οὕτως. Νῦν κτλ.* usque ad v. 5. Resp. Herod. V. 113: *Φιλοκύπρου δὲ τούτου, τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον ἐν ἔπεσι αἴνεσε τυραννων μάλιστα.* V. 1. *Σολίοισι*, vit. Ar. cod. M. *Σολίησι.* — *τήνδε*, ap. Plut. ACFaL *τὴν* (*τὴν*) *δὲ*, ia *τὴν.* — *ναίοις*, vit. Ar. cod. M *δύοις.* — V. 3. *ξὺν*, ap. Pl. CFaL *σὺν.* — V. 4. ap. Pl. i *ἀσκητῆ*, a *ἀσκαθῆ*, et v. 5. i *οὐν* pro *ἐπὶ* et *ὀπάζοιο.*

Fr. 20. Diog. Laert. I. 60: *Φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος· Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων Ἑξηκονταέτη μοῖρα κίχοι θανάτου, ἐπιτιμῶντα αὐτῷ εἰπεῖν· ἀλλ' εἴ μοι κτλ.* V. 1. *κἂν*, Thiersch *καὶ.* — *τοῦτο*, cod. Mon. *τοῦτον.* — V. 2. *σεῦ* Florens Christianus, edd. antt. *σ' εὐ.* — *λῷον ἐπεφρασάμην* scripsi, Florens Christianus *λώϊον ἐφρασάμην*, vulgo *τοῖον ἐπεφρασάμην.* — V. 3. *Λιγυαστάδη* scripsi, vid. Suidas v. *Μίμνερμος*, *Λιγυρτιάδου* — *ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης* (*λιγειαστάδης* BVE, *λιγιστιάδης* A.) *διὰ τὸ ἐμμελὲς καὶ ἡδύ.* Cf. Eudoc. 303. Vulgo *ἀγυιὰς ταδί*, cod. Arund. et Cant. *ὄγδοα ἐς ταδί.* Sopingius coni. *τάγυρι ταδὶ*, Meibom *λιγέως ταδὶ*, Hermann *θρασέως ταδί.* — V. 4. *ὀγδωκονταέτη*, ed. Frob. *ὀγδοηκ.* Respicit huc Liban. I. 403.

Fr. 21. Plut. comp. Sol. et Poplic. c. 1: *Ἔτι τοίνυν ἃ τοῖς περὶ Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε· Μηδέ μοι κτλ. εὐδαίμονα τὸν ἄνδρα ποιεῖ.* Eadem Stob. Flor. CXXII. 3. — V. 2. *ποιήσαιμι* Plut., *καλλείποιμι* Stob.

Digitized by Google

ΠΡΟΣ ΚΡΙΤΙΑΝ.

22. [20.]

Εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

---

23. [2.]

Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρεῖαι καὶ ξένος ἀλλοδαπός.

24. [5.]

Ἶσόν τοι πλουτοῦσιν ὅτῳ πολὺς ἄργυρός ἐστιν
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστιν,
γαστρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός, ἐπὴν καὶ ταῦτ' ἀφίκηται,
ἥβῃ· σὺν δ' ὥρῃ γίνεται ἁρμονία.

Fr. 22. Plato Tim. p. 20. E: *Ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος (ὁ Σόλων) ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλάκις καὶ αὐτὸς ἐν τῇ ποιήσει*, ubi his ultimis verbis schol. et Proclus in Tim. p. 25. F hoc distichon adscripsit. Cf. Aristoteles Rhet. I. 15: *καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων· Εἰπεῖν μοι Κριτίᾳ πυρρότριχι* (QYbZb *πυρότριχι*) *πατρὸς ἀκούειν.* Plato Charmid. 157. F: *Ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία ἡ Κριτίου τοῦ Δρωπίδου καὶ ὑπὸ Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ.*

Fr. 23. Plato Lys. 212. E: *ἀλλὰ ψεύδεσθ' ὁ ποιητὴς ὃς ἔφη· Ὄλβιος κτλ.* (v. 1. u *μουνύχιοι*). Solonis esse docet Hermias in Phaedr. p. 78. ed. Ast.: *Καὶ ἐν τοῖς ποιήμασιν ὡς καλοῦ τοῦ ἔρωτος μνημονεύει* (Solon) *λέγων· Ὄλβιοι ᾧ κτλ.* Cf. Luc. Amor. c. 48: *ὄλβιος γὰρ ὡς ἀληθῶς κατὰ τὴν τῶν σοφῶν ἀπόφασιν, ᾧ παῖδές τε νέοι καὶ μώνυχες ἵπποι.* Eadem in Theogn. 1253, 4., ubi *θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.*

Fr. 24. Plut. vit. Sol. c. 2. affert v. 1—6: *Πλοῦτον δ' οὐκ ἐθαύμαζεν (Σόλων), ἀλλὰ καὶ φησὶν ὁμοίως πλουτεῖν, ᾧτε πολὺς ... ἁρμονία.* Eadem leguntur in Theogn. 719—724. sed cum quatuor, qui illis subiunguntur versus 725—728., cum his arcte cohaereant, consentaneum est haec quoque Solonis esse. V. 1. *ἶσόν τοι πλουτοῦσιν* (Schneidewin — *εὖσιν*) *ὅτῳ* ex Theognide restitutum. — V. 2. *χρυσὸς*, CFaL *χρυσός ἐστι.* — V. 3. *μόνα* (C *μόνῳ*) *ταῦτα*, Theogn. *τὰ δέοντα*, Schneidewin *τάδε μοῦνα.* — V. 4. *πλευρῇ* Plut., *πλευραῖς* Theog. cf. Horat. Epp. I. 12, 5: „Si ventri bene, si lateri est pedibusque tuis nil Divitiae poterunt regales addere maius.“ *παθεῖν*, Hertzberg *πατεῖν.* — V. 5. *ἀφίκηται*, x *ἐφίκηται.* — V. 6. *ἥβῃ*, CqVx *ἥβης.* Apud Theogn. longe aliter: *παθεῖν παιδός τ' ἠδὲ γυναικός· ὅταν δέ κε τῶν ἀφίκηται ὥρη, σὺν δ' ἥβη γίγνεται ἁρμόδιον* (ιος) et similiter fere Stob. XCVII. 7., nisi quod *ἁρμοδία* (sed AB *ἁρμονία*). Coniecit in his Hermann *ἐπήν κεν*, Hase *ὥρη*, Coraes *ἁρμοδία*, Ahrens *ἐπὴν κἀνταῦθ' ἀφίκηται ἥβης, σύν γ' ὥρη γίγνεται ἁρμονία*, vel *ἔνθ' ὥρη, γίγνεται ἁρμονία.* Fortasse nihil mutandum nisi *σὺν δ' ὥρῃ γίγνεται ἁρμόνια*, ab adiect. *ἁρμόνιος*, cuius adv. *ἁρμονίως* exstat, vel *ἁρμόδια.*

Digitized by Google

[ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω·
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.]

25. [1.]

Ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ
μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

26. [11.]

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

27. [3.]

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,

Fr. 25. Plut. Amat. c. 5: *εὖ γε νὴ Δία, ἔφη, τοῦ Σόλωνος ἐμνήσθης καὶ χρηστέον αὐτῷ γνώμονι τοῦ ἐρωτικοῦ ἀνδρός· ἔσθ' ἥβης κτλ.* Iuvenem haec scripsisse Solonem *coniicit* Plut. *ὅθεν οἶμαι καὶ ὁ Σόλων ἐκεῖνα μὲν ἔγραψε νέος ὢν ἔτι καὶ σπέρματος πολλοῦ μεστὸς, ὡς ὁ Πλάτων φησί.* — V. 1. *ἔσθ' ἥβης* Canter, BE *ἐσθήβης*, vett. edd. *ἐς Θήβης.* — *παιδοφιλήσῃ*, Brunck *παιδοφιλήσεις.* — V. 2. *ἱμείρων* ap. Plut. om. Legitur integer versus ap. Athen. XIII. p. 602. E. (ubi P om. *ἱμείρων.*) et Apulci. de Magia c. 9: „Num igitur etiam Solonem fuisse serium, severum et philosophum negabis, cuius ille lascivissimus versus est: *μηρῶν ἱμείρων κτλ.* ubi vett. edd. *μείρων εὐ μείρων.*

Fr. 26. Plut. Amat. c. 5., ubi fr. 25. affert: *ὁ Σόλων ἐκεῖνο μὲν ἔγραψε νέος ὢν ἔτι — ταυτὶ δὲ πρεσβύτης γενόμενος· Ἔργα κτλ.*, ubi vulgo v. l. *μοι νῦν*, sed E *νῦν μοι*, ut ceteris locis. — V. 2. edd. vett. et EB *τίθησιν* pro *τίθησ'*. Idem distich. legitur vit. Sol. c. 31. (ubi CBac *Μουσάων*, FaLla *τίθησιν*) et Sept. sapient. conv. c. 13. et ap. Hermiam in Phaedr. p. 78. (ubi *ἔργα τὰ* et *καὶ Μουσάων τίθησι*). — V. 2. Schneidewin *Μουσάων θ', ἃ τίθησ'*.

Fr. 27. Integram hanc elegiam servaverunt Philo de opif. mundi p. 24. A ed. Francof. (1691): *τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης ἐλεγεῖα ποιήσας τάδε· Παῖς μὲν κτλ.* et Clem. Alex. Str. VI. 814: *τάς τε τῶν ἡλικιῶν μεταβολὰς κατὰ ἑβδομάδα γίνεσθαι Σόλωνος αἱ ἐλεγεῖαι δηλοῦσιν ὧδέ πως· παῖς μὲν κτλ.* cf. Ambrosius Ep. VI. 39. Legitur elegia etiam in Cod. Paris. ap. Cramer An. Par. I. 46: *Ἡρωελεγεῖα Σόλωνος πρὸς περίστασιν ἡλικιῶν.* (notabo littera C.) et Apostol. XIV. 94. Respiciunt huc Censorin. de die nat. c. 14. (Macrob. in Somn. Scip. I. 6.) et haud dubie Aristot. Pol. VII. 14, 11: *κατὰ τὴν τῆς διανοίας ἀκμήν· αὕτη δ' ἐστὶν ἐν τοῖς πλείστοις ἥνπερ τῶν ποιητῶν τινὲς εἰρήκασιν οἱ μετροῦντες ταῖς ἑβδομάσιν τὴν ἡλικίαν, περὶ τὸν χρόνον τῶν πεντήκοντα ἐτῶν.* De simili Hippocratis sententia vid. praeterea Pollux II. 1. et Boissonade Anecd. II. 455. — Porson, Franke, alii hanc Solonis elegiam in suspicionem vocaverunt, iniuria: nam tenue hoc argumentum etiam orationis exilitatem quandam requirit, neque quae dixit Solon Fr. 20., v. 4. adversantur huius elegiae v. 16., si accuratius inquisiveris in utriusque carminis institutum. — V. 2. *ἐν ἕπτ'*, C *ἕπτ' ἄν.* — V. 3. *τελέσῃ* Schaefer, vulgo *τελέσει.*

Digitized by Google

ηβης ἐκφαίνει σήματα γεινομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἥντ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον, ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

28. [16.]

Νείλου ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς.

V. 4. *ἐκφαίνει*, C *δὲ φαίνει*, ap. Cl. cod. Par. *δὲ φανείσης*. — *σήματα* Philo Ap. C., *σπέρματα* Cl. — *γεινομένης*, *γινομένης* Ap., *γενομένης* cod. Par. ap. Cl. — V. 5. *τριτάτῃ*, C *τρίτῃ*. — *δὲ* om. Philo. — *γένειον*, *γένεια* Ap., *γένει* C. — *ἔτι* scripsi, legeb. *ἐπὶ*. Ap. Cl. cod. Par. ed. Fl. *ἀεξόμενον ἐπὶ γενύων*. — V. 7. *πᾶς τις ἐν ἑβδομάδι μέγ'* Cl., *παῖς* (*παΐς* C.) *τις* (om. Ph.) *ἐν* (*ἐπὶ* Ph.) *ἑβδομάδεσσιν* (*ἑβδομάσιν* Ap.) Ph. Ap. C. — V. 8. *ἥντ'* Cl., *ἧτ'* C. Ap., *οἷ τ'* Ph. — *ἀρετῆς*, Ap. *ἀρετᾶς*. — V. 9. *ὥριον*, *ἄνδρα* interpunxi, vulgo iunguntur, ante scripsi *ὡρίου ἄνδρα γάμου*, Ap. *ὥρῃ ἄνδρα*. — *γάμου μεμνημένον*, Ph. *μεμνημένον ἄρ γάμου*. — *εἰσοπίσω*, Ph. Ap. C *ἐξοπίσω*. — V. 11. *καταρτύεται*, *καταρτύνεται* Ap. et Cl. cod. Par. ed. Fl. — V. 12. *οὐδ'*, C *ἐνδ'*. Hinc Schneidew. *ἐν δ' ἔρδειν ἔθ' ὅμως*, falso. — *ἔρδειν*, vulgo *ἔρδειν*, Cl. *ἐσιδεῖν*. — *ὁμῶς*, ap. Cl. cod. Par. ed. Fl. *ὁμοίως*. — *ἔργ' ἀπάλαμνα*, Cl. *ἔργα μάταια*. — V. 13. *μέγ' ἄριστος*, Ph. Ap. C. *μετ' ἀρίστοις*. — V. 14. *ὀκτώ τ'· ἀμφοτέρων*, Ph. Ap. *ὀκτὼ δ' ἀμφότερα*, C *ὄκτω δ' ἀμφότερον*, et *ἀμφότερον* coniecit Sintenis. Deinde C *τεσσερεκαίδεκ'*, unde *τέσσερα* elicias. — V. 15. *μαλακώτερα*, Cl. *μετριώτερα*. — V. 16. *γλῶσσά τε καὶ σοφίη* Ph. Ap. (nisi quod *καὶ* om.) C. Ambrosius, *σῶμά τε καὶ δύναμις* Cl., unde Schaefer coni. *σῶμά τε καὶ σοφίη*. — V. 17. respicit Diog. L. I. 54: *Σόλων δὲ ὅρον ἀνθρωπίνου βίου φησὶν ἔτη ἑβδομήκοντα*. — *ὅτε δὴ τελέσῃ* (sic Schaefer, v. *τελέσει*) *θεὸς ἕπτ' ἐνιαυτούς* Cl., *εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο* Ph. Ap. C. — V. 18. *ἔχοι*, *ἔχει* Ap. et ap. Cl. cod. Par. ed. Fl.

Fr. 28. Plut. vit. Sol. c. 26: *Πρῶτον μὲν οὖν εἰς Αἴγυπτον ἀφίκετο καὶ διέτριψεν, ὡς καὶ πρότερον αὐτός φησι· Νείλου ἐπὶ κτλ. — προχοῇσι, προχοαῖσι* FaL — *Κανωβίδος* Stephanus (AC), reliqui *Κανώβιδος*. Si illud *καὶ πρότερον*, quod quidem FaL omittunt, recte se habet, versus Solonis non ad illud tempus pertinet, quo Plutarchus Solonem dicit Aegyptum adiisse, i. e. republica Atheniensium legibus firmata, sed referendus ad elegiam, quam ante illud iter composuit: nam fortasse iam olim iuvenis viserat Aegyptum.

Digitized by Google

[ταῦτ' ἄφενος θνητοῖσι· τὰ
χρήματ' ἔχων οὐδεὶς
οὐδ' ἂν ἄποινα διδ
νούσους οὐδὲ ν

ἀοιδοί.

ἄκουε καὶ δικαίως κἀδίκως·
παραινετική. Cf. Arsen. 79. Apost.
Apost. ed., vulgo ἄρχων, praeterea ex
ἄκουε κἀν δίκῃ κἂν μὴ δίκῃ. Apparet au-
hunc versum, sed poetam similem sententiam
Cf. etiam prov. in Append. I. 100. (Schol.
Δοῦλε δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα. et ib.
ἐστ' ἀκούειν καὶ δίκαια κἄδικα (sic enim corr.).

Ἔσθ' ἥβης
μηρῶν

Ἔργ

ΕΠΗ.

31. [23.]

Πρῶτα μὲν εὐχώμεσθα Διῒ Κρονίδῃ βασιλῆϊ,
θεσμοῖς τοῖςδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

ΙΑΜΒΟΙ.

ΤΕΤΡΑΜΕΤΡΑ.

ΠΡΟΣ ΦΩΚΟΝ.

32. [24.]

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

Fr. 29. Schol. Plat. p. 465. ed. Bekk. πολλὰ ψεύδονται ἀοιδοί. — ἐμνήσθη ταύτης (παροιμίας) καὶ Φιλόχορος ἐν Ἀτθίδος α' καὶ Σόλων ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα. Cf. Aristot. Metaph. I. 2. Plut. de poet. c. 2. Paroemiogr. T. I. p. 371. II. p. 128. ed. Gotting. Apost. XIV. 41.

Fr. 31. Plut. vit. Sol. c. 3: ἔνιοι δέ φασιν, ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν· πρῶτα κτλ. V. 1. εὐχώμεσθα Stephanus (A) εὐχώμεθα CFaL, εὐχόμεσθα S, εὐχόμεθα ia. — V. 2. κῦδος, Hecker κῦρος. — ὀπάσσαι, ὀπάσαι CFaL.

Fr. 32. Plut. vit. Sol. c. 14: ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δὲ ἀπόβασιν, πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων· Εἰ δὲ γῆς, φησὶ κτλ. Ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. V. 2. δὲ καὶ, Ci καὶ. — V. 3. μιάνας, i μιᾶναι. — καὶ omittunt Babci. — V. 4. αἰδεῦμαι ACFaL, vulgo αἰδοῦμαι.

Digitized by Google

33.

Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἀρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
χαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβών
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.

34.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσιν πάντες ὥστε δῄϊον.

35.

Ἃ μὲν ἔελπτα σὺν θεοῖσιν ἤνυσ', ἄλλα δ' οὐ μάτην
ἔρδον.

Fr. 33. Plut. vit. Solon. c. 14: *Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· Οὐκ ἔφυ κτλ. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας.* Videntur haec, sicut ea quae sequuntur, ex eodem carmine ad *Phocum* petita esse. — V. 1. ἔφυ, ἔφη a, ἔφυς FaL. — βουλήεις, βουλείης ia. — V. 3. ἄγραν, in proecdosi ἀγρην scripsi. — ἀγασθεὶς, Huetius ἀγρευτὴς, Lobeck ἀασθεὶς. — ἐπέσπασεν, ἐπέσπασε FaLCq et A supra, ἔπαυσε Bci et A a m. pr., ἔπαυσε vel ὑπέσπασε V, ἔχασε Bab, ἔσπασε vulgo, ἀνέσπασεν Xylander. — V. 4. ἁμαρτῇ RSTBabc, ἁμάρτη A, ἁμαρτεῖ Cq, ἁμαρτὼν vulgo. — V. 5. ἤθελον Xylander, libri ἤθελε(ν), quod defendi potest, sed Plutarchus indicare videtur, haec omnia ad vulgi sermones referenda esse. — V. 6. τυραννεύσας, Babc τυρανvίσας. — Ἀθηνῶν, Schneidewin Ἀθηνέων. — ἡμέραν, in proecdosi ἡμέρην scripsi. — V. 7. ἀσκὸς CaFaL et A a m. s., αὐτὸς RTωBabcVi et A a m. pr. — κἀπιτετρῖφθαι Sintenis, κἀπιτετρίφθαι C, καὶ ἐπιτετρίφθαι vulgo. — Ceterum in iis, quae statim ap. Plut. c. 16 leguntur: *φοβηθείς, μὴ συγχέας παντάπασι καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον* arbitrantur praeunte Bekkero Solonis versus delitescere:

Συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν
ἀσθενέστερος γένηται (γένωμαι) τοῦ καταστῆσαι πάλιν.

sed Plutarchi haec sunt.

Fr. 34. Plut. vit. Solon. c. 16: *Ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς Χαῦνα κτλ.* V. 1. Χαῦνα, FaL Χάρμα. — χολούμενοι, in proecdosi χολεύμενοι scripsi. — V. 2. δῄϊον, Reiske δήϊοι.

Fr. 35. Aristid. II. 536: *Ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν* (vel sic tamen potest carmen ad Phocum intelligi), *ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· Ἃ μὲν κτλ. ὁρᾷς, ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; Καὶ ταῦτα μὲν ἐστὶν ἐν τετραμέτροις.* V. 1. ἃ μὲν Gaisford, vulgo ἅμα γάρ, ΓΘ lunt. ἃ μὲν γάρ. — ἤνυσ' Gaisford, v. ἤνυσα. — ἄλλα δ' Gaisf., v. ἅμα δ'. — οὐ, O. Schneider αὖ, Schneidewin ὧν. Videtur potius poeta scripsisse ἄλλα δ' οὐ μάτην αὐτὸς ἔρδον. — V. 2. ἔρδον, Dindorf ἔρδον.

Digitized by Google

29.

Πολλὰ ψεύδονται ἀοιδοί.

30.

Diogenian. II. 99: *Ἀρχῶν ἄκουε καὶ δικαίως κἀδίκως· ἐκ τῶν τοῦ Σόλωνος ἐλεγείων παραινετική.* Cf. Arsen. 79. Apost. IV. 3. *ἀρχῶν* restitutum ex Apost. ed., vulgo *ἄρχων*, praeterea ex K rectius scribas *Ἀρχῶν ἄκουε κἂν δίκῃ κἂν μὴ δίκῃ.* Apparet autem non Solonis esse hunc versum, sed poetam similem sententiam in Elegiis protulisse. Cf. etiam prov. in Append. I. 100. (Schol. Aesch. Choeph. 75.) *Δοῦλε δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.* et ib. II., 1. *κρεισσόνων γάρ ἐστ' ἀκούειν καὶ δίκαια κἄδικα* (sic enim corr.).

ΕΠΗ.

31. [23.]

Πρῶτα μὲν εὐχώμεσθα Διῒ Κρονίδῃ βασιλῆϊ,
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

ΙΑΜΒΟΙ.

ΤΕΤΡΑΜΕΤΡΑ.

ΠΡΟΣ ΦΩΚΟΝ.

32. [24.]

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῖμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

Fr. 29. Schol. Plat. p. 465. ed. Bekk. *πολλὰ ψεύδονται ἀοιδοί.* — *ἐμνήσθη ταύτης (παροιμίας) καὶ Φιλόχορος ἐν Ἀτθίδος α' καὶ Σόλων ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα.* Cf. Aristot. Metaph. I. 2. Plut. de poet. c. 2. Paroemiogr. T. I. p. 371. II. p. 128. ed. Gotting. Apost. XIV. 41.

Fr. 31. Plut. vit. Sol. c. 3: *ἔνιοι δέ φασιν, ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν· πρῶτα κτλ.* V. 1. *εὐχώμεσθα* Stephanus (A) *εὐχώμεθα* CFaL, *εὐχόμεσθα* S, *εὐχόμεθα* ia. — V. 2. *κῦδος*, Hecker *κῦρος*. — *ὀπάσσαι, ὀπάσαι* CFaL.

Fr. 32. Plut. vit. Sol. c. 14: *ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δὲ ἀπόβασιν, πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων· Εἰ δὲ γῆς, φησὶ κτλ. Ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν.* V. 2. *δὲ καὶ*, Ci *καὶ*. — V. 3. *μιάνας*, i *μιᾶναι*. — *καὶ* omittunt Babci. — V. 4. *αἰδεῦμαι* ACFaL, vulgo *αἰδοῦμαι*.

Digitized by Google

33.

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβών
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.

34.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσιν πάντες ὥστε δῄϊον.

35.

Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἤνυσ', ἄλλα δ' οὐ μάτην
ἔρδον.

Fr. 33. Plut. vit. Solon. c. 14: *Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· Οὐκ ἔφυ κτλ. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας.* Videntur haec, sicut ea quae sequuntur, ex eodem carmine ad *Phocum* petita esse. — V. 1. *ἔφυ, ἔιρη* a, *ἔιρυς* FaL. — *βουλήεις, βουλείης* ia. — V. 3. *ἄγραν*, in proecdosi *ἀγρην* scripsi. — *ἀγασθεὶς*, Huetius *ἀγρευτὴς*, Lobeck *ἀασθεὶς*. — *ἐπέσπασεν, ἐπέσπασε* FaLCq et A supra, *ἔπαυσε* Bci et A a m. pr., *ἔπαυσε* vel *ὑπέσπασε* V, *ἔχασε* Bab, *ἔσπασε* vulgo, *ἀνέσπασεν* Xylander. — V. 4. *ἁμαρτῇ* RSTBabc, *ἁμάρτῃ* A, *ἁμαρτεῖ* Cq, *ἁμαρτὼν* vulgo. — V. 5. *ἤθελον* Xylander, libri *ἤθελε(ν)*, quod defendi potest, sed Plutarchus indicare videtur, haec omnia ad vulgi sermones referenda esse. — V. 6. *τυραννεύσας*, Babc *τυραννίσας*. — *Ἀθηνῶν*, Schneidewin *Ἀθηνέων*. — *ἡμέραν*, in proecdosi *ἡμέρην* scripsi. — V. 7. *ἀσκὸς* CaFaL et A a m. s., *αὐτὸς* RTωBabcVi et A a m. pr. — *κἀπιτετρῖφθαι* Sintenis, *κἀπιτετρίφθαι* C, *καὶ ἐπιτετρίφθαι* vulgo. — Ceterum in iis, quae statim ap. Plut. c. 16 leguntur: *φοβηθείς, μὴ συγχέας παντάπασι καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον* arbitrantur praeunte Bekkero Solonis versus delitescere:

Συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν
ἀσθενέστερος γένηται (γένωμαι) τοῦ καταστῆσαι πάλιν.

sed Plutarchi haec sunt.

Fr. 34. Plut. vit. Solon. c. 16: *Ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς Χαῦνα κτλ.* V. 1. *Χαῦνα*, FaL *Χάρια*. — *χολούμενοι*, in proecdosi *χολεύμενοι* scripsi. — V. 2. *δῄϊον*, Reiske *δῄϊοι*.

Fr. 35. Aristid. II. 536: *Ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν* (vel sic tamen potest carmen ad Phocum intelligi), *ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· Ἃ μὲν κτλ. ὁρᾷς, ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; Καὶ ταῦτα μὲν ἐστὶν ἐν τετραμέτροις.* V. 1. *ἃ μὲν* Gaisford, vulgo *ἅμα γάρ*, ΓΘ Iunt. *ἃ μὲν γάρ*. — *ἤνυσ'* Gaisford, v. *ἤνυσα*. — *ἄλλα δ'* Gaisf., v. *ἅμα δ'*. — *οὐ*, O. Schneider *αὖ*, Schneidewin *ὧν*. Videtur potius poeta scripsisse *ἄλλα δ' οὐ μάτην αὐτὸς ἔρδον*. — V. 2. *ἔρδον*, Dindorf *ἔρδον*.

Digitized by Google

TRIMETRA.

36. [25.]

Συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῆ πεπηγότας·
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας, γλῶσσαν οὐκέτ' Ἀττικήν
ἱέντας, ὡς ἂν πολλαχῆ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤδη δεσπότας τρομευμένους,
ἐλευθέρους ἔθηκα· ταῦτα μὲν κράτει,
ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας,
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ

Fr. 36. Aristid. II. 536: *ἐν δὲ τοῖς ἰάμβοις* (*Σόλων λέγει*) *Συμμαρτυροίη — οὔτ' ἂν κατέσχε δῆμον.* i. e. usque ad v. 20. Partem affert Plut. Solon. c. 15: *Οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν καὶ τούτοις συνᾴδειν μᾶλλον τὰ ποιήματα. Σημύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς Ὅρους ἀνεῖλε ... ἐλευθέρα.* (v. 4. 5.). *Καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν τοὺς μὲν ἀνήγαγεν* (v. *ἀπήγαγεν*, FaLC *ἀπῆγεν*, V *ἐπανήγαγεν*) *ἀπὸ ξένης γλῶσσαν ... ἔχοντας.* (V. 9—12.) V. 1. *ἐν δίκῃ χρόνου*, Reiske *ἐν μήκει χρόνου*, Clavigerus *Κρόνου μήτηρ, μεγ.*, ego coniicio *ἐν Λίκης θρόνῳ.* — V. 3. *μέλαινα*, Θ *μέλαιν'.* — *τῆς* Scaliger, v. *ἧς.* — V. 4. *πολλαχῆ*, ap. Plut. FALq *πυλλαχοῦ.* — V. 5. *πρόσθεν ΘΓ* et Plut., ap. Arist. v. *πρόσθε.* — *δουλεύουσα ΓΘ* et Plut. (sed CqFaL *δουλεύουσαν νῦν ἐλευθέραν*), ap. Arist. v. *δουλεύσασα.* — V. 6. *θεόκτιτον* Θ, vulgo *θεόκτιστον.* — V. 7. *ἐκδίκως*, Θ *ἐνδίκως.* — V. 8. *ἄλλον δικαίως*, Γ *ἄλλον δὲ δικαίως.* — *ὕπο χρησμὸν*, vulgo *ὑποχρησμόν*, Reiske *ὕπο χρησμοὺς*, male de servis vaticinantibus cogitans, Ahrens *χρησμῳδέοντας*, sed illi, qui apud exteros servitutem serviebant, patriae linguae vix dum gnari obscuri et obfuscati sermonis ambagibus utebantur, itaque post *λέγοντας* distinxi; ceterum malim *τῆς ἀναγκαίης ὕπο.* — V. 9. *οὐκέτ'*, Plut. *οὐκ.* — V. 11. *δουλίην* Brunck, *δουλείης* Arist., *δουλοσύνην* Plut. (sed FaLC *δουλείην*). — V. 12. *ἤδη*, Bach *ἠδὲ.* — *δεσπότας*, Γ *δεσποτῶν*, unde in proecdosi *ἤδη δεσποτῶν* scripsi, possis *εἴλη δεσποτῶν*, vid. Hesych. *εἴλεα· δεσμοί.* Coniiciat aliquis *αἰεὶ δεσπότας τρομ.* — V. 13. *κράτει*, Θ *κράτη.* — V. 14. affert Plut. vit. Sol. c. 17., ubi recte *βίην*, Arist. *βίαν.* — *συναρμόσας*, Θ *ξυναρμόσας.* — V. 15. *ἔρεξα ΓΘ*, v. *ἔρρεξα.* — V. 16. *ὁμαίους ΓΘ*, v. *ὁμοίως.*

Digitized by Google

οὔτ' ἂν κατέσχε δῆμον οὔτ' ἐπαύσατο,
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

37. [25.]

* * * Εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἤνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν ἀτέροις, δρᾶσαι δίχα,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀρχὴν πάντοθεν κυκεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

---

38. [26.]

Πίνουσι καὶ τρώγουσιν, οἱ μὲν ἴτρια,
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδέν· οὔθ' ὅσ' ἀνθρώποισι γῆ
φέρει μέλαινα· πάντα δ' ἀφθόνως πάρα.

39.

Σπεύδουσι δ' οἱ μὲν ἴγδιν, οἱ δὲ σίλφιον,
οἱ δ' ὄξος.

V. 20. οὔτ' ἂν, Arist. οὐκ ἂν, fortasse recte, ut deinde οὐδ' ἐπαύσατο sit scribendum, sed Plutarch. vit. Sol. c. 16., qui haec redintegrat: καί τοι φησίν, ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν, οὔτ' ἂν κατέσχε δῆμον, οὔτ' ἐπαύσατο (Fa ἐπαύσαντο) πρὶν ... γάλα. — δῆμον, Reiske et Canter θυμὸν coni., Ahrens λῆμ' ὅν.

Fr. 37. Aristid. II. 537. pergit: εἶτα τί φησιν ὁ Σόλων· εἰ γὰρ κτλ. apparet ex eodem carmine esse, et pauca tantum intercidisse. V. 2. ἤνδανεν Θ, v. ἤνδανε. — V. 3. αὖθις, in proecdosi scripsi αὐτις. — ἀτέροις fort. τοῖσι συνεταίροις, Ahrens αυθις δ' ἃ τοῖσιν, ἑκατέροις, Hermann τοῖσι ἀτέροις, servata deinde librorum scriptura διὰ πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχειρώθη πόλις. — δίχα O. Schneider et Ahr., βίᾳ Schaefer, κακὰ Valckenaer, vulgo διὰ et interpungebatur ἀτέροις δρᾶσαι διὰ πολλῶν. — V. 4. ἐχηρώθη Valckenaer, v. ἐχειρώθη. — V. 5. ἀρχὴν, Meineke ἄρχυι, Ahrens ἄρθην, Lobeck ὀργῇ ... κυκλεύμενος, possis ἄρχων, sed fort. scrib. ὧν ἕνεκα τάρχῃ. Hesych. τάρχη· τάραξις. et ἄταρχος, ἀτάραχος. cf. ibid. ταρχαίνειν.

Fr. 38. Hoc et fr. 39. 40. ex uno eodemque carmine petita videntur. Athen. XIV. 645. F: γοῦρος (C γῦρος, epit. Hoesch. γῶρος) ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς Ἰάμβοις φησί· Πίνουσι κτλ. — V. 4. οὐδὲν, οὔθ' ὅσ' scripsi, AB οὐδ' ἐνασσεν, VL οὐδέν· ἄσσ' ἔν, propterea Schaefer v. 5. φέρῃ pro φέρει. Possis: οὐδέν, ἄσσα τ' ... πάντα δὴ ἀφθόνως πάρα, et οὐδέν, ἄσσα τ' etiam Ahrens.

Fr. 39. Pollux X. 103: καὶ ἴγδιν δὲ αὐτὴν (τὴν θυείαν) κεκλήκασι Σόλων τε ἐν τοῖς Ἰαμβοις λέγων· Σπεύδουσι κτλ. ita Casaubon., vulgo πευσίδ' (ita etiam C, σπευσίδα B, σπευδ' A) οἱ μέν.

Digitized by Google

40.

Κόκκωνας ἄλλος, ἄτερος δὲ σήσαμα.

ΜΕΛΗ.

41. [27.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ – ⏑ – ⏑ – –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – –

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔγχος ἔχων καδίῃ φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελαίνης φρενὸς γεγωνῇ.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

42.

Choricius p. 107. ed. Boiss: *Ταῦτα δή σου τῆς πόλεως τὰ γνωρίσματα, ἣν αἱ κοιναὶ τοῦ βίου θεράπαιναι γῆ τε καὶ θάλασσα τοῖς ἑαυτῆς ἑκατέρα δώροις ἀβρύνει· γῆ μὲν γὰρ τοῖς ἐνοικοῦσιν ἐπίσταται φέρειν ὅσα τίκτουσιν ὧραι, ὑπτία τε πᾶσα καὶ καθειμένη, καὶ τὸ τοῦ Σόλωνος, λιπαρὴ κουροτρόφος· θάλαττα δὲ μικρὸν ἄπωθεν τῇ πόλει διακονεῖ, διεστηκυῖα τοσοῦτον, ὅσον μήτε κτύπῳ παρενοχλῆσαι κυμάτων, μήτε τὴν ἐξ αὐτῆς χορηγίαν δυστυχεστέραν καταστῆσαι τῆς μεταξὺ πορείας ἐκτεινομένης.*

43.

Galen. Protrept. c. 8: *Ἄμεινον οὖν ἐστὶν ἐγνωκότας τὴν μὲν τῶν μειρακίων ὥραν τοῖς ἠρινοῖς ἄνθεσιν ἐοικυῖαν, ὀλιγοχρόνιόν τε τὴν τέρψιν ἔχουσαν, ἐπαινεῖν τε τὴν Λεσβίαν λέγουσαν,*

Fr. 40. Phrynich. p. 396: *ἔτι καὶ νῦν κόκκωνα οἱ πολλοὶ λέγουσιν ὀρθῶς· καὶ γὰρ Σόλων ἐν τοῖς ποιήμασιν οὕτω χρῆται· Κόκκωνας κτλ.* vulgo (et sic cod. Bachmann An. II. 399.) *κόκκωνας δὲ ... ἕτερος.* fort. *κόκκωνα δ'* scrib. cum Lobeckio.

Fr. 41. Diog. Laert. I. 61: *τῶν δὲ ᾀδομένων αὐτοῦ ἐστὶ τάδε· Πεφυλαγμένος κτλ.* V. 2. *μὴ*, fort. *μή σε*, in proecdosi scripsi *φαιδρῷ σε πρ.* — *ἔγχος*, edd. vett. *ἔχθος* (Sambuc. *ἔχθρος*), Roeper coni. *ἔλκος* (ed. Lugd. *ἕλχος*). Conieci: *μὴ κρυπτὸν ἠθος ἐντός.* — *καδίῃ*, ed. Frob. *καδίην.* — *προσεννέπῃ*, vulgo *προσενέπῃ*, Ilgen *πρός σ' ἐνέπῃ.* — V. 3. *οἱ*, cod. Cant. *ἡ.* — *μελαίνης*, vulgo *μελαίνας*, Ilgen *μελανῆς*, Roeper *ἐκ μελαίνας φρένας γεγώνῃ.*

Digitized by Google

Ὁ μὲν γὰρ καλός, ὅσον ἰδεῖν πέλεται·
ὁ δὲ κἀγαθὸς αὐτίκα καὶ καλὸς ἔσται.

πείθεσθαι δὲ καὶ Σόλωνι τὴν αὐτὴν γνώμην ἐνδεικνυμένῳ. Fortasse Galenus Solonis aliquod apopthegma intelligit, sed potuit etiam in Elegia talem sententiam proponere, et fortasse Solonis sunt versus, qui leguntur in Theognideis v. 933, 34:

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.

ut etiam Schneidewin coniecit. — Quod Diodor. Sic. Exc. Vat. T. III. p. 16. dicit: *Ὅτι ὁ Σόλων ἡγεῖτο τοὺς μὲν πύκτας καὶ σταδιεῖς καὶ τοὺς ἄλλους ἀθλητὰς μηδὲν ἀξιόλογον συμβάλλεσθαι ταῖς πόλεσι πρὸς σωτηρίαν, τοὺς δὲ φρονήσει καὶ ἀρετῇ διαφέροντας μόνους δύνασθαι τὰς πατρίδας ἐν τοῖς κινδύνοις διαφυλάττειν*, fortasse ex elegia petitum, in qua nimia artis gymnasticae studia pariter exagitavit, atque Xenophanes (Fr. 2.). Hinc etiam publica victorum praemia minuisse fertur, vid. Diog. L. I. 55. cf. Plutarch. vit. Sol. c. 23. Solonis utrum apopthegma aliquod an versum intelligat Libanius Epist. 726: *Σὺ δ' εἰδὼς τὸν Σόλωνα, καὶ νῦν, ὃν ἀνθ' ἡμῶν αἰτιᾶσθαι δίκαιον, οὐκ ἀγνοεῖς.* Audiverat Libanius a mendaci aliquo homine Theodorum amicum contumeliosis sermonibus contra ipsum uti, itaque diu nullas ad illum litteras misit: iam cum ille ultro Libanio longam misisset epistolam, haec rescripsit. Fortasse intellexit Fr. 41. — Alia quae fortasse quis huc referenda esse censeat, omnia apophthegmatis adnumeranda arbitror. — Ea denique, quae Plato in Timaeo et in Critia de *Atlantide* Solonis carmine inchoato illo quidem sed non perfecto memoriae tradidit, fama fortasse aliqua vetusta nituntur, neque vero verisimile est Platonis aetate reliquias eiusmodi carminis superstites fuisse, conferas praeter alios C. Fr. Hermann de Platonis philosophia I. p. 703. et Westermann ad Plut. vit. Sol. c. 32.

44.

Photius 164, 9: *Κιγχάνειν· τὸ ἐπεξιέναι· οὕτως Σόλων.* Similiter Suid: *Κιγχάνειν· τὸ ἐπεξιέναι οἱ περὶ Σόλωνα.* Rectius inter legum reliquias hoc retuleris. Quae affert Schol. Aristid. III. 524: *Ἀλλ' ὃ ποιηταὶ καὶ νομοθέται καὶ παροιμίαι καὶ ῥήτορες καὶ πάντες κελεύουσιν, ἀμύνεσθαι τοὺς ὑπάρξαντας, τοῦτο εἰσηγεῖτο*] .... *Ὅμηρος Ἀνδρ' ἐπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ. Σόλων·* (BD *καὶ Σόλων*) *τὸν* (ἐὰν BD) *ἄγοντα βίᾳ* (βίᾳ ἀδίκως BD) *τἀμὰ* (Oxon. *τὰ σὰ*) *εὐθὺς ἀμυνόμενος κτεῖναι ἢ ὡς πένητα γνῶναι* (haec quatuor verba om. Ox.) *Παροιμία· τὸν ξύοντα ἀντιξύειν. Δημοσθένης· Ἀμύνασθαι τὸν εἰς ὑμᾶς ὑπάρξοντα.* ex legibus petita sunt, vid. Demosth. in Aristocr. 639: *καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνάναι.*

Quae apud Sch. Aesch. Prom. v. 400. sine auctoris nomine leguntur *οἴχεται τὸ κλέπος αὐτὸς ἔχων* sane licet Soloni vindicare et ad Leges

Digitized by Google

referre, vid. Pollux VIII. 34: *Σόλων μέντοι τὸ κλέμμα κλέπος ἐν τοῖς Νόμοις ὠνόμασεν.* Sed potuit in Elegia dici:

(*Ἤν δέ τις*) *οἴχηται τὸ κλέπος αὐτὸς ἔχων.*

45.

Photius 491, 21: *Ῥοῦν· τὸ ἥδυσμα· Σόλων.*

VII.

CLEOBULINA.

1.

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα
οἵτω συγκόλλως ὥστε σύναιμα ποιεῖν.

2.

Ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίως.
καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον.

3.

Plut. Sept. Sap. Conviv. 5: *Ὁ δὲ Αἴσωπος, εἶγε, εἶπεν, εἰδείης, ὦ ξένε, τοὺς νῦν αὐλοποιοὺς ὡς προέμενοι τὰ νεβρεῖα, χρώμενοι τοῖς ὀνείοις, βέλτιον ἠχεῖν λέγουσιν. Διὸ καὶ Κλεοβουλίνη πρὸς τὸν Φρύγιον αὐλὸν ἠνίξατο, Νεβρόγονος κνήμη ἦσε κερασβόλον οὖας ἕκατι κρούσεως· ὥστε θαυμάζειν τὸν ὄνον, εἰ παχύτατος καὶ ἀμούσότατος ὢν τἄλλα, λεπτότατον καὶ μουσικώτατον ὀστέον παρέχεται.* Ita Wyttenbach coniecit, vulgo *Διὸ καὶ Κλεόβουλον ἡ πρὸς τὸν Φ.*

Cleobulina. Fr. 1. Ath. X. 452. B: *Πολλοὶ δὲ γριφων καὶ τοιοῦτοί τινές εἰσιν οἷον· ἄνδρ' — ποιεῖν· τοῦτο δὲ σημαίνει σικύας προσβολήν.* V. 1. *πυρὶ χαλκὸν*, ap. Ath. *πυρίχαλκον*, sed veram lectionem ser vaverunt Aristot. Rhet. III. 2. (ubi *πυρίχαλκον* QVbZAb) et Poet. c. 22. Demetr. de eloc. 162. Rhet. Walz. VI. 360. VII. 949. (hoc utroque loco *εἶδον ἐγὼ πυρὶ χ.*) qui primum versum afferunt. Cleobulinae sive Eumetidis esse docet Plut. Sep. Sap. Conviv. c. 10: *ὁ δὲ Αἴσωπος οἷον ἀμυνόμενος ὑπὲρ αὐτῆς, οὐ γελοιότερον οὖν, εἶπε, τὸ μὴ δύνασθαι ταῦτα διαλύειν; οἷόν ἐστιν, ὃ μικρὸν ἔμπροσθεν ἡμῖν τοῦ δείπνου προὔβαλεν· Ἄνδρα εἶδον — κολλήσαντα.*

Fr. 2. Galc Opusc. Phys. p. 720: (Orelli Opusc. Sentent. T. II. 222.) *Βούλομαι δὲ καὶ ποήματα τῶν παλαιοτέρων μαρτύρων ἐπαγαγέσθαι. Κλεοβουλίνης· Ἄνδρ' εἶδον κλ. κ. ἐξ. βίᾳ, ὡς καὶ τὸ β. ῥ. τ. δ. ἦν πάλαι ταῦτα. Αἰσχύλου δὲ κτλ.* Emendavit *βιαίως* Heringa. Gruppe de Archyta p. 193. aenigma subditicium censet.

Digitized by Google

αὐ. νεβρ. κνήμη κερασφόρον οὖας ἦξε θαυμάζειν ἕκατι κρούσεως, A. Voss. Ven. P ἦρξατο κνήμη νεκρογόνος αἷμα κερασφόρω οὖας ἕκ τε (P τι) κρούσεως, eadem TVB nisi quod ἐκτοκειούσεώς τε, conf. quae dixi Comment. de Comoed. Att. p. 113.

VIII.

AESOPUS.

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μυρία γάρ σευ
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν·
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
τἄλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κῆν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

IX.

DEMODOCUS.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

1.

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μέν, ὃς δ' οὔ,
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χίος.

2.

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης, καὶ Κινύρης δὲ Κίλιξ.

Aesopus. Anth. Pal. X. 123: *Αἰσώπου.* Apud Plan. *ἄδηλον. Aesopi* nomen videtur ex solo errore ortum. V. 1. *φύγοι*, Schaefer *φύγῃ.*

Demodocus. Fr. 1. Anth. XI. 235. *Δημοδόκου.* Respondit huic epigrammati, Demodocum exagitans, Phocylides, fortasse offensus Milesiorum irrisione (fr. 5.), vid. Phocyl. 1: *Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοὶ* κτλ. V. 2. *δὲ Χίος*, cod. Pal. *δὲ Χιος*, fort. *δὲ Χίου*, Brunck *Χῖος.*

Fr. 2. Anth. XI. 236. *τοῦ αὐτοῦ.* V. 2. *καὶ* Iacobs, cod. Pal. *δὲ.*

Digitized by Google

3.

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτή
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

4.

Καππαδόκαι φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες
φαυλότεροι· κέρδους δ' εἵνεκα φαυλότατοι·
ἦν δ' ἅρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
μὴ λίτομαι, βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

5.

(Καὶ τόδε Δημοδόκου·) Μιλήσιοι ἀξύνετοι μὲν
οὐκ εἰσί, δρῶσιν δ' οἷά περ ἀξύνετοι.

IAMBOI.

6.

Ἦν τύχῃς κρίνων, δικάζευ τὴν Πριηνίην δίκην.

Fr. 3. Anth. XI. 237. *τοῦ αὐτοῦ.* V. 2. Friedemann *αἵματος ἰοβόλου κάτθανε γευσαμένη.* fort. recte.

Fr. 4. Anth. XI. 238. *τοῦ αὐτοῦ.* V. 4. *γίγνονται* Plan., *γίνονται* cod. Pal. Ceterum hoc epigramma recentioris alicuius poeta est, et per errorem Demodoci carminibus adhaesit.

Fr. 5. Composui ex Aristot. Eth. Nic. VII. 9: *Οὐ μὴν ἀλλ' ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥςπερ τὸ Δημοδόκου εἰς Μιλησίους· Μιλήσιοι γὰρ* (γὰρ add. LbOb, om. ceteri) *ἀξύνετοι μὲν οὐκ εἰσὶ, δρῶσι δὲ οἷάπερ οἱ* (οἱ om. Ob) *ἀξύνετοι.* ubi Aspasius, quem laudat Michelet: *ὁ Δημόδοκος Λάριος* (scr. *Λέριος*) *ἦν τὸ γένος, πολλὰ δὲ ἀποσκώπτων τοὺς Μιλησίους ἔλεγεν.* Ceterum quem Pseudoplut. de Flum. c. 18. *καθὼς ἱστορεῖ Δημόδοκος ἐν α' Ἡρακλείας* dicit, vel diversus vel potius prorsus nullus fuit.

Fr. 6. Diog. L. I. 84: *Λέγεται δὲ* (*Βίας*) *καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ προσεχρῆτο· ὅθεν καὶ Δημόδικος* (Bochart *Δημόδοκος*) *ὁ Λλείριος* (Menag. *Λέριος*) *τοῦτο αἰνίττεται λέγων· ἦν τύχ. κτλ. καὶ Ἱππώναξ κτλ.* Eadem Eudoc. 94. unde Hipponacte aliquanto antiquiorem fuisse coniicias. quamquam fieri potest, ut aequales fuerint, cf. fr. 1. — *Κρίνων*, cod. Cant. Ar. Mon. *τήνων.* Cf. Suid. v. *Δικάζεσθαι* (ubi leg. *Πριηνίη δίκη*).

Digitized by Google

X.

PHOCYLIDES.

ΕΛΕΓΕΙΑ.

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ·
Πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

2.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς δι' ὅλου πάντας ἀποστρέφομαι.
[Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.]

ΕΠΗ.

3.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,

Phocylides. Fr. 1. Strabo X. 487: *καὶ Λέρια· καὶ τόδε Φωκυλίδου κτλ. διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ ἐνθένδε ἄνθρωποι*, unde sumsit Eust. ad Dionys. Perieg. 350: *ὡς δηλοῖ Φωκυλίδης λέγων· Λέριοι κτλ.* Vide de hoc epigr. ad Demodoc. Fr. 1. — V. 1. *Φωκυλίδεω* edd. Strab., *φωκυλίδου* libri, sed cf. de hoc exordio, quod proverbii loco usurpatum est, Cic. ad Att. IV. 9. ubi item *Φωκυλίδου*. — *ὃς δ' οὐ*, ap. Eust. M *ὁ δ' εὖ*, m *ὁ δ' οὔ*, b *οὐδ' οὔ*. — V. 2. *πάντες*, B *ἀλλὰ πάντες*, ap. Eust. vulgo *πάντες δὲ*. — *πλὴν*, D *πρὶν*. — *Προκλέους*, *Πατροκλέους* no Ald. et ap. Eust. Mm. — *καὶ*, no *καὶ γὰρ*. — *Προκλέης*, BKno Ald. (Eust. Mm) *Πατροκλέης*, et deinde addunt *δὲ* CD(?)hlsx et Eust. vulgo, ut hic quoque *δὲ Λέρου* coniicere possis. Ceterum Proclis, qui apud Chios insignis auctoritate videtur fuisse (genus fortasse duxit ab antiquo illo Procle, de quo vid. Pausan. VII. 4, 2. Ion. Eleg. Fr. 2, 6.) commemoratio apud Phocylidem inficeti aliquid habet, quem Lerium hominem exagitare decuit, ut fortasse *Πατροκλέους* et *Πατροκλέης* recte se habeat.

Fr. 2. Anthol. X. 117: *Φωκυλίδου*. Ap. Planud. est *ἄδηλον*, ut ap. Cram. An. Par. IV. 376. — V. 2. *δι' ὅλου*, v. *διόλου*. — V. 3. et 4. apparet per errorem priori disticho adiunctos et Phocylidi abiudicandos esse, itaque cancellis sepsi, quamquam etiam prius distichon non liberum est a suspicione. — *θωπεύω* et *ἄρα τιμῶ* Plan., *τοθεύω* et *ἄρα τιμήσω* Anecd., *ποθεύω* et *ἄρ' ἀτιμάσω* Pal.

Fr. 3. Stob. Flor. LXXIII. 60: *Φωκυλίδου·* — V. 1. *τῶνδε*, A *τῶν*. — *γένοντο* A Voss. Vind. Ars. Trinc., *ἐγένοντο* B (olim *γένοντι* leg.) — V. 2. *γυναικείων* si integrum, ionice pro *γυναικέων* dictum, sed possis *γυναικέων* coniicere. — *ἡ δὲ*, B *ἥδε*, vulgo *ἠδὲ*.

Digitized by Google

ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης·
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ' ἂρ κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνός, χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

4.

Καὶ τόδε Φωκυλίδου· τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

5.

Καὶ τόδε Φωκυλίδου· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

6.

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἄσσ' ἂν περιγογγύζωσι πολῖται.

7.

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

V. 4. ἥδε Brunck, ut videtur, ap. Stob. ἡ δ' ἵππου χαιτηέσσης εὔφορος ἡ δὲ ταχεῖα. — V. 8. Brunck γάμον ἱμερόεντα.

Fr. 4. Stob. Flor. LXXXVII. 2: Φωκυλίδου. V. 1. Φωκυλίδου, Brunck Φωκλίδεω. — τί Brunck, vulgo τό. — εὐγενὲς, fort. εὐγενεῖ, nam εὐγενέσ(ι) aeque improbabile est quam εὐγενὲς aeolica ratione pro εὐγενέας dictum esse.

Fr. 5. Dio Chrys. XXXVI. T. II. 505: οὕτως ἔφην, καὶ τῆς τοῦ Φωκυλίδου ποιήσεως ἔξεστί σοι λαβεῖν δεῖγμα ἐν βραχεῖ· καὶ γάρ ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἐξῆς διέξεισι μάχην ἐν πλείοσιν ἢ πενταχισχιλίοις ἔπεσιν· ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει, ὥστε καὶ προστίθησι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος· οὐχ ὥσπερ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὑτόν· ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει; Καὶ τόδε κτλ. respicit idem or. XXXII. T. II. 457. et Themist. XXIV. 307. — V. 1. Φωκυλίδου, Brunck Φωκλίδεω. — V. 2. σμικρὴ, BM μικρὴ. — κρέσσων MAv, κρείσσων reliqui.

Fr. 6. Phrynich. Ecl. 358: Γογγυσμὸς καὶ γογγύζειν· ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, ἰακὰ δὲ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα· Καὶ κτλ. — V. 2. Salmasius ὅσσων πέρι γογγ.

Fr. 7. Stob. Floril. LVI. 6: Φωκυλίδου· Χρηΐζων κτλ. V. 2. Ἀμαλθείης, Stob. Ἀμαλθαίης.

Digitized by Google

8.

Νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρὴν
ἀνδράσιν· ἡσυχίη δ' ἀρετὴν διζημένῳ ἐσθλή.

9.

Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

10.

Δίζησθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἀσκεῖν.

11.

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

12.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

13.

. . . Χρὴ παῖδ' ἔτ' ἐόντα
καλὰ διδάσκειν ἔργα . . . .

Fr. 8. Orion p. 43. ed. Schneidew.: *ἐκ τῶν Φωκυλλίδου.* V. 1. etiam Tzetz. in Mns. Rhen. Novo VI. 617. — V. 2. *ἀρετὴν διζημένῳ* Schneidewin, cod. *ἀρετὴ διζημένω.*

Fr. 9. Stob. Appendix p. 10. ed. Gaisf.: *Φωκυλίδου.* ubi cod. *σώφρονες* et *ἐλαφρόνοι*, quae corr. Gaisford.

Fr. 10. Schol. Aristot. T. IV. 275. B: *κατὰ γὰρ τὸν Φωκυλίδην δεῖ ζητεῖν βιοτὴν κτλ.* sine poet. n. et Diogenian. Prov. IV. 39 (Arsen. 181. Apostol. VI. 8. a. Proverb. T. II. 67.): *Δίζεσθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος.* unde *δίζησθαι* restituendum esse vidit Schneidewin. Respicit Plato de rep. III. 407. A: *Φωκυλίδου γάρ, ἦν δ' ἐγώ, οὐκ ἀκούεις πῶς φησί, δεῖν ὅταν τῷ ἤδη βίος ᾖ ἀρετὴν ἀσκεῖν.* Huc etiam refero Liban. Epist. 1536: *Φωκυλίδῃ πειθόμενος, μετὰ χρήματα λόγων ἀπτόμενος.*

Fr. 11. Athen. X. 428. B: *ὁ δὲ Φωκυλίδης ἔφη· Χρὴ δ' κτλ. περινισομενάων* APV, *περινισσυμενάων* CL, *πυρὶ νισομενάων* B.

Fr. 12. Aristot. Polit. IV. 9, 7: *διὰ τοῦτο καλῶς εὔξατο Φωκυλίδης· Πολλὰ κτλ.* — *θέλω*, IbVbP4(?) 2042. (a m. pr.) *θέλων*, quasi Aristotelis haec sint. Versus integer s. p. nomine legitur in Scholiis ad Aristot. Topic. T. IV. p. 372. B.

Fr. 13. Plutarch. de pueror. educ. c. 5: *Κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν, λέγων· Χρὴ κτλ.* sed Sylburg, Fabricius (ex codd. sex?) Dübner ex his componunt hexametrum: *Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα.* Adde Mai Collect. Vatic. III. 198: *χρὴ γὰρ κατὰ τὸ ἔπος, παῖδ' ἔτ' ἐόντα καλὰ διδασκέμεν.* Ego coniicio ex Elegiis esse versum:

Παῖδ' ἔτ' ἐόντα χρεὼν καλὰ διδασκέμεναι.

Digitized by Google

14.

Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

15.

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακοῦ ἀνέρας ἐκλύσασθαι.

16.

Χρήστης κακοῦ ἔμμεναι ἀνδρός
φεύγειν, μή σέ γ' ἀνιήσῃ [διδοὺς] παρὰ καιρὸν ἀπαιτέων.

17.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν.

Fr. 14. Plutarch. de audit. c. 18: *οὐ γὰρ μόνον, ὥς φησι Φωκυλίδης· Πόλλ' κτλ., ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλά.* Contra Clem. Al. Strom. V. 733. sine p. n. *καὶ τῷ ὄντι ἀνάγκη· πολλὰ πλανηθῆναι* (cod. Ott. *πλανθῆναι*) *κτλ.* Adde Cram. An. Par. I. 166: *οὐ μόνον τὸ Φωκυλλίδειον παθεῖν, πόλλ' ἀέκοντα διζήμενον οὐ μόνον τὸ* (vel *τὸν*) *ἄεθλον, ἀλλὰ καὶ πονῆσαι πόνους οὐ φαύλους.* Hic igitur legit: *Πόλλ' ἀέκοντα παθεῖν.*

Fr. 15. Clem. Alex. Str. V. 725: *ἔτι πρὸς τοῖσδε Φωκυλίδης τοὺς ἀγγέλους δαίμονας καλῶν, τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν, τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, ἐπεὶ καὶ ἡμεῖς ἀποστάτας τινὰς παρειλήφαμεν. Ἀλλ' ἄρα κτλ.* Eadem Euseb. Praep. Ev. XIII. p. 687. c. V. 2. *κακοῦ ἀνέρας* scripsi ut etiam Schneidewin coniecit, vulgo *κακὸν ἀνέρος.* Ceterum apparet tertium versum intercidisse, nisi forte scrib.: *οἱ μὲν ἐπερχόμενον κακὸν .... (οἱ δὲ) ... ἀνέρος ἐκλύσασθαι.*

Fr. 16. Schol. Arist. Nub. 240: *Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως· χρήστης κ. ἔ. ἀ. φεῦγε, μή σέ γ'* (*μή σ'* Bekker) *ἀνιήσειε διδοὺς π. κ. ἀ. ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται· Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι* (Pseudophoc. v. 83.). Novit igitur schol. et germana et subditicia carmina. Suidas v. *ἀπαιτέων· ἀπαιτῶν. Φωκυλίδης* (sed A *ἀπὸ τῶν Φωκυλίδου*) *χρήστης* (E *χρήστας*) *κακοῦ* (ABE *κακοὺς*) *ἔ. ἀ. φεῦγε* (AE *φεύγειν*) *μή σε γ'* (A *μή γε*, BE *μή γε σε*) *ἀνιήσειε κτλ.* et rursus v. *χρήστης· χρ. κακοῦ* (A *κακοὺς*) *ἔ. ἀ. φεύγειν μή σ'* (A *μή γε*) *ἀνιήσειε κτλ.* unde v. 2. *φεύγειν* restitui, deinde *μή σέ γ' ἀνιήσῃ* deleto participio *διδούς*, quod ex interpretatione ortum, v. 1. autem sic supplendus videtur: *Καὶ τόδε Φωκυλίδεω· χρήστης κτλ.* Contra Reiz et Hermann ... *φεῦγε χρήστης κ. ἔ. ἀ. μή τί σ' ἀνιήσειε διδοὺς π. κ. ἀ.*, Ernesti *φεῦγε* deleri maluit. Ceterum Liban. Epist. 1073 cum dicit: *Τὸν Εὐστάθιον δὲ μηδεὶς ἐπειγέτω, μηδὲ διαφθειρέτω τοῖς δευτέροις τὴν χάριν, μηδὲ τοιούτους ἡμᾶς ἀποκαινέτω χρήστας, οἵους φεύγειν παραινεῖ Φωκυλίδης* temere videtur utramque sententiam simul respicere.

Fr. 17. Aristot. Eth. Nic. V. 1: *Διὸ καὶ παροιμιαζόμενοί φαμεν· ἐν δὲ κτλ.* ubi pro *'στι* codd. *ἐστί*, praeter KbLbOb, qui *ἔνι*. Hic adnotavit Michael Ephes.: *ἡ δὲ παροιμία Θεόγνιδός ἐστιν, ὡς Θεόφραστός φησιν ἐν τῷ πρώτῳ περὶ ἠθῶν λέγων· ἐν δὲ τῷ πρώτῳ τῶν ἠθικῶν, ὡς Φωκυλίδης αὐτοῦ μέμνηται· καὶ οὐδὲν θαυμαστὸν καὶ Φωκυλίδην καὶ Θέογνιν αὐτῷ χρήσασθαι.* Cf. Theogn. v. 147.

Digitized by Google

XI.

PSEUDOPHOCYLIDEA.

ΦΩΚΥΛΙΔΟΥ ΓΝΩΜΑΙ.

Ταῦτα δίκης ὁσίῃσι θεοῦ βουλεύματα φαίνει
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὅλβια δῶρα.
Μήτε γαμοκλοπέειν, μήτ' ἄρσενα Κύπριν ὀρίνειν,
μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
ἀρκεῖσθαι παρεοῦσι καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πάντα δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκε.
μὴ ῥίψῃς πενίην ἀδίκως· μὴ κρῖνε πρόσωπον.
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.

Pseudophocylidea. In Phocylidis, quem ferunt, carmine edendo praeter Mutinensem (M) et Vaticanum (Va) codices, quos contulit Bekker et Baroccianum (B), quem Gaisfordus comparavit, et Parisinum (P) n. 1603., quem comparavit Boissonade Anecd. I. 445. et Taurinensem (T), quem contulit Peyron Notit. Libr. Valperg. p. 83., adhibui Vindobonenses, unum, qui est inter illius Bibliothecae codd. Philos. Philol. CCCXXI. (V1), secundum CCCXXXI. fol. 112. b. (V2), in quibus integrum carmen exstat, denique cod. CLXV. in quo carminis pars prior bis legitur fol. 88. b. v. 1—81. et fol. 102. v. 1—124. (V 3. et 4.). Lectiones Oraculorum Sibyllinorum, de quibus dicetur infra, notavi littera S. — *Φωκυλίδου γνῶμαι* V3, *Φωκυλίδου γνῶμαι ποίησις ὧδε τοῦ Φωκυλίδου ὀρθοποδηγοῦσα πρὸς τὸ βέλτιον* P, *Φωκυλίδου ἀργυρᾶ ἔπη ἠρωϊκά* V2, *Φωκυλίδου φιλοσόφου ποίησις ὠφέλιμος* MVa. Denique alius cod. Vind. CLIII. fol. 2. *Φωκυλλίδου ποίημα. Γνῶμαι* ut praeferrem fecit Suidas (Eudoc. 426.) v. *Φωκυλίδης*· — *ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤ τοι γνώμας ἅς τινες κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δ' ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.* Vulgo *Φωκυλίδου ποίημα νουθετικὸν* inscribitur. V. 1. et 2. addidi ex MVaB V4 idemque exordium leg. in cod. ap. Villois. An. II. p. 79. Miller Catal. Bibl. Matr. p. 23. et in duobus aliis codd. Vind. c. CCXXI. f. 222. b. ubi item integrum exstat carmen, et CLIII. f. 2., nisi quod leviora quaedam variant omnes hi codd. — V. 2. *δίκης*, fort. rectius *δίκης*, ut cod. Vill. — V. 3—5. invertit PV3 *μήτε γαμ.* (P *γάμον κλοπέειν*) *μήθ' αἵματι χ. μ. μήτε πλουτεῖν ἀ. ἀ ἐ. ὁ. β. μήτε δ. ῥάπτειν· μήτ' ἄρσενα K. ὀ.* — V. 4. *αἵματι*, *αἷμα τὴν* V1 et Vind. CCXXI. — V. 5. *ὁσίων*, *ὁσίμων* B. — V. 6. *παρεοῦσι*, Va *παρ' ἑοῖσι*, V134 et c. CCXXI. *παρεοῖσι*. — *καὶ*, Va *τῶν*. Et M. 365, 40. not. Favorin. 197. Gregor. Cor. 425. *παρ' ἑοῖσι*, (*παρ' ἑοῖς*) *τῶν δ'*. — V. 8. *πρῶτα*, V4 *πρῶτα μέν*. — V. 9. *πάντα* VaPTBV1234, v. *πᾶσι*. — *νέμειν* vulgo, *νέμων* PBV2, *νέμων* (sup. *νέμειν*) Va. — *ἕλκε* VaV12 P, v. *ἕλκειν*. ib. M *μηδ' εἰς κρίσιν χάριν*. — V. 10. *ἀδίκως· μὴ* V3P, v. *ἀδίκως μὴ*. — *κρῖνε*, M *λαβη*, supra *κρῖνε*. — V. 11. *κακῶς*, V3 in m. *καλῶς*. — *δικάσσει*, *δικάσει* V124.

Digitized by Google

μαρτυρίην ψευδῆ φεύγειν, τὰ δίκαια βραβεύειν.
παρθενίην τηρεῖν, πίστιν δ' ἐπὶ πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δέ τι μέτρον ἁπάντων.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἔλκειν.
μηδ' ἐπιορκήσῃς μήτ' ἀγνὼς μήτε ἑκοντί.
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσῃ.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλοις, μήτ' οὖν ἀδικοῦντας ἐάσῃς.
πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
πληρώσας σέο χεῖρ' ἔλεον χρῄζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου· σῶσον δ' ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος·
πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν τοι ἔδωκε θεός, τούτων χρῄζουσε παράσχοι.
ἔστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα.
Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
[αἷμα δὲ μὴ φαγέειν, εἰδωλοθύτων ἀπέχεσθαι.]

V. 12. *τὰδί καια βραβεύειν* MVBV34, v. *τὰ δίκαι' ἀγορεύειν*, quod S et Va in m. — V. 13. *πίστιν* MVa (Barocc.)iV134 cf. Stob. XI. 5., v. *ἀγάπην*, ut S T et Va in m. — *ἐπὶ* BV13, sed hic in m. *ἐν*, quemadmodum in S V4 et v. — *φυλάσσειν*, *φυλάττειν* V34, *φύλασσε* B. — V. 14. *μέτρα νέμειν*, B *μετανέμειν*. — *δέ τι μέτρον* scripsi, v. *δ' ἐπίμετρον*, V234 *δ' ἐπὶ μέτρον*, nisi malis *δ' ἐπὶ μέτρον ἅπασι*. — *ἁπάντων* MBV34, *ἅπαντα* TV1, *ἅπασι* v., utrumque Va. — V. 16. In V1 praecedit *ἅπαντα μήτ' ἀγνῶς μήτ' ἐθελοντὶ ἑλεῖται*, vid. clausulas v. 14. 16. 18. — *μηδ'* scripsi, v. *μήτ'*. — *ἐπιορκήσῃς μήτ' ἀγνὼς* M (nisi quod *ἐναγνως*) VaV12 (nisi quod hic *μήθ' ἁγνῶς*), at V3 *ἐπιορκήσῃς ἀγνοίῃ* (supra *ἐπιορκεῖν*.), B *ἀγνοίαι* et *ἑκοντή*. Brunck e cod. reg. *μήτ ἐπιορκεῖν μήτ' ἀγνοίῃ*. Fortasse scribendum *μήτ' ἐπιορκήσῃς ἀγνοίῃ μήτ' ἐθελοντί*. — V. 17. 18. om. V3 — *ὀμόσσῃ*, P et duo codd. Brunckii *ὀμόσσει*, B *ὀμώσῃ*, idem *ἄμβροτον*. — V. 18. *ἐπαράσιμος*, B *ἐπαρόσιμ'*. — *ἕληται*, P *χρ. ἀρεῖται*. — V. 21. *ἐθέλοις* BV2, *ἐθελήσῃς* V3, *ἔθελε* P, *ἐθέλῃς* S v. — *οὖν* om. V134 — *ἀδικοῦντας* scripsi, v. *ἀδικοῦντα*, V4 *ἀδικοῦντ'*. Melius sane scripsisset: *μήτ' ἀδικεῖν ἐθέλῃς αὐτὸς μήτ' ἄλλον ἐάσῃς*. — V. 22. *εὐθὺ*, V4 *εὐθύς*. — *μηδ'*, B *μήδ'*. — V. 23. om. V3. — *πληρώσας* vulgo, *πληρώσεις* B, *πληρώσει* M, *πληρώσειν* Va, *πλήρωσον* V4. — *ἔλεον*, *ἐλέους* V1. — V. 24. *οἶκον*, *οἴκους* V3. — *τυφλὸν*, *πτωχὸν* V2T. — V. 25. *ναυηγοὺς*, *ναυαγοὺς* B. — V. 26. *σῶσον*, *σῶζε* V3. — *δ'* om. M. Affert h. v. Gramm. Cod. Vind. 169., ubi *σῶ δ' ἀπερ.* — V. 27. *πάντων*, *πάντα* V4, *κοινὰ τὰ πάντων· ὁμὸς τρόχος* V4. — V. 28. om. V3. — *πενητεύουσιν*, M *πενητεύοντι*. — V. 29. *τοι* V13, v. *σοι*. — *ἔδωκε*, T *δῶκε*. *ὧν. ... τούτων*, Va *ὅν ... πλοῦτον*. — *χρῄζουσι*, V123 *χρῄζοντι*, P utrumque. — V. 31. om. P — *ἐς*, S *ἐπ'*, V1 *εἰς*, V2 *ἀλλὰ πρὸς*, M ex corr. *ἐπ' ἀγαλμα*. — V. 32. Ex Va addidi sed cancellis sepsi, cum v. 33. arctius cum v. 31. cohaereat, est enim ex orac. Sibyll. additus, ubi *δ' ἀπεχ.*

Digitized by Google

εἶθε δὲ μὴ χρῄζοις μήτ' ἔκνομα μήτε δικαίως.
ἦν γὰρ ἀποκτείνῃς ἐχθρόν, σέο χεῖρα μιαίνεις.
Ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ' ὑπερβῇς.
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί.
χρηστὸς ὀνήσιμός ἐστι, φίλος δ' ἀδικῶν ἀνόνητος.
μηδέ τιν' αὐξόμενον καρπὸν λωβήσῃ ἀρούρης.
Ἕστωσαν δ' ὁμότιμοι ἐπήλυδες ἐν πολίταις·
πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισιν.
χρυσέ, κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
εἶθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
σεῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμιοι.
Μηδ' ἕτερον κεύθοις κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
μηδ', ὡς πετροφυὴς πολύπους, κατὰ χῶρον ἀμείβου.
πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε.
Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· εἰ δ' ὑπ' ἀνάγκης,

V. 33. *μὴ χρῄζοις* om. Va, *μὴ χρῃζης* M, *μὴ χρήϊαις* V1, *μὴ χρῄζεις* V2 — *ἔκνομα* scripsi et sic S, v. *ἔννομα*, B *εὔνομα*, T *ἄνομα*, Va *ἄνομα τόδε παθεῖν* adscripta vulg. — *μήτε δικαίως* MVaV12T, *μήτε ἀδίκως* V34, utrumque P, vulgo *μήτ' ἀδίκως γε*. — V. 34. *ἐχθρόν*, *σέο* V4, v. *ἐχθρὸν σέο*, *χεῖρα*, V1 *ἐ. σὴν χεῖρα μιαίνῃς*. — V. 35. *ἀπόσχεο*, MS *ἀπόσχου*. — *ἄρ'*, VaV4 *ἄν*. — V. 36. exhibent hoc loco MVaV2 et duo Brunckii codd., ceteri infra post v. 65. sicut vulgo. Prius hemistichium affertur Bachm. An. II. 97. Et. Gud. 658. et s. p. n. a Longino vid. Hephaest. p. 139. ed. Gaisf. cf. Keil Anal. Gr. 12, 13. Fortasse idem erat in germanis Phocylidis carminibus cf. etiam supra v. 14. et Pythagor. Carm. Aur. 38. — *ἀλεγειναὶ* MVaV1234T Append. Paroemiogr. 461. not. Enstath. Il. p. 1318, 8. qui ex Hesiodo citat *ὑπερβασίαι δ' ἀλεγειναί*, B *ὑπερβασίην δ' ἀλέεινε*, sed in m. *ὑπ. δ' ἀλεγειναί*, v. *ὑπερβασίαι δ' ἀλεειναί*. Integrum versum affert Stob. III. p. 136. Schow, ubi *ὑπερβασίη δ' ἀλεεινή*. et Schol. Lucian. IV. 137., qui *Cleobulo* tribuit. (cf. Anth. Pal. IX. 366.) — V. 37. solus Va exhibet ita scriptum *χρήστης ὀν. ἐ. φίλον δ'. ἀ. ἀνόητος*. corr. Schaefer. — V. 38. *μηδέ τιν'*, V2T *μή κε τιν'*, fortasse *μηδέ τευ*. — *λωβήσῃ* MVaV124PT, *λοβήσῃς εἰς* B, *λώβησον* v.; deest versus V3. — V. 39. om. P. — *δ'* V134, vulgo deest. — V. 41. *χώρη*, antea *χωρὶς* scripsi, *χώρης* MVaV14, deest versus V3. — V. 42. affert App. Paroemiogr. 461. not. — V. 43. 44. Gramm. Cod. Vind. 169., v. 44. Zonar. 1842. et Theod. Prodr. in Excerptis Bibl. Paris. VIII. 88. — V. 44. 45. 46. Boiss. An. I. 97. (ubi est *εἶθε μὴ θν. πῆμα ποθητὸν ἐγεγόνεις*). — V. 44—47. Et. M. 321, 45., ubi *σύναιμοί τε*. et Apost. XVIII. 41. a. — V. 45. *σε* om. M — *πῆμα*, V3 *κτῆμα*. — V. 46. *σεῦ* Va V13, v. *σοῦ*. — *φόνοι*, T *φθόνοι*. — V. 47. *ἀδελφειοί*, P *ἀδελφοί*. — V. 48. 49. Apostol. XI. 53. a. — *μηδ'*, V2T *μήθ'*. — *κεύθοις* BT, *κεύθῃς* MVa Ap., *κεύθων* V1, qui etiam *κραδίην*. — *ἀγορεύων*, *ἀγορεύεις* B, *ἀγορεύῃς* V1, V3 om. versum. — V. 49. *χῶρον* V3, v. *χώραν*, utrumque P, in quo hic v. ante 48., V1 *χροΐαν*. — V. 50. Addidi ex MVaV134, nisi quod V3 *πᾶσι δ' ἁπλοῦς*. — V. 51. *εἰ δ'* V1, *ἢν δ'* V3P, v. *ἀλλ'*. Initio B *ἔστιν ἑκὼν ἀδικεῖν κακούς*.

Digitized by Google

οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐπὶ πλούτῳ.
εἷς θεός ἐστι σοφός, δυνατός θ' ἅμα καὶ πολύολβος.
Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦπαρ·
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ἄρην.
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
Ἔστω κοινὰ πάθη· μηδὲν μέγα μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
ᾗ πολλὴ δὲ τρυφὴ πρὸς ἀσέμνους ἕλκετ' ἔρωτας·
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὁλοόφρονα τίκτει.
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.
Ζῆλος τῶν ἐσθλῶν ἀγαθός, φαύλων δ' ἀΐδηλος.
τόλμα κακῶν ὀλοή· μέγα δ' ὠφελεῖ ἐσθλὰ πονεῦντα.
σεμνὸς ἔρως ἀρετῆς· ὁ δὲ Κύπριδος αἶσχος ὀφέλλει.
ἡδὺς ἄγαν ἄφρων κικλήσκεται ἐν πολίταις.
μέτρῳ ἔδειν, μέτρῳ δὲ πιεῖν καὶ μυθολογεύειν.

V. 52. *βουλὴ* B, P *βουλῇ* et *βουλῇ*, MVaV123 *βουλὴν* ut v. — *εὐθύνεθ'* Brunck ex suis codd., et S, antea *εὐθυνος* scripsi, M *εὔθυν' ἐς*, Va *εὔθενον*, V1 *εὐθυνε*, V3 *εὐθύναις*, V2 *ἴθυνε*, P *εὐθῦναι*, B *εὔθυνες*. — V. 53. 54. Stob. III. p. 75. — ed. Schow. *ἐπὶ* Schaefer, v. *ἐνί*. — V. 54. *θ'* omisit V2P, *δ'* B, — V. 55. *κακοῖς* om. V3. — *τρύχου*, V3P *τρύχε*. — *τεόν*, Va *κακόν*. — *ἦπαρ* MBT, *ἦμαρ*, *γρ. ἦπαρ* Va, vulgo *ἦτορ*, P *ἦτορ* et *ἦπαρ*. — V. 56. *ἄτυκτον*, Va *γρ. ἄτεκτον*. P *ἄτυκτον* et *ἀτυγκτον*. — V. 57. et 58. leguntur Append. Paroem. I. 461. not. (ubi *εἰς χεῖρα ... ὀργὴν ... ἐξετέλεσσας.*) — *ἐς*, *ἧς* V4, V3 *εἰς*, M *προπετεῖς*. — *ἄρην* MBV34, vulgo *ὀργήν*, utrumque PV1. — V. 58. *πολλάκι*, V2 *πολλάκις*. — *ἀέκων*, V3 *ἄκων*. — *ἐξετέλεσσεν* duo codd. Brunckii, *ἐξετέλεσας* MTP, *ἐξετέλεσσας* VaV omnes. — V. 59—61. affert Stob. III. p. 136. ed. Schow. — *ὑπέροπλον*, V1 *ὑπέροργον*, V3 omisit versum. Fortasse *μηδὲν ὑπέρφευ* scribendum. — V. 60. et 61. leguntur in Append. Paroem. I. 461. not. — V. 60. V3 *οὐκ ἀ. πλεονεξίη θν. ἐστιν ὄν.* — V. 61. *ἡ* om. M. — *τρυφὴ* Stob. codd. BMV134, *τροφὴ* et supra *τριφὴ* Va, vulgo *τροφὴ* ut T. — *ἀσέμνους* V13, vulgo *ἀμέτρους*, utrumque P. — *ἕλκετ'* MBV1P, *ἕλκεται* V4, *ἕρχετ'* Va, vulgo *ἕλκει*. — V. 62. legitur Paroemiogr. App. T. I. 461. not. — *ἐς* om. V34. — V. 63. *ὑπερχόμενος*, V1 *ἐπερχόμενος*. — *τίκτει* V2, vulgo *τεύχει*. — V. 64. *δ'* om. B. — V. 65. 66. om. V3. — *ἐσθλῶν ἀγαθὸς* PV1, vulgo *ἀγαθῶν ἐσθλός*. — *ἀΐδηλος* scripsi ex V1, qui *ὑποεργὸς* et supra *ἀΐδηλος* exhibet, *ὑποιργὸς* V2, *δ' ὑποειγὸς* ut vulgo PV4, *ὑπέργκος* M, *πονηρὸς γρ. ὑποεργὸς* Va, Brunck *δὲ κακοῦργος*. — V. 66. *μέγα δ' ὠφελεῖ* PV2, vulgo *μεγ' ὀφέλλει δ'*, sed B *μέγ' ὀφέλλει*. — *πονεῦντα* MB, vulgo *πονεῦντας*. — V. 67. est ap. Stob. III. 136. ed. Schow. — V. 68. 69. om. V23T. — V. 68. *ἄγαν ἄφρων* scripsi, vulgo *ἀγανόφρων*, M *ἀγαννόφρων*. — V. 69. *ἐδειν μὲτρῳ δὲ πιειν*, Va ... *φαγεῖν*, *μέτρῳ δὲ πιεῖν*, B *μετροφαγεῖν*, *μέτρῳ δὲ ποιεῖν*, V1 *μέτρω φαγεῖν μέτρω δὲ ποιεῖν*, V4 *μέτρῳ φαγεῖν μέτρῳ πιεῖν*, P *μέτρῳ φαγεῖν*, *μέτρῳ σε πιεῖν*, Stob. III. 135. ed. Schow *μέτρῳ μὲν φαγεῖν*, *πιεῖν*, vulgo *μέτρῳ μὲν φαγέειν*, *πίνειν*.

Digitized by Google

Μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς·
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἠλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἕστη.
Σωφροσύνην ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, Δίκῃ δ' ἀπόλειψον ἄμυναν.
πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφιτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις,
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἐλέσθω·
μητέρα δ' ἐκπρολίποις, ἵν' ἔχῃς αὖ τῆσδε νεοσσούς.
Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς·
μηδὲ δίκην δικάσῃς, πρὶν ἄμφω μῦθον ἀκούσῃς.

V. 70. *φθονέοις* V12MBP ut v., *φθονέῃς* V34, *φθονέσῃς* T et Brunckii codd. Deinde vulgo additum *δ'*, sed om. B codd. Brunckii et ut videtur reliqui omnes — *ἑτάροις*, V2 in m. *ἑτέροις*. — V. 71. *ἄφθονοι*, P corr. *ἄφθονοι δ'*. — V. 72. *μήνη*, V1 *σελήνη*. — V. 75. *ἔρις* deest in V1. — *ἔην*, V4 *ἐέην*, fort. *ἐνῆν* scrib. ceterum P versus hoc ordine exhibet 75, 78, 79, 80, 76, 77, 81. — V. 76. est ap. Stob. III. p. 135. ed. Schow. — *σωφροσύνην* BVaV1, vulgo *σωφροσύνῃ δ'*. — *δ'* om. BV2. — In V3 versus deest. — V. 77. *ἀπόλειψον* Brunckii unus cod. et B, V123Va *ἀπάλειψον* ut vulgo. — V. 78. *ὄνειαρ*, antea *ὀφέλλει* scripsi, BMVaV3 *ὄφελλος*, V12 *ὄφελος*, P *ὄνειαρ* et *ὄφελος*. — V. 80. *εὖ*, V4 *δ' εὖ*. — *ἔρδοντας*, Va *ἔρδοντα*. — *καθήκει*, V1 supra *ἀνήκει*. — V. 81. *λιταῖσι*, P ex corr. *ὀλίγαισι*. — V. 82. *θαλίαισι* Brunck, V123P *δολίαισι* ut vulgo, M *δολίαις*, Va *βραδ. δουλείαις*. — V. 83. affert Sch. Arist. Nub. 240. — *πικρὸς*, *κακὸς* V1 supra, om. Va. — V. 84. 85. desunt in V3. — V. 85. *ἐκπρολίποις*, V2 *ἐκπρολίπῃς* quod Hermann coniecit. — *αὖ τῆσδε* scripsi cum Schaefero, Va *αὐτοὺς δε*, V2 *καὶ τῆσδε*, vulgo *πάλι* (*πάλιν* P) *τῆσδε*. — *νεοσσούς*, V4 *νεοττούς*. — V. 86. hic desinit V3, om. h. v. P. V. 86. 88. 89. 90. affert Stob. IV. p. 108. — V. 87. additus ex uno Brunckii codice et V4; *πρὶν ἄμφω* uterque cod., noluique *πρὶν ἂν ἀμφοῖν* corrigere. Inseruisse autem huius carminis auctorem versum antiquum satis et populi usu tritum:

Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς

non est mirum, quem versum in proecdosi retuli ad germana Phocylidis carmina propter locum Luciani de calumnia non tem. cred. c. 8: *ποιητὴν μοι δοκῶ τὸν ἄριστον ἐπάγειν τῷ λόγῳ εὖ μάλα περὶ τούτων ἀποφηνάμενον, μᾶλλον δὲ νομοθετήσαντα· φησὶ δὲ Μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν* (*ἄμφω* ADFGPQ Schol., *ἀμφοῖν* rel.) *μ. ἀκ.* ubi Schol. *Φωκυλίδης* vel *Φωκυλίδου*, alius *τὸν Φωκυλίδην ποιητὴν μοι δοκεῖ*. at scholiastae illi, nisi prorsus temere coniecerunt, Pseudophocylideum carmen respexisse videntur, indeque etiam lectio *ἄμφω* repetenda, nam qui praeterea hunc versum sine auctoris illi quidem nomine laudant, Plato Demodoc. p. 383. A Plut. de Stoic. repugn. c. 8. Sch. Aesch. Eumen. 422. Sch. Thuc. I. 44. *πρὶν ἀμφοῖν*, atque ita addita tamen particula *ἄν* Aristoph. Vesp. 725. et Schol.

Digitized by Google

τὴν σοφίην σοφὸς ἰθύνει, τέχνας δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουή·
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν·
ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ ἀκατάσχετα πάντα.
Μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθοις φίλον ἦτορ.
μέτρα δὲ τεῦχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσιν.
μὴ τύμβον φθιμένων ἀνορύξῃς, μηδ' ἀθέατα
δείξῃς ἠελίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς·
οὐ καλὸν ἁρμονίην ἀναλύεμεν ἀνθρώποιο.
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισιν.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα γὰρ ἐκ γαίης ἔχομεν, κἄπειτα πρὸς αὖ γῆν

ib.: *ἡ που σοφὸς ἦν, ὅστις ἔφασκεν, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς, οὐκ ἂν δικάσαις.* ubi quidem quod schol. addit *ὑγιῶς δὲ νῦν τὸ ἀμφοῖν κεῖται*, id fort. referendum ad hanc ipsam Pseudophocylidis lectionem *ἄμφω*. Iam cum Cicero ad Att. VII. 18. dixerit: „Ego enim etsi illud *Ψευδησιόδειον*, ita enim putatur, observo, *μηδὲ δίκην.*" probabilis est coniectura Schneidewini (De Pittheo. Gott. 1842.) ad *Χείρωνος ὑποθήκας*, quas vulgo Hesiodo tribuebant, referendum esse hunc versum. Ipsam tamen sententiam alii ad Pitthea referebant, vid. Schol. Eurip. Hipp. 263: *ὁ δὲ Θεόφραστος, ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον Μηδὲν ἄγαν, Μηδὲ δίκην δικάσῃς.* Denique legitur versus in Proverb. T. II. 759. ed. Gott. *Δημοκρίτου ὑποθήκη* (Apostol. XII. 89. vulgo, in ed. Leutschii deest) fortasse quod Democritus alicubi hoc versu usus est. — V. 88. *ἰθύνει*, MVaB Schol. Lucian T. IV. 226. ed. Iacobitz *εὐθύνει*. — *τέχνας* MVaV12 Schol. Luc., vulgo *τέχνην*. — V. 89. *ἀκουὴ* M(P), *ἀκοὴ* V1, *ἀκοῦσαι* B, vulgo *ἀκούειν*. — V. 90. initium sic exhibet P *οὔ ποτε γὰρ κλύουσ' οἱ*, in m. *οὐ δὲ γὰρ νοέουσ' οἱ*. — *μηδέποτ'*, V1 *μήποτ'*. — V. 91. *τραπεζοκόρους* vulgo (P), *τραπεζοφόρους* BV14. — *κόλακας*, TV2 *κόρακας*. — *ἑταίρους*, P *ἑτάρους*. — V. 92. *πόσιος καὶ βρώσιος*, V1 *βρόσιος καὶ πόσιος*, V2 *βρώσιος καὶ πόσιος*. — V. 94. *ὀλίγοις*, B *ὄγκοις*. — *πολλοῖς*, PV1 *πολλάκι*, sed supra *πολλοῖς*. — *ἄπληστοι*, B *ἄπλειστοι*. — V. 96. *τοι* om. PBVaV124. — V. 97. *μινύθοις* Hermann, vulgo *μινύθῃς*, T *καθίσῃς μὴ θείς*. — *φίλον*, V1 *τεόν*. — V. 99. *ἐπιμοιρᾶσθαι*, V12 *ἐπιμοίρασθαι*, B *ἐπιμυρᾶσθαι*. — *ἀταρχύτοις*, V4 *ἀταρχεύτοις*, sed supra *ἀταρχύτοις*. — V. 100. *φθιμένων* MVaV12, P *νεκύων* s. *φθιμένων*, vulgo *φθιμένου*. — V. 102. *ἀνθρώποιο*, V1 *ἐνὶ ἀνοις*, P *ἀναλυέμεν' ἐστὶν ἀνθρώποις*. — V. 103. *ἐς γάος*, V4 *εἰς φόος*. — V. 104. *δὲ*, *τε* M, om. V2B. — *τελέθονται*, fort. *τελέθουσιν*. — V. 107. *γὰρ* MVaV124P, *μὲν* B, *δ' ἄρ* vulgo. — *κἄπειτα πρὸς αὖ γῆν* scripsi, V1 *κἄπειτα δ.. πρὸς αὖ γῆν*, PV2 *καὶ πάντες πρὸς αὐτήν*, TV4Va *καὶ πάντα*

Digitized by Google

λυόμενοι κόνις ἐσμέν· ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου· μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
οὐκ ἔστ' εἰς Ἅιδην ὄλβον καὶ χρήματ' ἄγεσθαι.
κοιναὶ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅιδης·
πάντες ἴσον νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν·
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
οὐδεὶς γινώσκει, τί μεταύριον ἢ τί μεθ' ὥραν.
ἄσκοπός ἐστι βροτῶν θάνατος, τὸ δὲ μέλλον ἄδηλον.
Μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
πολλάκις ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστον
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν αἴφνης.
καιρῷ λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισιν.
Μὴ μεγαληγορίῃ φυσῶν φρένα λυσσωθείης·
εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστῳ νεῖμε θεός· φύσιν ἠερόφοιτον
ὄρνισιν, πώλοις ταχυτῆτ', ἀλκὴν δὲ λέουσιν·
ταύροις δ' αὐτοχύτοις κεράεσσιν· κέντρα μελίσσαις,

πρὸς αὐτήν, B κἄπειτα δὲ καὶ πυρὸς αὐγήν, M κἄπειτα πρὸς αὐτήν, v. καὶ πάντες ἐς αὐτήν. — V. 108. λυόμενοι κ. ἐσμὲν VaMV124, vulgo λυόμενον κ. ἐστίν. cf. Poeta ap. Stob. Ecl. I. 52, 42: Ἀλλὰ τὸ μὲν λυθὲν ἔστι κόνις, ψυχὴ δὲ πρὸς αἶθραν σκίδναται. — V. 109. om. V2 — πλούτου, B (P) πλουτῶν, at M πλούτῳ μὴ γαυροῦ. — μέμνησ', V1 μέμνησο δ'. — V. 110. ἔστ' εἰς scripsi, V1 ἐς, vulgo ἔν' ἐς. — ὄλβον V2, vulgo ὄλβον ἔχειν. — χρήματ', V2 κτήματ'. — V. 111. 112. hoc ordine TBMVaV24, vulgo inverso ordine leguntur. — δόμων, P δωμάτων. — μέλαθρα vulgo, B MV4 μὲν ἄρθρα. — αἰώνια, M τε δόμων δή, B γωνίσματα. — V. 112. et 113. affert Stob. Flor. CXVIII. 9., sed codd. ibi om. — ἴσον MVaBV2, vulgo ἴσοι. — ψυχῶν δὲ θεὸς βασιλεύει, V2 ψυχαῖς δ. θ. ἐμβασιλεύει. — V. 113. ξυνὸς, VaV124 κοινὸς. — V. 114. ἐπὶ καιρόν, VaT ἐπίκηρον, V2P ἐπίκαιρον. — V. 116. et 117. accesserunt ex V1. — τι μεταύριον scripsi, cod. τι μεθώριον. — ἢ τί, cod. ἤτι. — V. 118. οὖν, αὖ T, om. V1. — V. 119. 120. coniunxi auctoritate V1(P), vulgo pessime diremti sunt interposito v. 121: Καιρῷ λατρεύειν κτλ. — V. 119. πολλάκις PMVaB (qui εἰς pro ἐν) V124 et sic vulgo, Brunck falso πολλά τοι. — θαρσαλέοισιν, Va θαρσάλε' εἶσιν. — ἄπιστον ut vulgo PV1, ἄπιτον M, ἄριστον V2, ἄπιστοι V4, Brunck ἄπιστα. — V. 120. πῆμα καί, M πῆ γάρ. — αἴφνης V1, v. ἄφνω. V2 om. v. 120—133. — V. 121. ἀντιπνέειν, ἀντιπλέειν Lobeck. — V. 122. μεγαληγορίῃ PMVa ut vulgo, Brunck ex uno cod. μεγαληγορίησι. — φυσῶν V1, vulgo τυφῶν. — V. 123. μάλα πάντας, V1 μᾶλλον πάντων σ'. — ὀνήσει, P ὀνείσει. — V. 124—131. Stob. affert Flor. III. 26: Φωκυλίδου. — τομώτερον, P τομώτερος. — V. 125. φύσιν, V4 φύσις. — ἠερόφοιτον, Va ἱερόφυτον, B ἱερόφοιτον, T ἠερόφυτον. — V. 126. ὄρνισιν, πώλοις Sylburg, ὄρνησι πολλοῖς B, ceteri codd. ut videtur omnes ὄρνισι(ν) πολλήν, vulgo ὄρνισι μὲν πολλήν, et sic Stob. (sed Voss. Trinc. λαγωοῖς πολλήν). — δὲ V1, vulgo τε. — V. 127. ταύροις δ' αὐτοχύτοις κεράεσσιν vulgo et sic Stob. PV12, sed M ταύροις δ' αὐτοχύτως κεράεσσιν, Va ταύ-

Digitized by Google

ἔμφυτον ἄλκαρ, ἔδωκε, λόγον δ' ἔρυμ' ἀνθρώποισιν
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος·
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρ' ἀνέλεγκτον·
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
Φωρῶν μὴ δέξῃ κλοπίμην ἀδίκων παραθήκην·
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.
Μοῖραν πᾶσι νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἄριστον.
Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃ.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
Κτῆνος κῆν ἐχθροῖο πέσῃ καθ' ὁδόν, συνέγειρε.
πλαζόμενον δὲ βροτὸν καὶ ἀλήμονα μήποτ' ἐλέγξῃς·
βέλτερον ἀντ' ἐχθροῖο τυχεῖν φίλου εὐμενέοντος.
Ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
ἐξ ὀλίγου σπινθῆρος ἀθέσφατος αἶθεται ὕλη·
Ἐγκρατὲς ἦτορ ἔχειν, τῶν λωβητῶν δ' ἀπέχεσθαι.

ροις αὐτοχύτως κέρατα καὶ, et αὐτοχύτως etiam B; Sylburg ταύροις δ' αὐτόχυτον κέρας ἐστίν. ego conieci ταῦροι δ' αὐχαλέοι κεράεσσιν. — V. 128. λόγον V4(P), vulgo λόγος, VaB λόγον δ' ὅς ἐστιν ἄριστος, M λόγων (supra λόγον) δὲ ὅς ἐστιν ἄριστον, et MB omittunt v. 129. Similiter ap. Stob. Voss. et Trinc. λόγον δ' ὅς ἐστιν ἄριστος Ἀνθρώποιν (Trinc. ἀνθρώπῳ) νεῖμεν· βέλτερος δ' (om. Trinc.) ἀλκ. — V. 130. affert Apostolius IV. 89. A. Arsen. 140. — V. 131. σοφίη, Stobaeus σοφία. Post hunc versum PB addunt: μήτ' ἀδικεῖν ἐθέλως μήτ' οὖν ἀδικοῦντ' (P ἀδικοῦντα) ἐάσῃς, id est v. 21. — V. 132. et 133. leguntur ap. Boisson. Anecd. I. 119. — τὸν, V1 τὴν. — ἄνδρ' ἀνέλεγκτον V1 et Boisson. An., ἄνδρ' ἀνάδεκτον Va et B, ἄνδρα ἄδεκτον M, ἄνδρα ἄδικον T, ἄνδρα ἄτιτον P, ἄνδρα ἄδεικτον vulgo. Hic desinit V4. — V. 133. χρὴ, Boiss. An. τὸν. — κακοεργὸν, V1 ταλαεργόν, B κακῶν. — ἀποτροπάασθαι, V1 κακοτροπάασθαι, Va ἀποτροπάσασθαι. Fort. ἀποτρωπᾶσθαι. — V. 134. πολλάκι, V2 πολλάκις. — κακοῖς, B αὐτοῖς. — V. 135. φωρῶν, P (a m. pr.) V1 φωρός, B φῶρον. — κλοπίμην, κλοπίμοιν P (a m. s.) M, κλοπήμων B, κλόπιμον V2. — ἀδίκων MVaBV2TP (a m. s.), ἄδικον V1P (a m. pr.), vulgo ἀνδρῶν. — παραθήκην, V1 παρακαταθήκην. — V. 137. μοῖραν πᾶσι ut vulgo MVaV12, nisi quod M μοίρας habere videtur, μοίραις B, Brunck μοίρας (ex uno cod.) παισί (ex duobus). — ἰσότης, P ἰσότητος. — ἄριστον BMVa, vulgo ἀρίστη. — V. 138. ἐπιδεύῃ V2, ἐπιδευὴς B, vulgo ἐπιδεύῃς. — V. 139. ἕληαι, T ἕλκε. — V. 140. κῆν P (a m. pr.) V1Va, vulgo δ' ἤν. — συνέγειρε TV1BM, συνέγειραι Va, συνέγειρον vulgo. — V. 141. δὲ βροτόν, V2 τὸν βρωτόν, VaM τε βρ. — ἀλήμονα PV1 et Brunckii codd., vulgo ἀλίτροπον, quod nihili est. — μήποτ' ἐλέγξῃς scripsi, V1 μήποτ' ἀλύξεις, P μήτ' ἀπολέγξῃς, M οὔ ποτ' ἀλύξῃς, Va σεῖ ποτ' ἀλεξεῖν, Bar. et Brunckii codd. οὔ ποτ' ἐλέγξῃς, vulgo οὐχ ὑπαλύξεις, V2(T) ὑπαλύξεις omisso οὐχ. — V. 142. βέλτερον ἀντ', V2 βέλτιον. — ἐχθροῖο B Brunckii codd., vulgo ἐχθροῦ. — τυχεῖν Brunckii codd., τ' ἔχειν B, τεύχειν V2, τυχέειν vulgo. — φίλου εὐμενέοντος PV1 ut vulgo, B φίλον εὐ μὲν ἐόντα, T Brunckii codd. φίλον εὐμενέοντα. — V. 143. κόπτειν, ἕλκος, B ἕλκος κόπτειν. — V. 144. 145. 146. accesserunt ex V1, — V. 145. ἔχειν, τῶν scripsi, cod. ἔχει.

Digitized by Google

φεῦγε κακὴν φήμην, φεῦγ' ἀνθρώπους ἀθεμίστους.
μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δέ
λείψανα λεῖπε κυσίν· θῆρες δ' ἀπὸ θηρὸς ἔδονται.
φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχους ἀταλοὺς μὴ μάρψῃς χειρὶ βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν, πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.
Ἐργάζεν, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς.
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
τέχνη τοι τρέφει ἄνδρας· ἀεργὸν δ' ἴψατο λιμός.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
ἀλλ' ἀπὸ τῶν ἰδίων βίοτον διάγοις ἀνυβρίστως.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
ἔστι βίος πᾶν ἔργον, ἐπὴν μοχθεῖν ἐθέλῃσθα.
ναύτιλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεηπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
ἔρχονται βιότου κεχρήμενοι, ὁππότ' ἄρουραι
λήϊα κειράμεναι καρπῶν πλήθωσιν ἁλωάς·

V. 146. *φεῦγ' ἀνθρ.* cod. *φεῦγε ἀνθρ.* — V. 147. *θηρόβορον*, Va *θηροφόρον*, B *θηριοβόρον*. — *ἀργίποσιν*, B *ἀργείποσιν*. — V. 148. *θῆρες δ' ἀπὸ θηρὸς* PV1, vulgo *θηρῶν ἅπο θῆρες*. — V. 149. *τεύχειν*, T *τεύχε*. — *βίβλων*, Va *βιβλίων*. — V. 150. *νηπιάχους ἀταλοὺς μὴ μάρψῃς χειρὶ βιαίως* scripsi, MB *νηπιάχοις ἀταλοῖς μὴ μαψῃ* (M supra *μάρψῃ*) *χεῖρα βιαίως*, Va *νηπιαχοις ἀταλοῦ μη μάρψη χειρα βιαιως*, V12 *νηπιάχοις ἁπαλοῖς μὴ μάρψῃ χεῖρα βιαίως*, ut vulgo; ceterum Va exhibet hunc versum infra post v. 205. Brunck *νηπιάχων ἁπαλῶν ιὴ ἅψῃ* (*μὴ ἅψῃ* unus cod.) *χειρὶ βιαίᾳ*. — V. 151. *διχοστασίην* PMVaV12, *διχοστασίας* Brunck ex uno cod. — *προσιόντος*, V1 *παριόντος*, sed in marg. vulg. — V. 152. *ἔρξῃς*, V2 *ἔρξεις*. Bar. om. versum. — V. 153. *ἐργάζεν*, V1 *ἐργάζεο*. — *βιοτεύῃς*, V2B *βιοτεύεις*, VaP *βιοτεύσῃς*. — V. 154. *ζώει*, V1 *ζώῃ*. — V. 155. accessit ex V1 *τέχνη τοι* scripsi, cod. *τέχνη*. — *ἄνδρας* scripsi, cod. *ἄνδρα*. — V. 156. *ἴδοις*, *ἔδῃς* V12. — V. 157. *τῶν ἰδίων*, Va *τοῦ ἰδίου*, V2 *τῶν οἰκείων*. — *βίοτον διάγοις* scripsi, *ἄγεις βιότου* V1, *βιότων φαγε .. V2*, *βιότοιο φάγοις* Va, *βιότων φάγοις* M, *μισθῶν φάγεις* B, *βιότων φεύγοις* PT, vulgo *βιότων φαγέοις*. — *ἀνυβρίστως* MV2, *ἀνύβριστος* V1, ut vulgo, Brunck ex uno cod. *ἀνύβριστα*. — V. 158. *εἰ*, V2 *ἤν*. — *δεδάηκε*, P *δεδάητο*. — *τέχνην*, *σκάπτοιτο*, Bar. *τέχνης σκάπτοιο*. *τέχνης* etiam MP. — V. 159. *βίος* scripsi, vulgo *βίῳ*, V2 *βίων*. — *ἐπὴν* PV1, *ἐφ' ᾧ* B, vulgo *ἐπεί*. — V. 160. *εἰ*, PV12 *εἰ*. — *πλώειν*, V2 *πλεῖν*, Va *πλόον*, P *πλώει*. — *ἐθέλεις*, V2BP *ἐθέλοις*. — V. 161. *γεηπονίην* PV1, vulgo *γεωπονίην*, TV2 *γεωπονεῖν*. — *μεθέπειν*, PV2 *ἐθέλοις*. — V. 162. *καμάτου*, B *καμάτων*. Sch. Hermog. Rhett. T. V. 441. hunc versum tanquam oraculi dictionem affert. — V. 163. deest in MB. — V. 164. *μυχάτους*, V2 *μυχάτοις*. — *προλελοιπότες*, V1 *προλελοίπασιν*. — V. 165. *βιότου* V1MVaB., *βίοτον* P, vulgo *βιότοιο*. — *ὁππότ'*, V2 *ὁπότ'*. — V. 166. *πλήθωσιν* BP, vulgo *πλήθουσιν*, *βρίθουσιν* V1, unde fort. *βρίθωσιν*. scrib.

Digitized by Google

οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει,
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην συνάγοντες
ἄρτυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμινει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἢ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
σμήνεσι μυριότριτα καθ' ἄνθεα κηροδομοῦσα.
Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι.
δός τι φύσει καὐτός· τέκε δ' ἔμπαλιν, ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων·
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαῦε τὰ δεύτερα λέκτρα γονῆος·
μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μηδ' ἐπὶ παλλακίσιν πατρὸς λεχέεσσι μιγείης.
μηδὲ γυνὴ φθείροι βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
μηδὲ τεκοῦσα κυσὶν ῥίψῃ καὶ γυψὶν ἕλωρα.
μηδ' ἐπὶ σῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάλῃαι.
μηδ' αὖ παιδογόνον τέμνειν φύσιν ἄρσενα κούρου·
μηδ' ἀλόγοις ζώοισι βαυήριον ἐς λέχος ἐλθεῖν·
μηδ' ὕβριζε γυναῖκ' αἰσχυντηροῖς ἐτέεσσιν.

V. 167. *οἱ δ'*, MVaV2 *οὐδ'*. — *αὐτοὶ*, V12 *αὐτ'*. — V. 168. *αἰεὶ* cod. Paris. ap. Schneidewinum, v. *ἀεὶ*. — *δὲ* TV2, *δ'* ὁ, P *καὶ*. — V. 169. *συνάγοντες* V1, *ἐσάγοντες* B, *ἐπάγοντες* vulgo. — V. 170. *ἄρτυτοι* Brunck (V1), *ἄρτυτον* VaP ut vulgo, *ἄρτητον* V2. — V. 171—74. affert Schol. Nicand. Alex. 448. *ἠεροφοῖτις* Brunck ex uno cod., Schol. Nic. VaV2 *ἠερόφοιτος* ut vulgo, V1 *ἠεριφοῖτις*, B *ἠεροφοίτης*. — *ἀριστοπόνος*, Va *ἀριστοφόνος*. — V. 172. *ἢ* Va, vulgo *ἠὲ*. — *χηραμὸν*, Schol. Nic. cod. Riccard. et Marc. *κατὰ χιράδος* (*χοιράδος*). — V. 173. *σίμβλων*, V2 *σίμβλον*. — V. 174. *σμήνεσι*, B *σμήνησι*. — *μυριότριτα*, MBT, Schol. Nic. *μυριότητα*. — *ἄνθεα*, Ruhnken coni. *ἄγγεα*, ego *ἤθεα*. — *κηροδομοῦσα*, T *κηροδονοῦσα*. — V. 175. *μή πως*, V1 *ὅπως*. — *νώνυμνος* B, *νώνυμος* V12P ut vulgo. — V. 176. *τι*, V12 *τῇ*. — V. 177. *ἄλοχον*, V1 *ἄλογον*. — V. 178. *μοιχικὰ*, V1 *μοιχικὴ*. — V. 179. *ψαῦε τὰ* unus Brunckii cod., *ψαῦε τε* duo reliqui, *ψαύετε* MV1P, *ψαύε τὲ* V2, *ψαύεται* B, *ψεῦδε τε* Va, *ψαῦέ γε* vulgo. — *λέκτρα*, M *τέκνα*. — V. 180. in M legitur *μητέρα σεῖο τίμα, κρεῖσσον γὰρ ἀν' ἴχνια βάσσαν*. — V. 182. in Va et P non male praemittitur versui 181. — *παλλακίσι(ν)* PB, *παλλακῆσι* V1, *παλλακοῖσι* V2, v. *παλλακίοισι*. — V. 183. *φθείροι* V2P, vulgo *φθείρῃ*. — V. 184. *ῥίψῃ*, B *ῥίψῃς*. — V. 185. subiunxi versui 184, vulgo legitur: *Μηδ' αὖ παιδογόνον ... μηδὲ τεῇ ἀλόχῳ* ... In V12P leguntur hoc ordine v. 185. 190. 186. — *μηδ' ἐπὶ σῇ* V1P, *μηδέ τι σῇ* BMV2, *μηδέ τις ἢ* Va, *μηδέ τις ᾗ* P in m., *μηδὲ τεῇ* Brunckii cod. unus — *βάλῃαι* MVaBV12TP, v. *βάλοιο*. — V. 186. *τέμνειν φύσιν ἄρσενα κούρου* V1, vulgo *ποτὲ τέμνειν ἄρσενα κοῦρον*. — V. 187. *ἐλθεῖν* PV1MVa ut vulgo, Brunckii *ἔλθοις* ex uno cod. — V. 188. *γυναῖκ' αἰσχυντηροῖς* correxi, V1 *γυναῖκα ἐπ' αἰσχυντῆρ'*, V2 *γυναῖκα αἰσχυντικοῖς*, P *γυναῖκας ἐπ' αἰσχυντικοῖς*, M *γυναῖκα αἰσχυντοῖς*, Va *γυναῖκα ἀπαισχύντοις*, vulgo *γυναῖκα ἐπ' αἰσχυντοῖς*. — *ἐπέεσσιν* V2M,

Digitized by Google

μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον·
οὐδ' αὐτοῖς θήρεσσι συνεύαδον ἄρσενες εὐναί.
μηδέ τι θηλίτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθεκτος.
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
σιέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον,
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρις,
καὶ πόσις ᾗ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
Μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἶκαδ' ἄγεσθαι·
λατρεύσεις ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους εὐγενέας διζήμεθα γειαρότας τε
ταύρους ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρῆας·
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις ἐπὶ πήματι πῆμα·
μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθῃς.

λιχέεσσι V1 ut vulgo, χειλέεσσι PVa, qui ponit hunc versum post v. 191., χείλεσσι Brunck ex codd. duobus. — V. 189. ἐς κύπριν, V2 εἰς κοῖτον. — V. 190. Hic versus post v. 185. collocatur in BV12P, et ut videtur etiam in MVa, sed vulgatum ordinem servavi. — θήρεσσι συνεύαδον ἄρσενες εὐναὶ Victorius ex Sambuci cod. et sic tres codd. Brunckii, olim θήρεσσ' ἄρσην συνέβαδεν ἐς εὐνήν, sed illam lectionem etiam ceteri libri tuentur, nisi quod T θήρεσι συνέβαδεν ἄρσεν ἐς, P συνέβαδεν, V1 συνεύαδ', Va σύνευνα δέ. — V. 191. ἀνδρῶν, M ἀνδρὸς. — μιμήσαιντο, V2 μωμήσαιντο. — V. 192. ῥεύσῃς, Va εὔσῃς, V1 ῥύσῃς, V2 νεύσῃς. — ἀκάθεκτος V2, vulgo ἀκάθεκτον. — V. 194. V2 omisit. — κασιγνήτων ἀλόχων, B κασιγνήταις λόχων, idem φαίνειν, sed supra βαίνειν, P ἀλόχοισιν, fortasse κασιγνήτοις. — V. 195. τεὴν, VaT τέκνον. — V. 196. φρονέῃ, V12BPT φρονέοι, M corr. φρονέει. — φίλα, M corr. καλά. — ἄχρις V1, vulgo ἄχρι. — V. 197. et 198. desunt in MB, 198. etiam in V2T. — ἐμπέσῃ, T ἐμπέσοι. — ἄνδιχα, V ἄνδρα. — V. 198. P ἀμνήστευτα ἀνηκούρησι μιγείη, Va ἀμνηστευτασίη κούρῃσι μιγῆναι, et μιγῆναι fortasse probandum. — V. 199. πολυχρήματον οἶκαδ' Brunck ex uno cod. (et sic ut vid. V1), σοῖσιν οἴκοισιν MVaV2, σοῖσιν οἴκοισι δ' B, οἴκοισιν σοῖσιν vulgo. — V. 200. λατρεύσεις P, λατρεύσεις δ' V1, λατρεύεις δ' M, λατρεύει δ' B, Brunck ex suis codd. λατρεύειν δ'. — V. 201. ἵππους, MB κάπρους, deinde δ' addunt VaV2. — διζήμεθα γειαρότας τε scripsi in proecdosi, et plane sic P (supra vulgata scripta est), V1 διζήμεθα γειαρόπας τε et supra κατ' οἶκον, vulgo δίζεσθαι μὲν κατὰ οἶκον. — V. 202. ταύρους B. vulgo ταύρους δ'. — ὑψιτένοντας, P ὑψιταίνοντας. — σκυλάκων, P σκύλακας, sed in m. σκυλακάκων fort recte. — παναγρῆας scripsi, P in m. παιαγραίους, Va παρὰ ἀγροὺς, V1 πανάριστον, V2 παναγρίους ut vulgo, unus Brunckii cod. παναγρείους. — V. 203. ἀγαθὴν, B ἀγαθῇ. — ἀφρονέοντες om. V1, ἀλλὰ φέρονται Va, ἀλλαφέροντες B, fort. ἀιραίνοντες. — V. 204. ἀφνεόν, V1 ἀφνειόν. — V. 205. ἄγοις codd. ut videtur omnes, non ἄγῃς. — ἐπὶ, Schaefer ἔπι. — V. 206. in V2 et T legitur ante v. 205., deest in M. — κτεάνων, V1 κτεάτων. — συνομαίμοσιν, V1 συναίμοσι, V2T γε συναίμοσι, P τε συναίμοσιν, Va γε συνομαίμοσι (?). — ἔλθῃς V1P, vulgo ἔλθοις.

Digitized by Google

Παισὶν μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος εἴης.
ἦν δέ τι παῖς ἀλίτῃ σε, κολουέτω νέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῖς, ἢ δημογέροντες.
Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμηῖδα χαίτην·
μὴ κορυφὴν πλέξῃς μήθ' ἅμματα λοξὰ κορύμβων·
ἄρσεσιν οὐκ ἐπέοικε κομᾶν, χλιδαὶ δὲ γυναιξίν.
Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην·
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισιν·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆμεν ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
Στέργε φίλους ἄχρις θανάτου, πίστις γὰρ ἀμείνων.
συγγενέσιν φιλότητα νέμοις ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρῃς καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσιν.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴῃ.
στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι, κακηγορέων παρ' ἄνακτι.
λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.

V. 207. *παισὶν* vel *παισὶ* MVaV12BP, vulgo *παισὶ δὲ*. — *εἴης* BM, *ἦσθα* V1, vulgo *ἴσθι*. — V. 208. *ἀλίτῃ σε* correxi, V1 *ἀλιτήσαιο*, vulgo *ἀλίτῃ* (P *ἀλιτῇ*). — *κολουέτω* scripsi, vulgo *κωλυέτω*, V1 *κρίνατο*, V2TB *ἐκκρινέτω*, hoc etiam unus Brunckii, alius *κρινέτω*. hinc Schneidewin: *ἦν δέ τι παῖς σ' ἀλίτῃ σεο, κρινέτω* pravo numero. — V. 210. *πλοκαμηΐδα χαίτην* scripsi itaque etiam Boissonade, Va *πλοκαμηΐδα τέχνην*, V2P *πλοκαμίδα χαίτην*, V1 *πλοκάμους ἐπιχάρτους*, B *πλοκάμους ἐπὶ χαίτης* ut Brunckii codd. tres, vulgo *πλοκαμίδος χαίτην* vel *χαίτην πλοκαμίδος*. — V. 211. *μήθ'*, V1 *μηδ'*. deinde pro *ἅμματα* exhibent *ἕρματα* duo codd. Brunckii, tertius ut BMV *θαύματα*. — V. 212. *ἐπέοικε*, T *ἐνέηκε*. — *κομᾶν* V1P, *κόμαι* TBMV, vulgo *κόμη*. — *χλιδαὶ δέ*, V1P (supra vulgata) *χρὴ δὲ ταῖς*. — V. 213. *δ'* om. B. — *ὥρην*, B *ὥραν*. — V. 214. *λυσσῶσι*, V1 *λυσσόουσι*, P *λυσσώουσι* ut vid. — *μῖξιν*, T *κύπριν*. *γρ. μῖξιν*. — *ἔρωτος*, *ἐρῶντες* M, *ἔρωτες* B. — V. 215-217. affert Stob. III. 125. ed. Schow. *παρθενικὴν*, B *παρθενίην*. — V. 216. *γάμων*, fort. *γάμου*, ut P exhibere videtur. — *ὀφθῆμεν* scripsi, M *ὤφθημεν*, B *ὀφθήμεναι*, vulgo *ὀφθῆναι*. — V. 217. *ἔῃ*, V2 *ἔῃ*. — V. 218. addidi ex V1. — V. 219. *συγγενέσιν* P, v. *συγγενέσι*. — *νέμοις*, *νέμειν* Va. — V. 220. *πολιοκροτάφους*, V2 *πολυοκροτάφους*. — V. 221. *πάντων*, P *ἁπάντων*. — *ἀτάλαντον*, V12 *ἀτάλαντος*. — V. 222. *ὁμήλικα*, locus de vitio suspectus, in proecdosi *ἀφήλικα* scripsi. — *πατρὸς* om. V1. — V. 223. *παρέχου*, V1 *παράσχου*, B *παρέχειν*. — V. 224. *νέμοις*, *νέμειν* Va. — *τοι ... εἴῃ*, V2 *οἷ ... εἴῃς*, et *εἴῃς* T a m. s., Schaefer *εἴῃ*. — V. 225. *θεράποντα*, V2Va *θεράποντι*. — V. 226. *δοῦλον*, T *δοῦλος*. — *βλάψῃς*, V1T *γράψῃς*. — *τι* om. MB. — *κακηγορέων*, Va *κακῇ ἀγορέων*, M *κατηγορέων*. — *παρ' ἄνακτι* MVaB, *παρ' ἄνακτος* V1, *πρὸς ἄνακτα* P ut vulgo. — V. 227. *παρὰ*, V1 *παρ'*, possis *βούλευμα παρ'* coniicere.

Digitized by Google

Ἁγνείη ψυχῆς τοῦ σώματός εἰσι καθαρμοί. 215
Ταῦτα δικαιοσύνης μυστήρια, τοῖα βιεῦντες
230 *ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.*

Restat, ut paucis hic exponatur de eo, quod Suidas dicit v. *Φωκυλίδης· εἰσὶ δ' ἐκ τῶν Σιβυλλιακῶν πεκλεμμένα.* Tantum enim abest, ut hoc verum sit, ut censendum sit, eum qui librum secundum Oraculorum Sibyllinorum (quem satis novitium esse certum est,) vel primus concinnavit vel potius ab alio compositum retractavit, insignem partem carminis Pseudophocylidei (inde a v. 5. usque ad v. 79.) his oraculis inseruisse. Nam ubi de Christo pios homines praemiis virtutis ornante dixit, quisquis haec composuit, pergit p. 202. ed. Gallaei (quam solam adhibere licuit):

Οἱ δ' ἀγαπῶσι γάμον τε γαμοκλοπιῶν τ' ἀπέχονται,
δώσει πλούσια δῶρ', αἰώνιον ἐλπίδα καὶ τοῖς·
πᾶσά τε γὰρ ψυχὴ μερόπων θεοῦ ἐστι χάρισμα,
κοὐ Θέμις ἀνθρώπους τὴν ἄγεσι πᾶσι μιαίνειν.

qui haec scripsit, imitatur Phocyl. v. 3. 4. Sed iam sequuntur versus Phocylidei sat multi, quos in codice Regio reperit Opsopoeus indeque repetiit Gallaeus. Subiiciuntur enim v. 5. 6. 7 (*πάντα φυλάσσειν* pro *πάντ' ἀγορεύειν*), tum vero versum de suo adiecit vates iste:

Μηδὲ μάτην εἴδωλα σέβου, τὸν δ' ἄφθιτον αἰεὶ
πρῶτα θεὸν τίμα κτλ.

i. e. Phocyl. v. 8. 9 (*μηδ' εἰς κρίσιν ἄδικον ἔλθῃς*), 10 (*μὴ κρῖνε προσώπῳ*, quae lectio praeferenda videtur), 11 (*μετέπειτα θεός σε δ.*), 12. 13. 14 (*ἐπὶ μέτρον ἅπασι*), 15. 16 (plane ita scriptus ut ego edidi), 17 (*θεός, ὅστις κεν ἄν τις ὀμόσῃ*), tum sequitur:

Ἐξ ἀδίκων ἔργων δῶρον χερὶ μή ποτε δέξῃ.

ambiguum utrum hunc versum vates de suo adiecerit an ex meliore codice Phocylideo transscripserit, vel aliunde petiverit; 18. tum de suo adiecit

εἰς γενεὰς γενεῶν σκορπισμὸν βιότοιο.
μήτ' ἀρσενοκοιτεῖν, μὴ συκοφαντεῖν, μήτε φονεύειν.

V. 228. *ἁγνείη* libri (T *ἁγνίη*) praeter P qui ut vulgo *ἁγνεῖαι*. — *τοῦ*, BVaV2 *οὐ*, M *σου*, T *σοῦ*. — *εἰσι καθαρμοί* MV12P ut vulgo, Brunck ex duobus codd. *ἐστι καθαρμός*. — V. 229. *τοῖα* codd. ut videtur omnes, vulgo *οἷα*, quod Brunck ex uno cod. correxit. — *βιεῦντες* non ausus sum mutare, quamquam M *βιοῦντες*. — V. 230. *οὐδοῦ*, VaV12 *οὐδῷ* vel *οὐδῶ*, B *ἀδοῦ*, P *οὐδῶ* sive *οὐδοῦ*.

Digitized by Google

Sequitur iam v. 19. 20 (γλώσσης, ultra lectio praestet, vix certo diiudices in scriptore balbutiente), huic subiicitur:

Ὀρφανικοῖς, χήραις, ἐπιδεομένοις δὲ παράσχου.

v. 21. 22 (πτωχοῖς εὐθὺ κτλ.), tum:

Ἱδρῶσι σταχύων χειρὶ χρῄζοντι παράσχου.

(qui versus ad similitudinem v. 23. compositus),

ὃς δ' ἐλεημοσύνην παρέχει, θεῷ οἶδε δανείζειν.
ῥύεται ἐκ θανάτου ἔλεος, κρίσις ὁππότ' ἂν ἔλθῃ·
οὐ θυσίην, ἔλεος δὲ θέλει θεὸς ἀντὶ θυσίης·
ἔνδυσον οὖν γυμνόν, μετάδος πεινῶντ' ἄρτων σῶν.

v. 24. 25 (ὁ γὰρ πλοῦς), 26. 27 (βίοτος τροχός), 28. 29 (καὐτὸς χρῄζοντι π.), 30 (κοινὸς πᾶς ὁ βίος μερόπων, ἄνισος δὲ τέτυκται). Tum sequuntur:

Μή ποτε ἄνδρα πένητα ἰδὼν σκώψῃς ἐπέεσσιν.
μηδὲ κακῶς γε προσείπῃς μωμητόν τινα φῶτα.
τὸ ζῆν ἐν θανάτῳ δοκιμάζεται· εἴ τις ἔπραξεν
ἔκνομον ἢ δίκαιον, διακρίνεται εἰς κρίσιν ἐλθών.
μηδὲ φρένας βλάπτειν οἴνῳ, μηδὲ πίνειν ἄμετρα.

Tum v. 32. 31. 33 (εἴθε δὲ μὴ χρήσῃ μητ' ἔκνομα μήτε δικαίως, confirmans quod de coniectura iam in proecdosi scripsi), 34 (κἂν γὰρ κτλ.), 35. 36 (πᾶς ὅρος ἔστι δίκαιος, ὑπερβασίη δ' ἀλεγεινή.), tum v. 37. ita immutatus:

κτῆσις ὀνήσιμός ἐσθ' ὁσίων, ἀδίκων δὲ πονηρά.

v. 38 (λωβήσῃ καρπὸν), 39. 40 (π. γ. ξενίης περιρήσσονται πολυμόχθου), tum adduntur:

ὡς ξένοι ἀλλήλων· ξεῖνος δέ γε οὔτις ἐν ἡμῖν
ἔσσετ', ἐπεὶ πάντες βροτοὶ αἵματος ἐξ ἑνὸς ἐστέ.

v. 41 (χώρη ... ἔχει τόπον), tum:

Μηδὲ θέλεις πλουτεῖν, μηδ' εὔχου, ἀλλὰ τόδ' εὔχου,
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδέν τε ἔχοντα ἄδικον.

(haec ex Theognide v. 1155. 56. petita), tum v. 42., cui subiunguntur:

μὴ πόθος εἰς χρυσὸν ἢ εἰς ἄργυρον· ἐν δ' ἄρα καὶ τοῖς
ἔσσεται ἀμφήκης θυμοφθόρος ἔνθα σίδηρος.

v. 43. 44. 45. 46. 47., tum:

Μηδὲ δόλους ῥάπτειν, μὴ πρὸς φίλον ἦτορ ὁπλίζειν

(cf. v. 4.), v. 48. 49 (κατὰ χώραν ἀμείβειν), 50. 51. 52. 53. 54. 55 (ἦτορ), 56. 57 (ὀργήν), 58. 59. 60 61 (ἀμέτρους), 62. 63. 64. 65 (ἀγαθῶν ἐσθλός, φαύλων δέ γε φαῦλος), 66 (τ. κ. ὀ. ἀγαθῶν δέ γε κῦδος ὀπάζει), 67. 68. 69 (ἐν μέτρῳ φαγέειν, πιέειν καὶ μυθ.), tum sequitur:

Digitized by Google

πάντων μέτρον ἄριστον· ὑπερβασίη δ' ἀλεγεινόν.

(vid. ad. v. 36.),

Μὴ φθονερός, μὴ ἄπιστος ἔσῃ, μὴ λοίδορος ἴσθι·
μηδὲ κακογνώμων, μὴ ψευδαπάτης ἀμέτρητος.

(hi versus substituti sunt in locum v. 70—75.), v. 76. 77 (*μηδὲ μιμοῦ ... ἀπάλειψον*), 78. 79. His denique vates iste subiecit:

Οὗτος ἀγών, ταῦτ' ἐστὶν ἀέθλια, ταῦτα βραβεῖα,
τοῦτο πύλη ζωῆς, καὶ εἴσοδος ἀθανασίης,
ἣν Θεὸς οὐράνιός γε δικαιοτάτοις ἀνθρώποις
ἔστησεν νίκης ἐπαέθλιον· οἱ δὲ λαβόντες
τὸ στέφος, ἐνδόξως διελεύσονται διὰ ταύτης.

quibuscum componere possis Phocyl. 229. 30. — Apparet ex his eum qui librum II Oraculorum concinnavit versus Phocylideos fere integros in suum opus transtulisse: pauca quaedam consulto mutavit, quae ipsius instituto non satis convenire videbantur: alia utrum ipse mutaverit an sic scripta in suo Phocylideorum codice repererit, ambigi potest; libro certe usus est, qui hos codices, qui superstites sunt, praestantia nequaquam superabat. Alia denique amplificavit et de suo addidit, quae quamvis nec ista Pseudophocylidea aut numerum elegantia aut sermonis urbanitate insignia sint, sed novitiae originis notas plurimas prae se ferant, tamen multum istis sunt deteriora. Iam libros I. et II. Bleek (Theologische Zeitschrift ed. Schleiermacher, Berlin 1819. Vol. I. 185. seqq. 193.) medio saeculo quinto p. Chr. n. compositos esse, Phocylideos autem versus postea ab alio insertos esse censet.

Digitized by Google

XII.

XENOPHANES.

ΕΛΕΓΕΙΑ.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτίθει στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς εὐφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν,
μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν,
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
Hipparchus. Fr. 1. 2. Plato Hipparcho 228 C: *ἐπειδὴ δὲ αὐτῷ (Ἱππάρχῳ) οἱ περὶ τὸ ἄστυ τῶν πολιτῶν πεπαιδευμένοι ἦσαν καὶ ἐθαύμαζον αὐτὸν ἐπὶ σοφίᾳ, ἐπιβουλεύων αὖ τοὺς ἐν τοῖς ἀγροῖς παιδεῦσαι ἔστησεν αὐτοῖς Ἑρμᾶς κατὰ τὰς ὁδοὺς ἐν μέσῳ τοῦ ἄστεος καὶ τῶν δήμων ἑκάστων, κἄπειτα τῆς σοφίας αὐτοῦ ἣν τ' ἔμαθε καὶ ἣν αὐτὸς ἐξεῦρεν, ἐκλεξάμενος ἃ ἡγεῖτο σοφώτατα εἶναι, ταῦτα αὐτὸς ἐντείνας εἰς ἐλεγεῖον, αὐτοῦ ποιήματα καὶ ἐπιδείγματα τῆς σοφίας ἐπέγραψεν, ἵνα πρῶτον μὲν τὰ ἐν Δελφοῖς γράμματα τὰ σοφὰ ταῦτα μὴ θαυμάζοιεν οἱ πολῖται αὐτοῦ, τό τε Γνῶθι σαυτόν, καὶ τὸ Μηδὲν ἄγαν καὶ τἆλλα τὰ τοιαῦτα, ἀλλὰ τὰ Ἱππάρχου ῥήματα μᾶλλον σοφὰ ἡγοῖντο, ἔπειτα παριόντες ἄνω καὶ κάτω καὶ ἀναγιγνώσκοντες καὶ γεῦμα λαβόντες αὐτοῦ τῆς σοφίας φοιτῷεν ἐκ τῶν ἀγρῶν καὶ ἐπὶ τὰ λοιπὰ παιδευθησόμενοι· ἔστὸν δὲ δύω τὼπιγράμματε· ἓν μὲν τοῖς ἐπ' ἀριστερὰ τοῦ Ἑρμοῦ ἑκάστου ἐπιγέγραπται λέγων ὁ Ἑρμῆς, ὅτι ἐν μέσῳ τοῦ ἄστεος καὶ τοῦ δήμου ἕστηκεν, ἓν δὲ τοῖς ἐπὶ δεξιά· Μνῆμα τόδ' Ἱππάρχου· στεῖχε δίκαια φρονῶν φησίν· ἔστι δὲ τῶν ποιημάτων καὶ ἄλλα ἐν ἄλλοις Ἑρμαῖς πολλὰ καὶ καλὰ ἐπιγεγραμμένα· ἔστι δὲ δὴ καὶ τοῦτο ἐπὶ τῇ Στειριακῇ ὁδῷ, ἐν ᾧ λέγει· Μν. τ. Ἱππ. μὴ φίλον ἐξαπάτα.* — Ceterum ex *Hipparcheo* aliquo epigrammate haud dubie servatus est versus in titulo Attico in Corp. Inscr. Vol. I. 12. cuius nondum certa emendatio extat; Boeckh scripsit

Ἐν μέσσῳ γε Θρίης τε καὶ ἄστεος, ἄνερ, δ' Ἑρμῆς.

Franz *ἐν μέσῳ εἰμὶ Θ. τε καὶ ἄ. ἀ. δ' Ἑ.* Froehlich *τῇδ' ἕστηκε Θρίης τε καὶ ἄστεος ἐν μέσῳ Ἑρμῆς.* Sed cf. Ross Koenigsreisen II. 73, qui ad eundem hunc terminum pertinere arbitratur fragmentum tituli:

(οὔ)νεκα πιστὸς ἔφυς.

Pigres. Suid. v. *Πίγρης — ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω γράψας· μῆνιν κτλ.* Cf. Eudoc. 358. — V. 1. post *Ἀχιλῆος* add. ABm *οὐλομένην*. — V. 2. *σὺ γὰρ*, Eud. *γὰρ σὺ*.

Digitized by Google

XVI.

EPICHARMUS.

Εἰμὶ νεκρός, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐστίν,
εἰ δέ τε γῆ νεκρός ἐστ', οὐ νεκρός, ἀλλὰ θεός.

XVII.

AESCHYLUS.

ΕΛΕΓΕΙΑ.

1.

ΕΙΣ ΤΟΥΣ ΕΝ ΜΑΡΑΘΩΝΙ ΤΕΘΝΗΚΟΤΑΣ.

Phot. Quaest. Symp. I. 10. 3: *Γλαυκίας δὲ ὁ ῥήτωρ καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι, ταῖς Αἰσχύλου εἰς τὴν μεθορίαν ἐλεγείαις πιστούμενος, ἠγωνισμένου τὴν μάχην ἐκείνην ἐπιφανῶς*, ubi scribendum videtur *εἰς τὴν Μαραθωνίαν*. Ad hanc elegiam spectat scriptor vit. Aesch. p. 119 ed. Westerm.: *κατὰ δ' ἐνίους ἐν τῷ εἰς τοὺς Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολυ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον.*

2.

Τυῤῥηνῶν γενεάν, φαρμακοποιὸν ἔθνος.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

3.

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
μοῖρα, πολυῤῥήνον πατρίδα ῥυομένους.

Epicharmus. Schol. Il. X. 414: *κατὰ κόπρον. ἀντὶ τοῦ κατὰ τὸ συρμετὸν τῆς γῆς· ἔστι δὲ καὶ ἐπίγραμμα, ὃ εἰς Ἐπίχαρμον ἀναφέρεται· εἰμὶ κτλ.* — V. 2. *εἰ δέ τε* Leid, *ἡ δὲ* B V. sed videtur scrib. *εἰ δ' ἡ γῆ κόπρος ἐστ'*. Ceterum epigramma non tam ab Epicharmo, quam ab alio quo ad exagitandam Epicharmi philosophiam compositum arbitror.

Aeschylus. Fr. 2. Theophrast. Histor. Plant. IX. 15.: *καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυῤῥηνίαν, Τυῤῥηνὸν γεν. κτλ.* scripsi *Τυῤῥηνῶν*. Cf. Plin. Hist. Nat. XXV. 11: „ut Aeschylus e vetustissimis in poetica refertam Italiam herbarum potentia proderet."

Fr. 3. Anthol. Pal. VII. 255: *Αἰσχύλου εἰς ἑτέρους προμαχθεσσαλῶν*, ita cod. Pal.

Digitized by Google

ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσείαν ἀμφιέσαντο κόνιν.

4.

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

5.

Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις.

XVIII.

SOPHOCLES.

ΕΛΕΓΕΙΑ.

1.

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

V. 3. *ζωόν*, in Pal. supra *ζωοί*.

Fr. 4. Athen. XIV. 627. C: *ὁμοίως δὲ καὶ Αἰσχύλος, τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν, ποιήσας· ἀλκὴν δ' εὐδόκιμον κτλ.* Integrum exstat epigramma ap. auct. vit. Aesch. p. 120 ed. West. qui dicit Geloos inscripsisse, et v. l. 2. ap. Plut. de exil. c. 13: *ἀκήκοας δι' ἐπῶν καὶ τουτὶ τὸ ἐπιγραμμάτιον· Αἰσχύλον κτλ.* et ap. Eustrat. ad Aristot. Eth. Nicom. III. 2 (ubi est *τόδε σῆμα κεύθη ἀπ. πυροφόρον* om. *Γέλας*.) Respicit Pausan. I. 14. 5: *ὁ δὲ τό τε ὄνομα πατρόθεν καὶ τὴν πόλιν ἔγραψεν καὶ ὡς τῆς ἀνδρείας μάρτυρας ἔχοι τὸ Μαραθῶνι ἄλσος καὶ Μήδων τοὺς ἐς αὐτὸ ἀποβάντας.* — V. 2. *καταφθίμενον*, r *καταφθάμενον*. — *πυροφόροιο*, LN *πυροφόρον*. — *Γέλας*, BCDGar *πέλας*, LN *σέλας*. — V. 3. *εἴποι*, DLNa *εἶπη*. — V. 4. *καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος* vita Aesch. (nisi quod G *βαθυχαιείης*, Oa *δῆμος*, G *ἐπιστάμενον*) et sic ap. Athen. VL, sed ABP *καὶ βαθυχαίται κεν* (P *βαθυχαῖται* om. *κεν*) *Μῆδοι ἐπιστάμενοι*. Ceterum non deerunt, qui ab ipso poeta hoc epigramma profectum esse negent.

Fr. 5. Plut. de fort. Alex. c. 1: *καὶ κατὰ τὸν Αἰσχύλον· βριθὺς κτλ.* Initium affert etiam Sympos. Quaest. II. 5., integrum versum sine poetae n. de fortit. Rom. c. 3 et Compar. Cic. et Demosth. c. 3. denique Eust. Il. 513. 33 (ubi *ἀντιμάχοισιν*). Ad epigrammata revocavi propter doricum dialectum. — Quod Servius dicit Virg. Aen. X. 737: „Tamen Paeana carmen esse victoriae Aeschylus docet, quod ideo Apollini dicatum est, quia malorum avertendorum potens est.“ fortasse aliquis referat ad Aeschyli *Paeanem*, de quo vid. ad Tynnichi Fr. 1.

Sophocles. Fr. 1. Hephaest. 8: *τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγείαν· ᾗ ηδὶ γοῦν. Ἀρχέλεως· ἦν γὰρ* (C *γὰρ τὸ*) *κτλ.* Miro errore Eust. Il. 264. 20: *Πηνέλεως Ἀττικῶς, οὗ τὸ κοινὸν ἄχρηστον ἡρωικῷ μέτρῳ, ἤγουν τὸ*

Digitized by Google

2.

Harpocratio 36. 15: *Ἀρχὴ ἄνδρα δείκνυσι, Δημοσθένης προοιμίοις δημηγορικοῖς· Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δ' ἐν τῷ περὶ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος.* (K pro his exhibet: *Σόλωνος δὲ εἶναί φασιν αὐτὸ ἀπόφθεγμα.*) De hoc proverbio cf. Diogen. II. 94 ibiq. interpr. (ubi coniiciunt apud Harpocrat. legendum esse *Σοφοκλῆς Ἀντιγόνῃ* [v. 175] * * * *μὲν οὖν ἐν ταῖς ἐλεγείαις*, ut alius cuiusdam poetae nomen exciderit.) Apostol. IV. 1. XVIII. 32. et Leutsch T. II. p. 101.

3.

Erotian. 390: *Χάριτες, αἱ χαραί, ὡς καὶ Σοφοκλῆς ἐν ἐλεγείᾳ.*

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδῃ, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν
Βορρᾶς ὡμίλησε· σὺ δ' οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

5.

Ὠιδὴν Ἡροδότῳ τεῦξεν Σοφοκλῆς ἐτέων ὢν
πέντ' ἐπὶ πεντήκοντα.....

Ἡνέλαος. τοιοῦτον δὲ καὶ τὸ Ἀρχέλεως ἐν Τραχινίαις. Ea autem verba quibus Hephaestio utitur si non Sophoclis sunt, certe ex alius poetae loco adhibita: *ἐγχωρεῖν οὔτ' εἰς ἔπος οὔτ' ἐλεγεῖον.* Ceterum et hoc Fr. et similiter Fr. 2. et 3. solent referri ad *Sophoclem minorem*, quem elegias composuisse auctor est Suidas: *Σοφοκλῆς Ἀριστωνος, υἱωνὸς δὲ τοῦ προτέρου Σοφοκλέους· — ἔγραψε καὶ ἐλεγείας.* Sed ignobilem hunc poetam a Grammaticis diligentibus testem adhiberi praesertim non addito *ὁ νεώτερος* parum est verisimile, nec fide caret, Sophoclem tragicorum principem elegias scripsisse, certe Suidas: *καὶ ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας.*

Fr. 4. Athen. XIII. 604. D: *Καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησιν, ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε, χρησόμενος αὐτῷ· ὁ μὲν οὖν παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσε, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο· μετ' οὐν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ ἑαυτοῦ παιδικὸν ἱμάτιον· οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος, Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονός, καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι· τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. Καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καὶ τὸ πρὸς μοιχείαν αὐτοῦ πειραινιττόμενος· Ἥλιος κτλ.* — V. 2. P *φιλοῦντι ἑτέραν*, B *φιλοῦντι ἑταῖραν.* — V. 3. *Βορρᾶς*, B *βορᾶς.*

Fr. 5. Plut. an seni sit resp. ger. c. 3: *τοῦτὸ δὲ ὁμολογουμένως Σοφοκλέους ἐστὶ τὸ ἐπιγραμμάτιον· Ὠιδὴν κτλ.* Sed numerus si, ut verisi-

Digitized by Google

ΠΑΙΑΝ ΕΙΣ ΑΣΚΛΗΠΙΟΝ.

6.

Philostr. Iun. Imag. 13. ubi Sophoclis describit imaginem apibus circumvolitantibus: Ἀσκληπιὸς δὲ οἶμαι οὗτος ἐγγὺς παιᾶνά που παρεγγυῶν γράφειν καὶ Κλυτομήτης (Ο κλυτομῆτις) οὐκ ἀπαξιῶν παρὰ σοῦ ἀκοῦσαι βλέμμα τε αὐτοῦ πρὸς σὲ φαιδρότητι μεμιγμένον τὰς παρὰ μικρὸν ὕστερον ἐπιξενώσεις αἰνίττεται. Aperte igitur Philostratus indicat hoc nomine Aesculapium a Sophocle in paeane ornatum esse. Comparandus titulus, qui extat Romae in aedibus Vaticanis (Corp. Inscr. III. 5973. c.):

Νουσολύτα, κλυτόμητι, φερέσ(βιε, δέσποτα Παιάν)
σὴ δύναμις κακόεργον ἀνακρο(ύει τ' ἐπίνοιαν)
ἀνθρώπων, τρομέει τε παλίν(στροφος αἶσ' ὁλοή σε)
Ἄιδης τ' εὐρυθέμεθλος, ὅταν ζωά(γρια κύρσας)
ἀντανύσῃς, βιοδῶτα, φερεσσιπό(νου νόσου ἄλκαρ.)
νῦν οὖν πάντα δόμον, γενέτα(ς τε καὶ ἀγλαὰ τέκνα)
σῶζε, μάκαρ Παιάν, ἀκεσώδυν(ε, δῶτορ ἐάων.)

ubi v. 2. Franzii coniecturam praetuli, cum Welcker Syll. Epigr. 135 *ἄνα, κράτος αἰὲν ἀμύνει* supplevisset, sed v. 3, 4, 5 Welckerum secutus sum, ubi Franz parum probabiliter *τρομέει τε πάλιν καὶ Τάρταρος αἰνὸς ... ζωάγρια νούσων ... φερεσσιπόνοισι βροτοῖσιν.* Praeterea v. 6 *γενέτας* scripsi, ubi Franz *γενέταν τε καὶ ἀγλαὰ τ.*, Welcker *γενετῆρα καὶ ὄλβια τ.* V. 7 de mea coniectura redintegravi, ubi scribunt *ἀκεσώδυνε, σῶζε, Πατρώνου.* At quod in lapide legitur versu 8 *ΠΑΤΡΩΙΝΟΥ* non ad v. 7 est referendum, sed nomen *Patruini* (vid. ibid. n. 6649) fuit subscriptum, sive is dedicavit, sive sculpsit Aesculapii signum. Coniicias eum, qui hos versus composuit, Sophoclis Paeanem imitatum esse, eritque fortasse, qui suspicetur integros hos versus ex ipso Sophoclis carmine petitos esse: nam illud quidem certum, Patruinum istum non esse auctorem horum versuum, sed petiit iste ex aliquo hymno in Aesculapium, cuius generis carmina plura antiquitus ferebantur, velut extat talis hymnus ap. Origen.

mile est, ad poetae aetatem pertinet, corruptus est, nam de sene Sophocle sermo sit, necesse est, conieci olim *πέντε ἐπὶ π'* h. e. *πέντ' ἐπὶ ὀγδώκοντα*, vel potius *πέντε καὶ ὀγδώκοντα*, sed fortasse Sophocles scripserat:

ἑτέων ὧν
πέντ' ἐπὶ πεντήκοντ' ἄρθμιος ἠδὲ φίλος,

vel si hexametris constabat epigramma:

πέντ' ἐπὶ πεντήκοντα φίλος.

potuit autem facile *φίλος* apud Plut. excidere, cum continuo sequatur *Φιλήμονα δὲ τὸν κωμικὸν κτλ.* Tum igitur scripsit haec Sophocles grandaevus sub finem belli Peloponnesii fortasse in memoriam mortui sub id ipsum tempus Herodoti, quocum iuvenis amicitiam contraxerat et per quinquaginta quinque annos servaverat. Sed haec accuratius persequi non est huius loci.

Digitized by Google

adv. Haeret. p. 68: alius hymni particula extat in titulo Attico (Corp. Inscr. I. 510.):

> *Ἔγρεο, Παιήων Ἀσκλήπιε, κοίρανε λαῶν,*
> *Λητοΐδου σεμνῆς τε Κορωνίδος ἠπιόφρων παῖ·*
> *ὕπνον ἀπὸ βλεφάρων σκεδάσας εὐχῶν ἐπάκουε*
> *σῶν μερόπων, οἳ πολλὰ γεγηθότες ἱλάσκονται*
> *σὸν σθένος, ἠπιόφρων Ἀσκλήπιε, πρῶτον, Ὑγείαν.*
> *ἔγρεο καὶ τεὸν ὕμνον, ἰήϊε, κέκλυθι, χαῖρε.*

Versus hi non inelegantes, non tamen satis antiqui, id quod maxime arguit v. 4: *σῶν μερόπων* (quocum componas Lucian. Tragodopod. v. 193: *Κλύε σῶν ἱερῶν μερόπων ἐνοπάς, μέγα σὸν κράτος, ὀλβιόφρον ποδάγρα.*) et v. 5 *Ὑγείαν*, quamquam hic lapicidae error subesse videtur, nam poeta scripserat opinor *δῶτορ ὑγείας*, et v. 6 non *χαῖρε*, sed *κέκλυθι χαίρων*, ut etiam Boeckh coniecit. Fortasse hi sex versus ex *Isodemi* hymno petiti sunt, de quo conf. Lucian. Encom. Demosth. c. 27 ex quo loco nequaquam conficias in antiquorum poetarum numerum referendum esse Isodemum.

Eundem Sophoclis Paeanem in *Aesculapium* commemorat Philostr. vit. Apollon. III. 17: *οἱ δὲ ᾖδον ᾠδήν, ὁποῖος ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν.* Suid. v. *Σοφοκλῆς*: *καὶ ἔγραφεν ἐλεγείαν τε καὶ παιᾶνας καὶ λόγον καταλογάδην περὶ τοῦ χοροῦ.*

Sophoclis paeanem respicit etiam Lucian encom. Demosth. c. 27: *οὐδὲ γὰρ Ἀσκληπιῷ μεῖόν τι γίνεται τῆς τιμῆς, εἰ, μὴ τῶν προσιόντων αὐτῶν ποιησάντων ᾄσματα, τὰ Ἀλισοδήμου τοῦ Τροιζηνίου καὶ Σοφοκλέους ᾄδεται.* qui locus mire corruptus (vid. var. lect. ap. Iacobitzium) sic videtur corrigendus: *εἰ μὴ προσιόντων τῶν εἰς αὐτὸν ποιησάντων παιᾶνα, τὰ Ἰσοδήμου τοῦ Τροιζηνίου καὶ Σοφοκλέους ᾄδεται*, vel etiam *ᾄσματα τὰ Ἰσοδ.* Nam hoc dicit Lucianus: non minuitur Aesculapii honor si quando desunt poetae, qui novos paeanes in illum composuerint, et antiqua Isodemi et Aesculapii carmina repetuntur: quod firmant ea quae sequuntur, quae ita sunt scribenda: *καὶ τῷ Διονύσῳ τὸ μὲν ποίησιν καινὴν ποιεῖν ἐκλέλειπται, τὰ δὲ προτέροις συντεθέντα τοῖς νῦν εἰς μέσον ἐν καιρῷ κομίζουσι χάριν οὐκ ἐλάττω φέρει τῷ τὸν θεὸν δοκεῖν τετιμηκέναι.* atque Philostratus quoque testatur hunc paeanem etiam tum cani Athenis solitum esse. Fortasse autem Sophocles tum composuit, cum Athenae pestifero morbo laborarent, cf. Oed. Reg. v. 187: *Παιὰν δὲ λάμπει στονόεσσά τε γῆρυς ὅμαυλος.* Et hinc orta fabula de Aesculapio poetam visente et hospitaliter excepto, vid. praeterea Plut. Num. c. 4. Et. M. 256. 5. (De Halonis vel Alconis, herois medici sacerdotio, quo functus est Sophocles, vid. vit. Soph. p. 128, cuius herois statua ab Iophonte dicata fortasse est signum illud *ἰατροῦ ἥρωος* vel *καλαμίτου ἥρωος*, vid. Demosth. de cor. §. 129.) — Suidas cum plures paeanes commemoret, huc fortasse spectat, quod dicit Philostr. vit. Apoll. VIII. 8: *ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι τῆς ὥρας ὑπερπνεύσαντας.* ut is paeanem ad placandos ventos composuerit.

Digitized by Google

Ex Sophoclis aliquo paeane fortasse petiti sunt versus ap. Clem. Al. Str. V. 726:

> *Οὐδὲ θεοῖς αὐθαίρετα πάντα πέλονται*
> *Νοσφὶ Διός· κεῖνος γὰρ ἔχει τέλος ἠδὲ καὶ ἀρχήν.*

nam quod Clemens dicit: *Σοφοκλῆς δὲ ὁ τραγῳδοποιὸς λέγει*, inde non sequitur haec ex tragoedia petita esse. — Ceterum de *Hymno* in *Τύχην* fortasse est accipiendum, quod dicit Menander de encom. Rhet. Gr. IX. 156: *ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε διαπορῶν γένει.* Ex hoc hymno conieci aliquando petitum esse anonymum fragmentum ap. Stob. Ecl. Phys. I. 6. 12, ubi VA praemittunt *Σοφοκλέους ἐκ Φαίδρας*: nam cum proximum fr. sit ex hac tragoedia, possis coniicere *ἐκ Φαίδρας* temere huc irrepsisse, et simpliciter *Σοφοκλέους* scribendum. — Non recepi in ordinem versus heroicos, quos Athen. XIII. 592. A Sophocli tribuit: *Σοφοκλῆς δ' ὁ τραγῳδοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας· ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί·*

> *Κλῦθί μευ εὐχομένου, κουροτρόφε· δὸς δὲ γυναῖκα*
> *τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,*
> *ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,*
> *ὧν ἰσχὺς μὲν ἀπήμβλυνται, θυμὸς δέ μενοινᾷ.*

nam vetusta haec est cantilena, quae vulgo ad Homerum refertur (vit. Hom. p. 15), quam secundum illam fabularem narrationem Sophocles in suum usum vertisse dicitur. Ceterum in vita Hom. v. 4 legitur: *ὧν ὥρη μὲν*, Eustath. autem Od. 1968. 41: *τὸ αἰδοῖον . . . καὶ οὐρά· . . . δηλοῖ δ' αὐτὸ καὶ ὁ εἰπὼν ὡς τῶν γερόντων οὐραὶ μὲν ἀπ. θ. δὲ μενοινᾷ.* neque tamen huc retulerim quod Photius dicit 361. 16: *οὐράν· αἰδοῖον· Σοφοκλῆς*, sed puto hoc ex dramate satyrico petitum esse.

Digitized by Google

XIX.

I O N.

ΕΛΕΓΕΙΑ.

1.

.. Θυρσοφόροις μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῷ ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοί
παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν· πανσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται μόνον ὄλβιον ἀνθρώποισιν,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τῷ σύ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

Ionis. Fr. 1. Athenaeus X. p. 447. D: *Τῷ δ' ἡμετέρῳ χορῷ* (sic Dindorf, libri *χρόνῳ*) *οἶνος φίλος ὢν θυρσοφόροις* (sic Casaubonus, libri *θυρσοφόρος*) *μέγα πρεσβεύων Διόνυσος, φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις, αὕτη γὰρ κτλ.* Dixit de his Ionis elegiarum fragmentis Osann Beiträge zur Litteratur I. 68 seqq. — V. 1. *θυρσοφόροις* recte Casaubonus, sed non recte cum *φίλος* iunxit, hunc poetae versum fuisse ratur: *Θυρσοφόροισι φίλος, μέγα πρ. Διον.*, sed potius *Θυρσοφόροις* ad *πρεσβεύων* referendum, cf. Soph. Inacho Fr. 1: *Ἴναχε ... μέγα πρεσβεύων Ἄργους τε γύαις Ἥρας τε πάγοις καὶ Τυρσηνοῖσι Πελασγοῖς.* — V. 2. *αὕτη* Dindorf, vulgo *αὐτὴ*. — *λογίων*, *λόγων* C, haud dubie corruptum, fort. *λογιῶν*, ut *λογία* idem significet quod *σύλλογος*. Hesych. tamen *λογίαι· ἐκλογαί, καρποφορίαι, ἐπιλογαί*, nihil firmat. — V. 4. *βοτρυόεσσ'*, B *βοτρυόενσ'*. — V. 5. *ἐπτύξατο* Casaubonus, *ἐπτήξατο* BVL, *ἐπήξατο* C, *ἐπορέξατο* Lobeck. — V. 6. *αἰθέρος* haud dubie corruptum, conieci *εἴαρος*, sed potius *αἰγέρου* i. e. *αἰγείρου* legendum, quam formam tuetur Et. M. 28, 40 allato hoc versu *Κατ' αἰγέρων ἔφυσαν εὐγενέστεραι*. Osann post *πήχει* interpungens legit *ἄνθεος ὀφθαλμῶν δ'*. — V. 8. *σιωπῶσιν* B, *σιωπῶσι* PVL. — V. 9. *μόνον*, Iacobs *ποτὸν*, fort. *μένος*. — V. 10. *ξυνὸν*, P *ξυνὸς*. — V. 12. *τῶν*, Hermann coni. *ἔνθ'*. — V. 13. *τῷ* scripsi, vulgo *τοῦ*. — V. 14. *εὐθύμων*, B *εὐθύνων*. — *πρύτανι*, B *πρύτανε*. — V. 15. distinguebatur *αἰῶνα καλῶν*, *ἐπιήρανε, ἔργων* quod correxit Osann, contra Schneidewin *ἐπιήρανον* coni. — V. 16. *πίνειν*, P *πίνει*.

Digitized by Google

2.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι Θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ χρυσός
οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος.
σπένδοντες δ' ἁγνῶς Ἡρακλεΐ τ' Ἀλκμήνῃ τε
Προκλεΐ Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

3.

Ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχουσα,
τὰς συμφωνούσας ἁρμονίας τριόδους·
πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

Fr. 2. Athen. X. 463. B: *καὶ Ἴων δ' ὁ Χῖος φησίν· χαιρέτω κτλ.* — V. 2. et ex parte v. 3 etiam affert XI. 496. C: *Προχύτης· εἶδος ἐκπώματος ... Ἴων δ' ὁ Χῖος ἐν ἐλεγείοις· Ἡμῖν ... κιρνάντων προχύταισιν ἐν ἀργυρέοις.* — V. 2. *κρητῆρ'* posteriore loco VL, *κρητῆρι* APC, *κρητήρ* libri priore l. — *οἰνοχόοι*, altero l. PVL *οἰνοχόαι*. — *Θέραπες*, priore l. P *ἔρωτες*, altero C *Θεράποντες*. — V. 3. *προχύταισιν ἐν ἀργυρέοις*, priore loco *προχοαῖσιν ἐν ἀργυρέαις*. Deinde Iacobs coni. *κιρνάντων· προχύταισι δ' ἐν ἀργυρέοισιν ἕκαστος οἶνον ἔχων διερόν*, cui coniecturae vel alter Athenaei locus adversatur, cum Bentley coniecisset: *ὁ δ' ἕκαστος ... χειροῖν νίζέτω*. Ego *ὁ δὲ Χρυσὸς* (quod est servi nomen, vid. Aristoph. Vesp. 1251.) *... χειροῖν νιζέτω*, atque ita etiam Osann; sed puerum ministrum libationem offerre non est verisimile, itaque quamvis dubitanter coniicio: *ὁ δὲ Χρυσὸς σινδόν' ἔχων χειρῶν νιζέτω εἷς τ' ἔδαφος*, i. e. *ὕδωρ κατὰ χειρῶν χεάτω, καὶ εἰς ἔδαφος*. — V. 5. *Ἡρακλεΐ* scripsi, v. *Ἡρακλεῖ*, B *Ἡρακλῆ*. — V. 10. *κυδρότερον*, B *ἀνδρότερον*, unde Dindorf coni. *ἀδρότερον*, poterat *ἀβρότερον*. — *πίεται*, Meineke coni. *πιέτω*.

Fr. 3. Euclides Introd. Harmon. p. 19. Meibom.: *Ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι (τόνος) οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων· ὁ μὲν γὰρ φησιν· — ὁ δὲ ἐν δεκαχόρδῳ λύρᾳ·* (*λύρᾳ* vulgo om., add. Bryenn.) *τὴν δεκαβάμονα κτλ.* Eadem Pappus in Cram. An. Par. I. 56. 10. — V. 1. *ἑνδεκάχορδε λύρα* scripsi, ut sint Ionis verba, nam totidem chordas Ionis aetate habebat lyra, quae tribus constabat tetrachordis, ita ut essent decem intervalla, *δεκαβάμων τάξις*. Hermann *ἐν δεκαχόρδῳ δ' αὖ* scripsit, sed recte deinde articulum *τὴν* delevit. Ibid. *ἔχουσα* Meibom., *ἔχεις ἀεί* Pappus et Pena, *ἔχεις ἄν* Cod. Cor., *ἔχειν ἀεί* Bryenn. — V. 2. *τριόδους*, *τριώδους* Papp. Bryenn. — V. 3. *μέν σ'* Pappus et Bryennius, codd. *πρὶν μὲν οὖν* vel *πρὸς μὲν ἄρ'*. — *διὰ τέσσαρα*, in proecdosi scripsi *δὶς τέσσαρα*. — V. 4. *σπανίαν*, Schneidewin *σπανίην*.

Digitized by Google

4.

Ὡς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

5.

Αὐτὰρ ὅγ' ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει.

6.

Τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.

7.

Athen. X. 436. F: καὶ αὐτὸς δὲ (Ἴων) ἐν τοῖς ἐλεγείοις ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρός.

8.

Χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισιν
Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.

Fr. 4. Diog. Laert. I. 120: Ἴων δ' ὁ Χῖος περὶ αὐτοῦ (Φερεκύδου) φησίν· Ὡς ὁ μὲν κτλ. — V. 1. ὣς Nieberding, v. ὡς. — V. 3. Πυθαγόρης, cod. Mon. Πυθαγόρας.

Fr. 5. Athen. II. 68. B: ὅτι εὕρηται ἀρρενικῶς ... ὁ ὀρίγανος ... Ἴων· αὐτὰρ ὅγ' κτλ. — χερὶ, CD χειρὶ. Huc videtur referendum Et. M. v. ὀρίγανος 630. 48. ubi scribendum: καὶ θηλυκῶς μὲν εὕρηται παρὰ Ἀριστοφάνει ἐν Ἐκκλησιαζούσαις, ἀρσενικῶς δὲ παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει (καὶ παρὰ Ἴωνι) ἐν ἐλεγείοις, οὐδετέρως δὲ παρὰ Ἀμειψίᾳ καὶ παρὰ Ἐπιχάρμῳ ἐν Ἀταλάντῃ.

Fr. 6. Plut. vit. Thes. 20: ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον, ὧν καὶ Ἴων ὁ Χίος ἐστι περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων· τήν ποτε κτλ.

Fr. 8. Anth. Pal. VII. 43: εἰς Εὐριπίδην Ἴωνος (ita etiam ap. Iriarte 96 et 161) sed cum epigramma in Euripidem mortuum ab Ione Chio non potuerit scribi, Bentley Βίωνος vel Δίωνος coniecit, cui coniecturae aliquantum favet cod. Pal. in quo εἰς εὐριπι ἴωνος est. Sed videtur epigramma ad *Ionem Ephesium rhapsodum* referendum. — V. 1. μελαμπέπλοις, Lobeck μελαμπετάλοις, possis μελαμφύλλοις. — γυάλοισιν Plan., γυάλοισι P. — V. 2. ἀεὶ, P αἰεί.

Digitized by Google

ΜΕΛΗ.

9.

ΔΙΘΥΡΑΜΒΟΙ.

.... ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
⏑ –́ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
x – – –́ ⏑ ⏑ – ....

Ἄδαμον παῖδα, ταυρωπόν, νέον οὐ νέον, ἥδιστον πρόπολον
βαρυγδούπων ἐρώτων, οἶνον ἀερσίνοον,
ἀνθρώπων πρύτανιν.

10.

– –́ ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Ἀοῖον ἀεροφοίταν
ἀστέρα μείναμεν ἀελίου λευκοπτέρυγα πρόδρομον.

11.

Schol. Apoll. Rh. I. 1165: *Καὶ Ἴων φησὶν ἐν διθυράμβῳ ἐκ τοῦ πελάγους αὐτὸν (Αἰγαίωνα) παρακληθέντα (ὑπὸ Θέτιδος) ἀναχθῆναι, φυλάξοντα τὸν Δία· Θαλάσσης δὲ παῖδα.* Cf. Eudoc. 29. et 91.

12.

Argum. Soph. Antig.: *Στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωΐδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην, ἃς ὁ μὲν Ἴων ἐν τοῖς διθυράμβοις καταπροισθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους.*

ΥΜΝΟΣ ΕΙΣ ΚΑΙΡΟΝ.

13.

Pausan. V. 14. 9: *Ἴωνι δὲ οἶδα τῷ Χίῳ καὶ ὕμνον πεποιημένον Καιροῦ· γενεαλογεῖ δὲ ἐν τῷ ὕμνῳ νεώτατον παίδων Διὸς Καιρὸν εἶναι.*

Fr. 9. Athen. II. 35. E: *Ἴων δ' ὁ Χῖός φησιν· Ἄδαμον κτλ.* Haud dubie locus ex dithyrambis petitus, non tamen integer ut videtur, servatus. — V. 1. *ἄδαμον*, fort. *ἄδαμνον*. — V. 2. *ἀερσίνοον* Casaubonus, B *ἀερσίπνοον*, vulgo *ἀερσίπνουν*, M. Schmid *ἀερσίφρονα*.

Fr. 10. Schol. Arist. Pac. 835: *Ἴων ὁ Χῖος διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής· ἐποίησεν δὲ ᾠδήν, ἧς ἡ ἀρχή· Ἀοῖον κτλ. φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. Παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι.* Eadem Suid. v. *διθυραμβοδιδάσκαλοι.* — V. 1. *ἀεροφοίταν, ἠεροφοίταν* Rav. Suid., *ἀμεροφοίταν* Bentley. — V. 2. *μείναμεν* Bentley, *μῆνα μὲν* Rav. Suid., *μείνωμεν* Ven. Ald. — *λευκοπτέρυγα*, ap. Suid. BVE *λεπτῇ πτέρυγι.* Dithyrambi esse hoc initium ex Aristophane coniicias.

Digitized by Google

14.

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ –
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑

Οὐδ' ὅγε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅγε δουλοσύνας προβέβουλεν.

XX.

MELANTHIUS.

ΕΛΕΓΕΙΑ.

1.

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ' ἡμιθέων ἀρεταῖς.

2.

Plut. vit. Cim. c. 4: *Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται.*

3.

Plut. vit. Cim. c. 4: *οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι· καὶ γὰρ Ἀστερίας*

Fr. 14. Philo Iud. 885. C (ed. Francof. 1691): *Τοῦ δὲ περὶ τοὺς ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων· Οὐδ' ὅγε κτλ.* Sed fort. hic locus potius ex tragoedia aliqua petitus, quod etiam Philo significare videtur. Contra ex lyrico carmine potest petitum esse quod legitur ap. Plut. Qu. Symp. VI. prooem. *Τιμόθεον τὸν Κόνωνος — ὡς ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν δείπνων ἀναλαβὼν ὁ Πλάτων ἐδείπνισεν ἐν Ἀκαδημίᾳ, μουσικῶς καὶ ἁφελῶς ταῖς ἁφλεγμάντοις ὥς φησιν ὁ Ἴων, τραπέζαις.* Minus etiam constat quo pertineant talia, quemadmodum quod Phot. 92. 10. (Zonar. 1045) exhibet: *Θίασος· τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέλει καὶ τιμῇ θεοῦ· οὕτως Δημοσθένης καὶ Ξενοφῶν. Ἴων δὲ ἐπὶ παντὸς ἀθροίσματος τάττει τοὔνομα.*

Melanthius. Fr. 1. Plut. vit. Cim. c. 4: *Ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον· Αὐτοῦ κτλ.* — V. 2. κόσμησ' libri, κόσμησε καὶ Steph. — ἀρεταῖς Reiske, libri ἀγοραῖσι(ν), cod. Med. γραφαῖσιν.

Digitized by Google

τῷ γένει Σαλαμινίας καὶ πάλιν Μνήστρας τινὸς ὁ ποιητὴς Μελάνθιος μνημονεύει πρὸς τὸν Κίμωνα παίζων δι' ἐλεγείας σπουδαζομένων ὑπ' αὐτοῦ.

XXI.

ARCHELAUS.

1.

Plut. vit. Cim. c. 4: Δῆλος δ' ἐστὶ καὶ πρὸς Ἰσοδίκην τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ' αὐτῷ συμβιώσασαν ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτὸν, ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἄπο τρόπου τοῖς χρόνοις εἰκάζων.

2.

Plut. vit. Cim. c. 4: Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται.

XXII.

HIPPO.

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.

Hippo. Epigramma legitur ap. Clem. Alex. Protrept. 48: οὐ νέμεσις τοίνυν οὐδὲ Ἵππωνι ἀπαθανατίζοντι τὸν θάνατον τὸν ἑαυτοῦ· ὁ Ἵππων γὰρ οὗτος ἐπιγραφῆναι ἐκέλευσε τῷ μνήματι τῷ ἑαυτοῦ τόδε τὸ ἐλεγεῖον· Ἵππωνος κτλ. Item Alex. Aphrod. in Aristot. Met. I. 3. (T. IV. 534. ed. Bekk.) Ceterum hoc epigramma non ab ipso Hippone compositum videtur, sed ab alio quo ad ridendum philosophum factum. — Ex epigrammate fortasse petitus est versus:

Πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον οὐδέν,

ap. Athen. XIII. 610. B: Ἵππων ἔφη ὁ ἄθεος, quem versum leviter immutatum Timon Sillis suis inserait. Nam quod olim existimavi, Hipponem opus suum de rerum natura versibus conscripsisse, non iam verisimile arbitror.

Digitized by Google

XXIII.

EMPEDOCLES.

1.

Ἄκρον ἰητρὸν Ἄκρων᾽, Ἀκραγαντῖνον πατρὸς ἄκρου,
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

2.

Παυσανίην ἰητρὸν ἐπώνυμον, Ἀγχίτου υἱόν,
φῶτ᾽ Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα·
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισιν
φῶτας ἀπέστρεψεν Περσεφόνης ἀδύτων.

XXIV.

DIONYSIUS CHALCUS.

1.

Ὦ Θεόδωρε δέχου τήνδε προπινομένην
τὴν ἀπ᾽ ἐμοῦ ποίησιν. ἐγὼ δ᾽ ἐπιδέξια πέμπω

Empedocles. Ep. 1. Diog. Laert. VIII. 65: *Πάλιν δ᾽ Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρῴου μνήματος διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καί τι καὶ τοιοῦτον ἐρωτήσας· τί δὲ ἐπιγράψομεν ἐλεγεῖον; ἢ τοῦτο· Ἄκρον κτλ. τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται· ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει. τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.* Adde Hesych. Miles. 24. (ubi *ἰατρόν*) et Walz Rhet. III. 641. (ubi *Ἀκραγαντίνου* et v. 2. *κρημνὸς ἀήρ.*) Suid. v. *Ἄκρων.* Sine auct. nom. affert Eust. Od. 1634. 12. *ἄκρων᾽ ἰατρὸν ἄκρον ἀκραγαντίνων.* Respicit huc fort. Plin. Hist. Nat. XXIX. 5.

Ep. 2. Diog. Laert. VIII. 60: *ἦν δὲ ὁ Παυσανίας . . . ἐρώμενος αὐτοῦ, ᾧ δὴ καὶ τὰ περὶ φύσεως προσπεφώνηκεν (Ἐμπεδοκλῆς) . . . ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν (Παυσανίαν) ἐποίησεν· Παυσανίαν κτλ.* Adde Anth. Pal. VII. 508. ubi *Σιμωνίδου εἰς Παυσανίαν τὸν ἰατρὸν* inscribitur. — V. 1. *Παυσανίην ἰητρὸν* Diog., *Παυσανίαν ἰατρὸν* Anth. (Plan. *ἰητρὸν*). — ib. *Ἀγχίτου* Diog., *Ἀγχίτεω* Anth. — V. 2. *φῶτ᾽* Diog., *τόνδ᾽* Anth. — ib. *ἔθρεψε Γέλα* Diog., *ἔθαψε πέλας* cod. Pal., *ἔθαψε πόνις* Plan. Si *ἔθαψε* verum, abiudicandum epigramma tam Empedocli quam Simonidi, nam utroque superstes fuit Pausanias, omninoque dubia admodum fides epigrammatis. — V. 3. *πολλούς*, Anth. *πλείστους.* — ibid. *μογεροῖσι . . . καμάτοισιν* Diog., *κρυεραῖσι . . . ὑπὸ νούσοις* Anthol. — V. 4. *Περσεφόνης* Diog., Cobet *Φερσεφόνης*, ut in Anth. cod. Pal., sed Plan. *Περσεφόνας.* — *ἀδύτων* Diog., *θαλάμων* Anth.

Dionysius. De his elegiarum reliquiis disputavit Osann Beiträge zur Litteratur I. 79 seqq. Fr. 1. Athen. XV. 669. D: *Καὶ ὁ Λημόχριτος, ἀλλ᾽*

Digitized by Google

σοὶ πρώτῳ χαρίτων ἐγκερᾶσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2.

Ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοὶ καὶ τάδε μανθάνετε.

3.

Κότταβον ἐνθάδε σοι τρίτον ἱστάναι οἱ δυσέρωτες
ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον· οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτέταται.

4.

Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν

ἵνα κἀγώ, φησί, μνημονεύσω τῶν τοῦ Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου, ... λέξω τι καὶ αὐτὸς ἐκ τῶν ἐλεγείων. σὺ δέ, ὦ Θεόδωρε, τοῦτο γάρ σου τὸ κύριον ὄνομα, δέχου κτλ. Vidit Schweighaeuser etiam verba ὦ Θεόδωρε Dionysii esse. Est autem hoc non solum exordium elegiae (pentametro enim exorsus est Dionysius elegias, qui multa novavit, vid. Athen. XIII. 602. C: πρωτάξας (Ἀπόλλων) τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησε ὁ ἐπικληθεὶς Χαλκοῦς ἐν τοῖς ἐλεγείοις), sed etiam prima haec fuisse videtur elegia, quod v. 3 πρώτῳ indicat. — V. 3. χάριτας χαρίτων videtur ut τὰ καλὰ τῶν καλῶν, ἐχθροὶ ἐχθρῶν dictum, Schneidewin Χαρίτων de Gratiis accepit, Osann προτέρῳ Χαρίτων coni. — V. 4. τόδε Spanheim, v. τότε. — δῶρον, B δώρου.

Fr. 2. Athen. XV. 669. B: Καὶ αὐτὸς δ' ἐκ τούτων τῶν ἐπῶν (Διονυσίου) μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις μόνος ἀνασπάσας τὰ κοττάβια, ἀγγελίας κτλ. — V. 1. πευσόμενοι ed. Bas. L., πεσσόμενοι BPV. — V. 2. διαλύσατε, P διαλύετε. — κατάθεσθε, B καταθέσθαι.

Fr. 3. Athen. XV. 668. E: Μνημονεύει τῶν λατάγων καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς Ἐλεγείοις διὰ τούτων· Κότταβον κτλ. — V. 1. ἱστάναι ed. Bas. L., ἑστάναι BPV, ἑσταναι A. — Bernhardy coni. κότταβος ἐν. σοι τρίτος ἑ. δν δυσέρ. — Βρομίου κώρυκον poeta utrem vini dicere videtur. — V. 4. ἰδεῖν, Dalecampius ἰεῖν, fort. ἕκαστον ἰεῖν. — V. 5. βηματίσαισθε AB, βηματίσασθε PVL. — ib. αἰθέρα, B ἀέρα. — κατὰ κλίνην P, καταχλείνην AB, κατακλινῆ VL. — V. 6. ἐκτέταται, ἐκτέτανται B. Hermann coni. ἐκτέᾶται.

Fr. 4. Athen. XV. 668. F: Ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἤρξει πιεῖν μεγάλῃ κύλικι ἐπιλέγων ἐκ τῶν αὐτῶν ἐλεγείων καὶ τόδε· Ὕμνους κτλ. — V. 1. ἐπιδέξια, rectius ἐπὶ δεξιά et hic et alibi scripseris, nam ex ipso hoc adverbio ortum est adiectivum ἐπιδέξιος, neque vero ab hoc descendit adverbium ἐπιδέξια. Sed nolui contra libros quidquam novare. — σοί τε

Digitized by Google

τόνδε τὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ' ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

5.

Καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται
* * *περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλεν.*

6.

Τί κάλλιον ἀρχομένοισιν
ἢ καταπανομένοις ἢ τὸ ποθεινότατον;

7.

Κραυγὴν Καλλιόπης.

καὶ, σοὶ καὶ BP. — V. 2. τηλεδαπόν τε L, libri τηλέπαιδόν τε vel τηλεπαιδόν τε. — V. 4. Conieci olim: τοῦ δ' ἀπὸ συμποσίου· δεξιότης δὲ λόγου ... πέμψει. De Phaeace vid. Comment. de Com. Att. Ant. 338 sq. — συμποσίου AB, ξυμποσίου PVL.

Fr. 5. Athen. X. 443. C: *Ὁ Ποντιανὸς ἔφη πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι' ὃν καὶ τὰς μέθας καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίγνεσθαι· οὗ τοὺς ἐκπαθῶς μεταλαμβάνοντας οὐ κακῶς ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη· Καί τινες κτλ.* — V. 1. καί τινες P, καὶ τίνες B, sed VL κἄν τινες, Dindf. coni. καὶ πίον. — V. 3. coniecit Hermann μάρναντται περὶ τοῦδε· τὸ γὰρ φ. οὐκ' ἀπόλωλε. Dindorf plura excidisse existimat.

Fr. 6. Athen. XV. 702. C: *Κατὰ γὰρ τὸν Χαλκοῦν Διονύσιον· Τί κτλ.* Vide Pind. Fr. 66. — V. 1. ἀρχομένοισιν L, ἀρχομένοις ABCPVL et Eust. Il. 1164. 24. — V. 2. ποθεινότατον Eust. epit. Hoesch. CL, πιθανότατον MPV.

Fr. 7. Aristot. Rhetor. III. 2: *οἷον Διονύσιος προσαγορεύει ὁ Χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν* (Ac κραυγὴν καὶ) *Κ. τὴν ποίησιν, ὅτι ἄμφω φωναί.* Ineptit de his schol. Aristot. Cram. An. Par. I. 303.

Digitized by Google

XXV.

EURIPIDES.

ΕΛΕΓΕΙΑ.

1.

ΕΠΙΚΗΔΕΙΟΝ.

Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

2.

ΕΠΙΓΡΑΜΜΑ.

Ὦ τὸν ἀγήραντον πόλον αἰθέρος, Ἥλιε, τέμνων,
ἆρ' εἶδες τοιόνδ' ὄμμασι πρόσθε πάθος,
μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους
ἐν ταὐτῷ φέγγει μοιραδίῳ φθιμένους;

ΜΕΛΗ.

3.

ΕΠΙΝΙΚΙΟΝ ΑΛΚΙΒΙΑΔΗι.

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
– ⏑ – – ⏑ – – ⏑ – – ⏑ – – ⏑ – – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ –
– – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – –
– – ⏑ ⏑ – ⏑ ⏑ – –

Euripides. Fr. 1. Plut. vit. Nic. 17: *ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον γράφων ἐπικήδειον ἐποίησεν· οἵδε Συρ. κτλ.* — V. 1. *Συρακοσίους*, in *Συρακουσίους*. — *ἐκράτησαν*, C *ἐνίκησαν*.

Fr. 2. Athen. II. 61. B: *Ἐπαρχίδης Εὐριπίδην φησὶ τὸν ποιητὴν ἐπιδημῆσαι τῇ Ἰκάρῳ, καὶ γυναικός τινος μετὰ τῶν τέκνων κατὰ τοὺς ἀγρούς, δύο μὲν ἀρρένων τελείων, μιᾶς δὲ παρθένου φαγούσης θανασίμους μύκητας καὶ ἀποπνιγείσης μετὰ τῶν τέκνων, ποιῆσαι τουτὶ τὸ ἐπίγραμμα· Ὦ τὸν κτλ.* — V. 1. *ἀγήραντον* VL, *ἀγήρατον* BCD. — V. 4. *μοιραδίῳ* BCD, ut Soph. Oed. Col. 229, *μοιριδίῳ* VL. Euripidis ex elegia nescio an petitus sit versus qui legitur ap. Stob. LI. 8: *Εὐριπίδου ἐκ Τηλέφου·*

Τόλμ' ἀεί, κἂν τι τρηχὺ νέμωσι θεοί.

ubi A *τόλμ*, B *τόλμης*, scrib. *τόλμα*. nam fortasse lemma *ἐκ Τηλέφου* pertinet ad LI. 6., ut ibi scribendum sit: *Εὐριπίδου (ἐκ Τηλέφου)·*

Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

Fr. 3. Plut. vit. Alc. c. 11: *αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπίασιν ἰδιώτης οὐδὲ βασιλεύς, μόνος δὲ ἐκεῖνος· καὶ τὸ νικῆσαι δὲ καὶ*

Digitized by Google

Σὲ δ ἀείσομαι, ὦ Κλεινίου παῖ·
καλὸν ἁ νίκα· (τὸ) κάλλιστον (δ') ὃ μηδεὶς ἄλλος Ἑλλάνων (λάχεν),
ἅρματι πρῶτα δραμεῖν
καὶ δεύτερα καὶ τρίτα, βῆναί τ' ἀπονητί, Διὸς στεφθέντα τ' ἐλαίᾳ
κάρυκι βοᾶν παραδοῦναι.

4.

Plut. Demosth. c. 1: *ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπίασι ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος, εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὰν* (sic EFPaMo, vulgo *τὴν*) *πόλιν εὐδόκιμον.* (Steph. var. l. *εὐδαίμονα* memorat.) Cf. ib. c. 2.

XXVI.

THUCYDIDES.

Μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών, ᾗ γὰρ δέξατο τέρμα βίου.

δεύτερον γενέσθαι καὶ τέταρτον ὡς Θουκυδίδης φησίν, ὁ δ' Εὐριπίδης τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν· λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα· Σὲ δ' κτλ. Respicit huc Athen. I. 3. E: *Ἀλκιβιάδης δὲ Ὀλύμπια νικήσας ἅρματι πρῶτος καὶ δεύτερος καὶ τέταρτος, εἰς ἃς νίκας καὶ Εὐριπίδης ἐγραψεν ἐπινίκιον κτλ.* — V. 2. *ἁ νίκα*, ut Xylander ABCDEF; vulgo *ἄνικα*. — *τὸ κάλλιστον* scripsi, vulgo *κάλλιστον*. — *δ'* adiecit Reiske. — ib. *λάχεν* addidi, similiter Hermann *ἔλαχεν*. — V. 4. *βῆναί τ'* ABCDE, vulgo *βῆναι δ'*. — *Διὸς* Hermann, libri *θεὸς*, Reiske alii *τρὶς*, at eos, qui secundum vel tertium locum obtinuerunt, item oleaginea corona ornatos fuisse non constat nec verisimile est. — *στεφθέντα τ'* scripsi, vulgo *στεφθέντ'*, libri *στεφθέντα*.

Thucydides. Anthol. VII. 45: *εἰς τὸν αὐτὸν* (*Εὐριπίδην*) *Θουκυδίδου τοῦ ἱστορικοῦ.* (Plan. *ἀδέσποτον.*) Auctor vit. Eurip. p. 135 ed. Westerm.: *κενοτάφιον δὲ αὐτοῦ Ἀθήνησι ἐγένετο, ἐφ' οὗ ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος ἢ Τιμοθέου τοῦ μελοποιοῦ· Μνῆμα κτλ.* Eadem Thom. Mag. vit. Eur. p. 140. Thucydidi etiam Athen. V. 187. D tribuit: *τὴν Ἀθηναίων πόλιν, ἣν ὁ μὲν Πίνδαρος Ἑλλάδος ἔρεισμα ἔφη, Θουκυδίδης δ' ἐν τῷ εἰς Εὐριπίδην ἐπιγράμματι Ἑλλάδος Ἑλλάδα*, unde profecit Eust. Il. 284. 6. Coniicio autem non ab historico, sed ab Acherdusio Thucydide profectum esse, qui Olymp. 89. quaestor fuit Athenis (vid. Boeckh Oecon. II. 149.) postea ad Archelaum se contulisse videtur, cf. Marcellin. vit. Thuc. p. 192: *τέταρτος ἄλλος Θουκυδίδης ποιητής, τῶν δήμων Ἀχερδούσιος, οὗ μέμνηται Ἀνδροτίων ἐν τῇ Ἀτθίδι, λέγων εἶναι υἱὸν Ἀριστωνος κτλ.* — V. 1. *μνῆμα*, Anth. *μνᾶμα*. — V. 2. *Μακεδών*, libri

πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ μούσαις τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

XXVII.

ALCIBIADES.

Βάπτεις μ' ἐν θυμέλῃσιν, ἐγὼ δέ σε κύμασι πόντου βαπτίζων ὀλέσω νάμασι πικροπάτοις.

XXVIII.

AGATHON.

Ὤφελεν, ὡς ἀφανής, οὕτω φανερώτατος εἶναι καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης.

---

vitt. Eur. *Μακεδόνων*. — *ἦ γὰρ* Thom. M. (sed M *ἦ περ δ. τέρμα γε β.*) Plan., *ἦ γὰρ* Pal., *ἦ γὰρ* ed. princ. Anth. et vit. Eur. (sed A *ἦπερ ἐδέξατο τὸ τ. τοῦ β.*, P *ἦ πούπερ δ. τ. τοῦ β.*, H *ὅ περ δ.*, V *ἦ περ δ.*) Ego et Meineke *τῇ γὰρ*. — V. 3. *πατρὶς*, in vit. Eur. A *πατέρες*, P *πάτρη*, H *πάτρα*, ap. Thom. M. *πάτρη*. — *μούσαις* cod. Pal., *μούσας* Plan. Thom. Mag. et vit. Eurip. (P tamen *μούσαις*. Ceterum Biographorum codd. etiam alia leviora variant.)

Alcibiades. Schol. Aristid. III. 444: *ἐκωμῴδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος· περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ, κωμῳδηθεὶς γὰρ παρὰ Εὐπόλιδος ἔρριψεν αὐτὸν ἐν τῇ θαλάττῃ ἐν Σικελίᾳ συστρατευόμενον εἰπών· βάπτε με ἐν κτλ.* Addo Cram. An. Par. I. 340: *Βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατακλύσω.* Scripsi *βάπτεις*, Meineke *βάπτες*. Commenticiam esse famam de poeta in mare praecipitato iam Eratosthenes docuit, vid. Cic. ad Att. VI. 1. 14. cf. Meineke Poet. Com. I. p. 119. Epigramma haud dubie subditicium.

Agathon. Stob. Ecl. Phys. I. 8. 16. *Ἀγάθωνος*. ita VAE, vulgo adhaeret Simonidis epigrammati. — V. 1. *ὤφελεν*, A *ὤφελον*. — V. 2. *εὐλαβίης*, VA *εὐλαβείης*.

Digitized by Google

XXIX.

EUENUS.

ΕΛΕΓΕΙΑ.

1.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει·
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
,,σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.“
τοὺς ξυνετοὺς δ' ἂν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

2.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος·
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τοῦ θανάτου.

3.

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

Euenus. 1. Athen. IX. 367. E: *Σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ, Ἀλλ' ἐγώ, φησὶν ὁ Λεωνίδης, εἰπεῖν εἰμὶ δίκαιος, πολλὰ ἤδη σιωπήσας· Πολλοῖς δ' ἀντιλέγειν μέν, κατὰ τὸν Πάριον Εὔηνον, ἔθος κτλ.* et v. 1—4. Stob. LXXXII. 3. affert. — V. 1. *μὲν* om. Ath. qui δ' ipse addidit. — V. 2. *ἐν ἔθει* Stob., *ἐθέλει* Ath. — V. 3. *τούτους* Stob., *τούτοις* Ath. — ib. *εἷς ὁ παλαιός* Ath., *ὡς ὁ παλαιός* Stob. (A *ὡς ἀπαλαιος.*) — V. 4. *ταῦτα* Stob. et Ath. X. p. 429. F. ubi hic v. affertur: pr. loco *τοιαῦτα* legitur. — *δοκοῦντ' ἔστω* cod. A Ath. pr. loco (B *δοκοῦντες τω*, P *δ. τως*), altero loco *δοκοῦντ' ἔστ'* AP, *δοκοῦντες τ'* B, *δοκοῦντι* C. Stob. *δοκοῦντ' ἐστίν.* — V. 6. *εἰσὶ* VL, *εἰς* ABP. Cf. Herod. post Lobeckii Phryn. p. 469.

2. Anth. Pal. XI. 49. *Εὐινου.* Plan. *ἄδηλον.* — V. 2. *μανίης*, fort. *μανίας.* — V. 3. Plan.: *χαίρει κιρνάμενος τρισὶ Νύμφαις τέτρατος αὐτός.* Iacobs *χαίρει δὲ τρισὶ κιρνάμενος N. τ.* — V. 5. *ἀπέστραπται* Plan., *ἀπέστρα* Pal. — V. 6. *τοῦ* Plan., *τῷ* Pal.

3. Stob. App. T. IV. p. 10: *ηνου*, corr. *Ζήνου· ἡγοῦμαι κτλ. Εὐηνοῦ* Bach, Gaisford *Ζηνοδότου.* — V. 2. *γιγνώσκειν*, v. *γινώσκειν.*

Digitized by Google

4.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,
χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

5.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

6.

Ἡ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

7.

Ἥτις κερδαίνουσ' οὐδέν, ὅμως ἀδικεῖ.

8.

Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

Ε Π Η.

9.

Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελειτῶσαν φύσιν εἶναι.

4. Stob. LI. 17: *Εὐήνου* (om. distichon B). — V. 1. *σοφίᾳ*, A Trinc. Vind. *σοφίαν*.

5. Stob. XX. 2: *Εὐήνου*. et Maxim. Conf. II. 594. — V. 2. *πουλὺ χερειότερον* B m. s., v. *πολὺ χειρότερον*. Maxim. *πολὺ χεῖρον*.

6. Plut. de amore prol. c. 4: *ὥστε ἐπαινεῖσθαι καὶ μνημονεύεσθαι τοῦ Εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν· ἴδε, ὅση λύπη κτλ.* Rectius Artemid. Oneir. I. p. 15. om. nom.: *ἢ δέος ἢ λύπη κτλ.* ita cod. Med., vulgo *ὡς υἱοὺς ἡ λύπη*. et Macar. Walz Arsen. 273. (nisi quod *πατέρι*). Adde Hermiam in Plat. Phaedrum 191: *θαυμαστὸς δὲ ἐγένετο Εὔηνος· καὶ ἀλλαχοῦ αὐτὸν ἐπαινεῖ, ὃς καὶ τὸν Ἴαμβον τοῦτον εἶπε· φύβος ἢ λύπη παῖς πατρὶ πάντα βίον.*

7. Stob. I. 18: *Ἀριστοτέλης περὶ ἀρετῆς — Ἀδικίας δέ ἐστιν εἴδη τρία, ἀσέβεια, πλεονεξία, ὕβρις. — ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὐτοῖς παρασκευάζουσιν εἰς ὄνειδος ἄγοντες ἑτέρους· ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει· Ἥτις κτλ.* (ubi Bar. *οὐθὲν*.)

8. Arist. Metaph. IV. 5: *τὸ γὰρ βέλτιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὐήνός φησι· Πᾶν γὰρ ἀναγκαῖον κτλ.* Cf. ibi Schol. T. IV. p. 695 et 96. Eidem Eueno tribuit Eth. Eud. II. 7. et Plut. non posse suav. viv. sec. Epic. c. 21. ubi *ἀνιηρόν*. Om. poetae nom. Aristot. Rhet. I. 11. Similis v. leg. in Theogn. v. 472: *Πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.*

9. Arist. Eth. Nic. VII. 11: *Διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῇ φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει· Φημὶ κτλ.* (Eth. Eud. VI. 10.) — V. 1. *ἔμεναι*, KbLbNb *ἔμμεναι*, Mb *ἔμμεν*. — ib. Schneidewin *φίλε παῖδων, ταύτην θ'*.

Digitized by Google

10.

Plut. Quaest. Platon. X. 3: *Ἔγωγε φήσαιμ' ἂν ὥςπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μᾶζαν. Εὔηνος δὲ καὶ τὸ πῦρ ἔφασκεν ἡδυσμάτων εἶναι ἄριστον.*

De Eueno et cognominibus poetis difficilis est quaestio, de qua varie disputaverunt G. Wagner de Euenis poetis Vratisl. 1838. Fr. Schreiber Gottingae 1839. I. Caesar in Antiq. Annal. 1838. n. 145. Mihi quid videatur paucis exponam. Ordiendum est a loco Harpocrat.: *Εὔηνος· Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους· δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ περὶ χρονογραφιῶν, ἀμφοτέρους λέγων Παρίους εἶναι, γνωρίζεσθαι δέ φησι τὸν νεώτερον μόνον· μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων.* Hyperides utrum memoraverit incertum, sed probabile est eum, qui sapientiae laude claruit, intelligendum esse. Iam is quem Plato et Aristoteles saepius memorant (nam quin eundem poetam uterque intelligat, non est dubium) certe non ignobilis fuit; dicunt igitur illi *Euenum minorem*, ut *maioris* memoria, absque Eratosthenis testimonio esset, prorsus oblitterata esse videatur, nisi ad hunc referre velis, quod Syncell. circa Ol. 80. notavit I. 484: *Εὔηνος ἐλεγείας ποιητὴς ἐγνωρίζετο*; cum Eratosthenes utriusque aetatem haud dubie notavisset, chronographus iste errore deceptus maioris tantum et ignobilioris habuit rationem: si ad minorem referre quis mavult, censendum est circa illud tempus natum esse, ut circa Ol. 90 floruerit, nam ad hoc tempus referendus Euenus minor: quocum convenit, quod Suid. v. *Φίλιστος* hunc historicum Eueni elegiographi discipulum vocat. Quamquam poetae et philosophi Graeci longaevi esse solent, quamquam Plato pro arbitrio multa finxit, tamen etiam ea quae apud Platonem leguntur, suadent, ut florem Eueni ad illud ipsum tempus (Ol. 90) referamus, eumque *ἐπιδευτέροις* sophistarum accenseamus, conf. potissimum locum Phaedri p. 261. A: *Τί μήν; καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον ὡς ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ. τὸν δὲ κάλλιστον Πάριον Εὔηνον εἰς μέσον οὐκ ἄγομεν; ὃς ὑποδήλωσίν τε πρῶτος εὗρε καὶ παρεπαίνους; οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέγειν μνήμης χάριν.* Hunc eumdem, cuius carmina videntur in puerorum ludis lectitata esse, haud dubie etiam Menander laudavit, vid. Auson. Cento Nupt.: „*Quid Euenum, quem Menander sapientem vocavit.*" Ex hoc loco Ausonii colligas eundem amatoria carmina, quae lascivia erant insignia, composuisse, quorsum pertinet Artemid. Oneir. I. 4: *ἐτύμως κεκλημένος κάμηλος οἱονεὶ κάμμηρος, ὥς φησιν Εὔηνος ἐν τοῖς εἰς Εὔνομον Ἐρωτικοῖς*, hinc Eueni scripta cum Aristidis fabulis Milesiis componit Epictet. IV. 9. 6. Sed tamen hoc ambiguum. Per se quidem non est incredibile hunc Parium sophistam etiam lasciva carmina composuisse, sed fieri potest, ut Ausonius errore Menandri laudem, quae pertinebat ad Parium elegiographum, ad alium quem Euenum, auctorem Eroticorum, qui fortasse post Menandri aetatem vixit, retulerit; itaque hoc in incerto relinquam.

Digitized by Google

Nam posteriore aetate plures extitisse poetas eiusdem nominis docet Anthologia: ibi enim non solum Euenus simpliciter memoratur, sed praeterea *Ascalonita*, *Siceliota*, *Atheniensis*, *Grammaticus*. contra Pariorum nusquam fit mentio, neque videntur eorum epigrammata extitisse. Ex iis epigrammatis, quae simpliciter Eueni dicuntur unum tamen certissime Eueni Parii est XI. 49., verum est hoc non epigramma, sed pars elegiae, estque ut alia, quae illic leguntur, velut Anacreontea 47. 48., fortasse etiam Automedontis epigr. 50. a Constantino Cephala adiectum ex poetico aliquo florilegio, quod non sola epigrammata continebat. Reliqua epigrammata, quorum auctor simpliciter Euenus dicitur, ita sunt comparata ut ad Parium poetam prorsus non possint referri (IX. 122. 717. 718. XII. 172. Plan. 165. 166.), ne illud quidem, quod in Stratonis Musa paedica legitur (XII. 172.). Et quatuor quidem ex his (IX. 717. 718. Plan. 165. 166.) aperte eiusdem sunt poetae, sed etiam duo, quae supersunt, nihil prohibet, quominus ad eundem referamus. Hunc igitur Euenum, cuius sex extant epigrammata, consentaneum est eum esse, cuius carmina recepit Philippus, vid. Prooem. v. 13:

Εὐήνῳ δάφνην συνεπίπλεκε· τοὺς δὲ περισσοὺς
εἴκασον ὡς ἐθέλεις ἄνθεσιν ἀρτιφύτοις.

Fieri potest ut hic Euenus prorsus diversus sit a quatuor illis, qui cognomento aliquo ornantur, sed verisimile non est. Et primum quidem probe discernendus videtur a grammatico, qui vix poeta nuncupandus, nam unum fortasse hoc epigramma de re grammatica composuit, idque iam Meleager coronae suae videtur inseruisse, ut antiquior illo sit. *Siceliotae* autem nomen mihi omnino suspectum est, coniicioque *Ἀσκαλωνίτου* scribendum, quod Iacobs quoque suspicatus est. Igitur id tantum relinquitur, ut aut Atheniensi aut Ascalonitae illa epigrammata tribuamus; et mihi quidem Ascalonita videtur ille Euenus fuisse, cuius epigrammata recepit Philippus: nam primum illud epigramma IX. 75. eo loco legitur, ubi pleraque ex Philippo sunt descripta, deinde illud ipsum epigramma poetae alicuius haud obscuri illa aetate fuit, quippe quod in Domitianum sit inflexum. Neque vero hoc obiiciendum est, quod hoc epigramma satis ingeniosum esse, illa partim frigido aliquo acumine laborare videantur, nam inventionis laude hoc ipsum epigramma est fraudandum, si quidem poeta Leonidam Tarentinum est imitatus. *Atheniensis* autem quo tempore vixerit prorsus incertum, cum vix liceat indagare, unde Constantinus Cephalas hoc epigramma petiverit.

Iam ne quid desideretur haec quoque Euenorum epigrammata subiungam.

I. Euenus Grammaticus.

1.

Ἐχθίστη Μούσαις σελιδηφάγε, λωβήτειρα
φωλάς, ἀεὶ σοφίης κλέμματα φερβομένη,
τίπτε κελαινόχρως ἱεραῖς ψήφοισι λοχᾷζῃ,

Digitized by Google

σίλφη, τὴν φθονερὴν εἰκόνα πλαττομένη;
φεῦγ' ἀπὸ Μουσάων, ἴθι τηλόσε, μηδ' ὅσον ὄψει
βάσκανον ἐν ψήφῳ δόξαν ἐπεισαγάγῃ.

II. Euenus Atheniensis.

2.

Ἄ ποτε παρθενικαῖσιν Ὀλασκομένα παλάμῃσιν
Κύπριδα σὺν πεύκαις καὶ γάμον εὐξαμένα,
κουριδίους ἥβῃ θαλάμῳ λύσασα χιτῶνας
ἀνδρὸς ἄφαρ μηρῶν ἐξελόχευσα τύπους.
νυμφίος ἐκ νύμφης δὲ κικλήσκομαι, ἐκ δ' Ἀφροδίτης
Ἄρεα, καὶ βωμοὺς ἔστεφον Ἡρακλέους.
Θῆβαι Τειρεσίην ἔλεγόν ποτε, νῦν δ' ἐμὲ Χαλκὶς
τὴν πάρος ἐν μίτραις ἡσπάσατ' ἐν χλαμύδι.

III. Euenus Ascalonita.

3.

Κῆν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

4.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν, Ἴλιον ἱρήν,
τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
αἰῶνος τέφρη κατεδήδοκεν· ἀλλ' ἐν Ὁμήρῳ
κεῖμαι, χαλκείων ἔρκος ἔχουσα πυλῶν.
οὐκέτι με σκάψει Τρωοφθόρα δούρατ' Ἀχαιῶν,
πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόματι.

5.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα,
τέττιγα πτανοῖς δαῖτα φέρεις τέκεσιν,
τὸν λάλον ἁ λαλέουσα, τὸν εὔπτερον ἁ πτερόεσσα,
τὸν ξένον ἁ ξείνα, τὸν θερινὸν θερινά;
κοὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

6.

Ἦ τὸ δέρας χάλκειον ὅλον βοῒ τᾷδ' ἐπίκειται
ἐκτόθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

7.

Λύτὸς ἐρεῖ τάχα τοῦτο Μύρων· οὐκ ἔπλασα ταύταν
τὰν δάμαλιν, ταύτας δ' εἰκόν' ἀνεπλασάμην.

Digitized by Google

8.

Εἰ μισεῖν πόνος ἐστί, φιλεῖν πόνος· ἐκ δύο λυγρῶν
αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

9.

Παλλὰς καὶ Κρονίδαο συνευνέτις εἶπον ἰδοῦσαι
τὴν Κνιδίην· ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

10.

Πρόσθε μὲν Ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
δέρξατο τὰν κάλλευς πρῶτ' ἀπενεγκαμέναν.
Πραξιτέλης Κνιδίοις δὲ πανωπήεσσαν ἔθηκεν
μάρτυρα τῆς τέχνης ψῆφον ἔχων Πάριδος.

1. Anth. Pal. IX. 251: *Εὐήνου γραμματιξ εἰς τοὺς σκώληκας τοὺς τὰς βίβλους βιβρωσκούσας* (ita cod.) *ἤγουν σῆτας.*

2. Anth. Pal. IX. 602: *Εὐήνου ἀθηναῖ.*

3. Anth. Pal. IX. 75: *Εὐήνου Ἀσκαλωνίτου εἰς ἄμπελον, ἣν τράγος κατέφαγεν.* Suid. v. *ἀσκὸς Κτησ.* Sueton. vit. Domit. c. 14. Schol. Arist. Plut. 1128: 'Ceterum Euenus imitatur Leonidam Tar. IX. 99: *Ἶκελος εὐπώγων αἰγὸς πόσις ἐν ποθ' ἁλωῇ Οἴνης τρὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους· τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε· κεῖρε κάκιστε Γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον. Ῥίζα γὰρ ἔμπεδος οὖσα πάλιν γλυκὺ νέκταρ ἀνήσει, ὅσσον ἐπισπεῖσαι σοὶ τράγε θυομένῳ.* et hoc potius quam Eueni epigramma ob oculos habuit Ovid. Fast. I. 351 seqq.

4. Anth. Pal. IX. 62: *Εὐήνου Σικελιώτου.* Euenus Siceliota non solum uno tantum hoc loco commemoratur, sed ipsa haec appellatio insolens est, nam si natione Siculus erat, *Σικελός* dicendus, sive aliunde migraverat in Siciliam, ab antiqua patria nomen traxisse consentaneum est, itaque coniicio *Ἀσκαλωνίτου.*

5. Anth. Pal. IX. 122: *ἀδέσποτον*, sed iteratur infra *Εὐήνου εἰς χελιδόνα τέττιγα κατεσθίουσαν.*

6. Anth. Pal. IX. 717: *Εὐΐνου.*

7. Anth. Pal. IX. 718: *τοῦ αὐτοῦ.*

8. Anth. Pal. XII. 172: *Εὐήνου.* Plan. *ἄδηλον.*

9. Anth. Plan. 165: *Εὐήνου.*

10. Anth. Plan. 166: *τοῦ αὐτοῦ.*

Digitized by Google

XXX.

CRITIAS.

ΕΛΕΓΕΙΑ.

(ΠΟΛΙΤΕΙΑΙ.)

1. [1.]*)

Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα·
εἶτα δ' ὄχος Σικελός, κάλλει δαπάνῃ τε κράτιστος
* * * * *
Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα·
εὐναίου δὲ λέχους ἔξοχα κάλλος ἔχει
Μίλητός τε Χίος τ', ἔναλος πόλις Οἰνοπίωνος·
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,
καὶ πᾶς χαλκός, ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ·
Φοίνικες δ' εὗρον γράμματ' ἀλεξίλογα·
Θήβη δ' ἁρματόεντα δίφρον συνεπήξατο πρώτη·
φορτηγοὺς δ' ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι·
τὸν δὲ τροχοῦ γαίης τε καμίνου τ' ἔκγονον εὗρεν,
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
ἢ τὸ καλὸν Μαραθῶνι κατασήσασα τρόπαιον.

Critias. 1. Athen. I. 28. B: *Κριτίας δὲ οὕτως (τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα καταλέγει)· Κότταβος κτλ.* — V. 1. 2. ib. XV. 666. B: *μάθε παρ' ἐμοῦ, ὅτι πρῶτον μὲν ἡ τῶν κοττάβων παιδιὰ Σικελικὴ ἐστιν εὕρεσις, ταύτην πρῶτον εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις διὰ τούτων· Κότταβος κτλ.* et v. 1. etiam Sch. Arist. Pac. 1244. — V. 1. *ἐστι χθονός, ἐκπρεπές*, Ath. pr. loco *χθονὸς ἐκπρεπὲς εἰς*. — V. 2. *ὃν σκοπὸν* om. B pr. l. — *ἐς λατάγων*, pr. l. B *ἐς λατάμων*, post l. BPV *ἐκ λαταγῶν*. — V. 3. *Σικελός*, B *Σικελικός*. — *κάλλει δαπάνῃ τε* Casaub., VL *καλλιδαπάνη τε*. — ib. *κράτιστος* C, *κράτιστε* D, *κρατίστη* VL. Post h. v. fort. plures omissi sunt. — V. 4. *γυίων*, B *γυω*. — V. 5. *εὐναίου* V, *εὐναῖον* L. — *ἔξοχα* om. BCD. — V. 6. *Οἰνοπίωνος*, B *οἰνοποίωνος*. — V. 7. *Τυρσηνὴ* BCD, *Τυρσηνὴν* VL. — V. 8. *ὅτις*, B *ὅστις*. — V. 9. *ἀλεξίλογα* codd. et Eust. Od. p. 1771. 46., qui v. 9 et 11 affert; adde Gramm. Bekk. An. I. 382. 19: *ἀλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος.* Schweighaeuser *λεξίλογα*, Dobree *δεξίλογα*. — V. 11. B *ἀκάτας ἁλὸς* om. *Κᾶρες*. — V. 12. *τροχοῦ* Casaub., libri *τροχόν*. — ib. *γαίης*, BCD *γαίας* vix recte. — *τ' ἔκγονον*, B *τέ γόνον*. — V. 14. *Μαραθῶνι*, CD *Μαραθῶνος*.

*) Numeri adiecti sunt editionis Bachianae.

Digitized by Google

2. [2.]

Καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστιν,
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κυκλοῦν θιάσου
* * * * * * * *
ἄγγεα Λυδὴ χεὶρ εὗρ' Ἀσιατογενής,
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια, καὶ προκαλεῖσθαι
ἐξονομακλήδην, ᾧ προπιεῖν ἐθέλει·
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν· πρὸς δ' ὄμματ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει·
λῆστις δ' ἐκτήκει μνημοσύνην παπίδων·
νοῦς δὲ παρέσφαλται· δμῳὲς δ' ἀκόλαστον ἔχουσιν
ἦθος· ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη·
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν,
εἴς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα·
τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης,
πρὸς ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν,
καὶ τὴν Εὐσεβίης γείτονα Σωφροσύνην.
* * *
αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον·

2. Athen. X. p. 432. D: *Προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι· δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς Ἐλεγείοις· Καὶ τόδ' κτλ.* — V. 4. usque ad 8 (*ἐξονομακλήδην*) om. C. — *κυκλοῦν* VL, *κύκλου* BP, *κύκλῳ* A. — ib. *θιάσου*, Casaub. *θίασον*, Porson *Θασίου*. Excidit deinde hexameter. — V. 6. *Λυδὴ χεὶρ εὗρ' Ἀσιατογενής* scripsi, similiter Dobree *ἄγγε' ἃ Λυδὴ χεὶρ εὗρ' Α.*, Porson. *Λυδὴ χεὶρ Ἀσιατογενής*, A *λυδῆ χειρευνασίατο γενης*, B *λυδηχειρευρασιατογενὴς*, P *λυδῆ χειρευασία το γένης καὶ* sed *καὶ* delet., VL *λυδῆ χειρενασίατο* (L *χειρενασίατο*) *γένης καί*, et deinde in PVL lacunae indicium, quo carent AB. — V. 8. *προπιεῖν* BC, A *προπολεῖν*, P *προποτεῖν*, V *προπιτεῖν*, L *προπίνειν*. — V. 9. *τε λύουσι* PVL, *τελέουσιν* ABC. — V. 11. *τεύχουσιν*, Bach *τρύχουσιν*. — ib. *ὄμματ'* Hermann et Meineke, v. *ὄμμ'*. — V. 12. *λῆστις* C2L, ABPVC1 *λῆσις*. — V. 16. videtur *ἐλπίδα πάντας ἄγειν* legendum. — V. 17. *γλῶσσαν* B, *γλῶτταν* v. — V. 18. *τοιαύτη*, B *τοιαῦτα*. — V. 19. *δ'* ABC, om. PVL. — V. 21. *Ὑγίειαν* PVL, *Ὑγείαν* ABC. — V. 22. *Εὐσεβίης*, B *εὐσεβείης*. — V. 23. Plura deesse apparet, dicit enim Athenaeus: *ἔξῆς τε πάλιν φησίν· Αἱ γὰρ* κτλ. Epit. om. v. 23—27 (*δυνατούς*). — V. 24. *ἅπαντα*, Schneidewin *ἔπειτα*.

Digitized by Google

ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπόστακτος
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

ΕΙΣ ΑΛΚΙΒΙΑΔΗΝ.

3. [3.]

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ·
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

4. [3.]

Γνώμη δ' ἣ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ' ἡμετέρης γλώσσης ἐπὶ τοῖσδεσι κεῖται.

---

5. [4.]

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

V. 26. ἔσθειν, AP ἐσθίειν. — ib. φρονεῖν Bach, v. φανέν. — V. 27. ἀπόστακτος, C ἀποτακτὸς, PVL ἀπόστακτον. — V. 28. ἡμέρα C, ἡμέραι BP, ἡμέρᾳ VL. — πότοις C, ποτοῖς PVL. — Quod Io. Philop. ad Aristot. de an. C. p. 8 dicit: φασὶ δὲ καὶ Κριτίαν γεγονέναι σοφιστήν, οὗ καὶ τὰ φερόμενα συγγράμματα εἶναι, ὡς Ἀλέξανδρος λέγει· τὸν γὰρ τῶν τριάκοντα μηδὲ γεγραφέναι ἄλλο τι, πλὴν πολιτείας ἐμμέτρους· οὗτος οὖν τὴν ψυχὴν ἔλεγεν αἷμα εἶναι·

Αἷμα γὰρ (φησὶν) ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

Cf. ib. A. p. 4, videtur error subesse, nam hic Empedoclis est versus (v. 317.) quamquam placitum ipsum Critiae non abiudicandum. Cf. Galen. de Hippocr. et Plat. plac. II. T. I. p. 264: αἷμά φησιν εἶναι τὴν ψυχήν, ὡς Ἐμπεδοκλῆς καὶ Κριτίας ὑπέλαβον. adde Hermiam adv. Gentil. c. 1.

3. Hephaest. p. 22: ὥσπερ Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ οὐκ ᾤετο ἐγχωρεῖν τὸ τοῦ Ἀλκιβιάδου ὄνομα· φησὶ γὰρ ἐν ἐκείνῃ οὕτως· Καὶ νῦν κτλ. — V. 1. Ἀθηναῖον B, Ἀθηναίου Turn. P.

4. Plut. Alcib. c. 33: Τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκκύρωτο, Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις· Γνώμη κτλ. — V. 1. γνώμη, Valckenaer γνώμην. — V. 2. ἔδρασα codd., v. ἔγραψα. — V. 3. γλώσσης Schaefer, v. γλώττης. — ib. τοῖσδεσι, Fia τοῖς δέ σοι, E τῶς δέ σοι sed corr. σι.

5. Plut. Cimon. c. 10: Ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός φησι τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μέν, ὡς χρῷτο, χρῆσθαι δέ, ὡς τιμῷτο. Κριτίας δὲ τῶν τριάκοντα γενόμενος ἐν ταῖς ἐλεγείαις εὔχεται· Πλοῦτον κτλ. — V. 1. Σκοπαδῶν Coraes, v. Σκοπάδων. — V. 2. Ἀρκεσίλα

6. [5.]

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

ΕΠΗ.

7. [7.]

Τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδάς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον·
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

---

scripsi, cf. Paus. VI. 2. 1. idemque Westermann coniecit, vulgo *Ἀγεσιλάου*, AFa *Ἀγησίλα*.

6. Stob. Floril. XXIX. 10: *Κριτίου.*

7. Athen. XIII. 600. E: *δν (Ἔρωτα) ὁ σοφὸς ὑμνῶν ἀεί ποτε Ἀνακρέων πᾶσιν ἔστι διὰ στόματος· λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε· Τὸν κτλ.* — V. 1. *ἠπερόπευμα*, P *ὑπερόπευμα*. — V. 4. *φιλοβάρβιτον*, P *φιλοβάρβυτον*, B *φιλοβάρετον*. — ib. *ἡδύν*, fort. *ἠΰν*. — V. 5. *σου*, Hermann *τοῦ*, sed fort. Athenaeus aliquot versus om. — V. 7. *διαπομπεύῃ* ABC, *διαπομπεύσῃ* PVL, Osann *διαποιπνύῃ*. — ib. *προπόσεις* PVL, *προπόσις* A, *πρόποσις* B, *προπόσιν* C. — ib. *ἐπιδέξια νωμῶν* AC epit. Hoesch., *ἐπὶ δεξιὰν ὦμον* B, *ἐπὶ δεξιὸν ὦμον* PVL. — V. 8. *θ'* om. P. — V. 9. *πλάστιγξ* CL, *πλάστιξ* APV. — ib. *θ'* PVL, *τε* A, *δ'* C. — ib. *ἄκραισι* ABC, *ἄκροισι* PVL. — ib. *καθίζῃ* B, *καθίζει* AC, *καθίζει* libri Casaub., *καθίζοι* PVL. — V. 10. *ψακάδεσσιν* AC, *ψακάδεσιν* B, *ψεκάδεσσιν* PVL. — Iniuria Hertzberg hoc fr. in suspicionem vocavit, cf. quae dixi Comment. Crit. III. p. 7, ubi conieci particulam hanc fuisse maioris alicuius carminis, in quo vitas poetarum descripserit, ut huc referendum sit (Fr. 35) Mall. Theodor. p. 537: *Metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias asserit.*" Porro (Fr. 34.) Philostr. vit. Soph. Praef. *Οἶδα γὰρ δὴ καὶ Κριτίαν τὸν σοφιστὴν οὐκ ἐκ πατέρων, ἀλλὰ Ὁμήρου δή μόνου σὺν τῷ πατρὶ ἐπιμνησθέντα, ἐπειδὴ θαῦμα φηλώσειν ἔμελλε πατέρα Ὁμήρῳ ποταμὸν εἶναι.* (cf. Tzetz. Exeg. Il. p. 8 et 131) et fort. etiam (Fr. 36.) Schol. Eurip. Hipp. 263: *τὸ δὲ μηδὲν ἄγαν οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας.* — Ex carminibus fort. petita sunt, quae exhibet Poll. II. 122: *παρὰ δὲ Κριτίᾳ καὶ λογεὺς ὁ ῥήτωρ*, et II. 148: *εὔχειρ, ταχύχειρ, ὡς Κριτίας.*

Digitized by Google

XXXI.

IOPHON.

Κρύπτω τῷδε τάφῳ Σοφοκλῆν πρωτεῖα λαβόντα
τῇ τραγικῇ τέχνῃ, σχῆμα τὸ σεμνότατον.

XXXII.

SOCRATES.

1.

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

ΠΡΟΟΙΜΙΟΝ.

2.

Δήλι' Ἄπολλον χαῖρε καὶ Ἄρτεμι, παῖδε κλεεινώ.

Iophon. Epigramma legitur in vita Sophocl. 131 ed. Westerm.: *φασὶ δ' ἐπιγεγράφθαι τῷ αὐτοῦ τάφῳ τάδε· κρύπτω κτλ.* sed PI *λαβὼν δέ φησιν ἐπέγραψε τῷ τάφῳ αὐτοῦ* (om. I) *τάδε*, unde olim conieci *Λόβων δέ φησιν ἐπιγεγράφθαι*, sed rectius Westermann et Leutsch (Philol. I. 131) *Ἰοφῶν δέ, φασίν, ἐπέγραψε.* — V. 1. *Σοφοκλῆν*, S *σοφοκλῆ* ut videtur. — V. 2. *τῇ, ἐν τῇ* PI. — *σχῆμα*, I *καὶ σχῆμα*. Respicit huc haud dubie Valer. Max. VIII. 7. 12: „Sophocles quoque gloriosum cum rerum natura certamen habuit, tam benigne illi mirifica opera sua exhibendo, quam illa operibus eius tempora liberaliter submistrando. Prope enim centesimum annum attigit, sub ipsum transitum ad mortem Oedipode Coloneo scripto; qua sola fabula omnium eiusdem studii poetarum praecipere gloriam potuit: idque ignotum esse posteris filius Sophoclis Iophon (ita Pighius, libri *Sophon*) noluit, *sepulcro patris quae retuli insculpendo.*"

Socrates. 1. Diog. Laert. II. 42: *ἐποίησε δὲ* (Σωκράτης) *καὶ μῦθον Αἰσώπειον οὐ πάνυ ἐπιτετευγμένως, οὗ ἡ ἀρχή· Αἴσωπος κτλ.* Cf. Plato Phaed. 60. D. Plut. de aud. poet. c. 2. Augustin. de cons. Evangel. I. 7.

2. Diversis nominibus appellatur hoc carmen, nec tamen de diversis carminibus cogitandum, ut Wyttenbach vult. Prooemium dicit Plato Phaed. p. 60. D: *περὶ γάρ τοι τῶν ποιημάτων, ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους, καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον.* Themist. II. p. 32: *καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ εἰς τὸν θεόν.* Sed Dio Chrys. or. 43. T. II. 580: *καὶ παιᾶνα ἐποίησεν εἰς τὸν Ἀπόλλω καὶ τὴν Ἄρτεμιν.* Cf. Epict. II. 6. 26. IV. 4. 23. Denique Suidas v. *Σωκράτης* (Eudoc. 390.) *ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν.* — Diog. Laert. II. 42: *Ἀλλὰ καὶ παιᾶνα κατά τινας ἐποίησεν* (Σωκράτης), *οὗ ἡ ἀρχή· Δήλι' Ἄπ. κτλ. Διονυσόδωρος δέ φησι μὴ εἶναι αὐτοῦ τὸν παιᾶνα.* — *Ἄπολλον*, Cod. Mon. *ἄπολλων*. — *κλεεινώ*, Cod. Cant. Ar. Mon. *κλεινῳ*, Vind. *κλεινά*.

Digitized by Google

3.

Οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.

XXXIII.

ANTIMACHUS.

ΛΥΔΗ.

1.

Φεύγοντας γαίης ἔκτοθι Δωτιάδος.

2.

Γενεᾷ Καβάρνους ἦγεν ἀγακλέας ὀργειῶνας.

3.

Εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τάῤδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας.

* 4.

..... Τότε δὴ χρυσέῳ ἐν δέπαϊ
*Ἠέλιον πομπεῖ * ἀγακλυμένη Ἐρύθεια.*

3. Athen. XIV. p. 628. F: *ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως· Οἳ δὲ κτλ.* Fort. ex prooemio in Apollinem.

Antimachus. Fr. 1. Steph. Byz. v. *Δώτιον — καὶ Δωτιὰς ὡς Ἰλιὰς τοῦ Ἰλιεύς — καὶ Ἀντίμαχος ἐν δευτέρῳ Λύδης· φεύγοντας κτλ.*

Fr. 2. Phot. 344. 7: *Ὀργεῶνες — ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ γενεαῖ Καβάρνους ἦγεν ἀγακλέας ὀργίωνας* ita cod. sed supra *ἀβακλέας*. eadem Suidas s. v. *Ὀργεῶνες· ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ γενεᾷ Καβάρνους ἦγεν ἀβακλέας* (*ἀβλακέας* C) *ὀργεώνας*. Respicit Harpoc. p. 139. 3: *οἱ μέντοι ποιηταὶ ἕτατον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς.* Valesius *γένναν Καβάρνου ἦγεν* scripsit, Gaisford et Friedemann *ἐν τῇ Λύδῃ γ'· Ἔνθα* (Hermann *ἐν δὲ*) *Καβάρνους*. Videtur grammaticus non integrum locum adhibuisse, fort. *γενεᾶν Καβάρνου, φησὶν, ἦγεν κτλ.*

Fr. 3. Schol. Eurip. Phoen. 44: *ὅτι δὲ Πολύβῳ ἔδωκε (Οἰδίπους) τοὺς ἵππους, καὶ Ἀντίμαχός φησιν ἐν Λύδῃ· εἶπε κτλ.* — V. 1. *τάῤδε* scripsi, vulgo *τάδε*, Barnesius *ταῦτα*, Dübner *τούσδε*.

Fr. 4. Athen. XI. 469. D: *ὅτι δὲ καὶ ὁ Ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν, Στησίχορος μὲν οὕτως φησίν — καὶ Ἀντίμαχος δ' οὑτωσὶ λέγει· τότε δὴ κτλ.* — V. 1. *χρυσέῳ* scripsi, vulgo *εὐχρεῳ*. — V. 2. *πομπεῖ* A, *πόμπει* B, *πέμπει* P, *πέμπεσκεν* VL, *πέμπησιν* Stoll, *πόμπευεν* Schweighaeuser. Coniicio *Ἠελίου πομπεῖ πρὸς ἀγακλυμένην Ἐρύθειαν*, ut de Hercule sermo sit, et *Ἠελίου* etiam Blomfield, reliqua longe aliter constituens. Cf. Hesych. *Πομπεῖ, πομπεύεται.*

Digitized by Google

* 5.

.. *Τῶν μεγάλων ἔρκτορες εἰσὶ κακῶν.*

* 6.

Ἦὐτε τις καύηξ δύπτησιν ἐς ἁλμυρὸν ὕδωρ.

7.

Schol. Apoll. Rh. I. 211: *Ζήτης αὖ Κάλαΐς τε. τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν· οἱ μὲν γὰρ ἐκ Θρᾴκης, ὡς Ἀπολλώνιος, Ἡρόδωρος δὲ ἐκ Λαυλίδος, Δοῦρις δὲ ἐξ Ὑπερβορέων· καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος.*

8.

Schol. Apoll. Rh. I. 1290: *Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ φησὶν ἐμβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος.*

9.

Schol. Apoll. Rh. III. 409: *Καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ Ἡφαστοτεύκτους* (cod. Par. *χαλκόποδας*) *τοὺς ταύρους ἀπεφήνατο.* Adde Schol. Pind. Pyth. IV. 398: *τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ ἡφαιστοτεύκτους λέγει.*

Fortasse huc pertinet quod ex Antimacho profert Schol. Nic. Ther. 472: *ἐκαλεῖτο δὲ Σάος καὶ ἡ ὅλη Θρᾳκικὴ Σάμος· Μόσυχλος δὲ ὄρος τῆς Λήμνου, ὡς Ἀντίμαχος· Ἡφαίστου* (p *ἡφαίστοιο*) *πυρὶ εἴκελον, ἣν ῥα τιτύσκει δαίμων ἀκροτάτης ὄρεος* (G *ἀκροτάτου*, p *ὄρους*) *κορυφῇσι Μοσύχλου.* Sed Codd. Vatic. et Marcian. secundum Keilium *ἡφαίστοιο* (Marc. *ἡφαίστου*) *πυρί· ἣν ῥα τιτύσκει σάμου ἀκροτάτου ὄρεος κορυφῇσι Μοσύχλου.* Dixerat igitur fortasse poeta tauros illos exhalasse spiritum similem

Ἡφαίστοιο πύρῃ, τήν ῥα τίτυσκε Σάῳ (sive *Σάμῳ*)
δαίμων ἀκροτάτης τ' ὄρεος κορυφῇσι Μοσύχλου.

10.

Schol. Apoll. Rh. IV. 156: *Ἐν τούτοις καὶ τοῖς ἑφεξῆς φησὶ την Μήδειαν ἐπιῤῥαίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα*

Fr. 5. Etym. M. 375. 40: *ἔρκτωρ, ὁ πρακτικός, Ἀντίμαχος· τῶν κτλ.* V *οἱ τῶν*, unde Valckenaer *ὅσσοι* scripsit, fort. *οἵτων καὶ μεγάλων κτλ.*

Fr. 6. Schol. Apoll. Rh. I. 1008: *Λύπτειν δέ ἐστι τὸ δύνειν ὡς παρὰ Καλλιμάχῳ· Λύπται δ' ἐξ ἁλὸς ἐρχόμενοι. πρότερος δὲ Ἀντίμαχος· ἠΰτε τις καύηξ δύνῃ ἐς ἁλμυρὸν πέλαγος*, sic vulgo, sed Par. Vind. 81 om. *τις* et deinde exhibent *δύπτει εἰς* (Vind. *ἐς*) *ἁλμυρὸν ὕδωρ*, unde recte Ruigersius *δύπτησιν* restituisse videtur. Hermann transposuit *δύπτει καύηξ*, contra Meineke *καύηξ δύπτης εἰς* coniecit. Ex Lyde autem petitus videtur versus, quoniam Apollonii scholiasta hoc solum carmen videtur in manibus habuisse.

Digitized by Google

ἐκέλευσαν καὶ οὕτω τὸ κῶας ἀνελέσθαι, καὶ χωρῆσαι ἀμφοτέρους ἐπὶ τὴν ναῦν κοιμωμένου τοῦ θηρίου, συμφώνως τῷ Ἀντιμάχῳ.

11.

Schol. Apoll. Rh. IV. 1153: Ἀντίμαχος δὲ ἐν Λύδῃ ἐν Κόλχοις πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ (Μηδείᾳ) φησὶ τὸν Ἰάσονα.

12.

Schol. Apoll. Rh. IV. 259: Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ Ὠκεανοῦ φησιν ἐλθεῖν αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

13.

Schol. Apoll. Rh. II. 296: Στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τοὐπίσω, λαβὼν παρὰ Ἀντιμάχου· οὕτω γὰρ ἐκεῖνος ἐν τῇ Λύδῃ περὶ αὐτῶν μέμνηται. Οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διΐ καταλαβεῖν τὰς Ἅρπυιας. Κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλάνιον οὐ πτείνονται. Cf. ib. ad v. 297: Αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες· μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ.

14.

Schol. Apoll. Rh. II. 178: Ἀγηνορίδης· Ἀγήνορος γὰρ παῖς ἐστι (Φινεύς), ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας· ὁμοίως δὲ καὶ Ἀσκληπιάδης καὶ Ἀντίμαχος καὶ Φερεκύδης φησίν.

15.

Schol. Hom. Il. ζ. 200: Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ, ὅτι τοὺς Σολύμους ἀνεῖλε (Βελλεροφόντης) θεοῖς ὄντας προσφιλεῖς, διὰ τοῦτο μισηθῆναι αὐτόν φησιν ὑπὸ τῶν θεῶν. Adde Schol. Od. ε, 283: ἐκ Σολύμων] τῆς Κιλικίας εἰσίν. ὅθεν καὶ οἱ Σόλυμοι ὠνομάσθησαν ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Καλχηδονίας, ὡς Ἀντίμαχος λέγει.

Ad Lyden praeterea retulit Stoll, quod Et. Gud. 352. 7 ex Antimacho profert: *Κυθώνυμον Οἰδίπουν*, sed his commodus in Thebaide locus fuit. — Elegiaca Antimachi carmina an praeter Lyden fuerint, non constat; sed fortasse *Δέλτοι*, unde Athen. VII. 300. D hunc versum affert:

Ἐλθὼν Εὐλεῖος πηγὰς ἔπι δινήεντος

elegiaci numeri erant. Maior etiam dubitatio de *Καταχήνῃ*, quo nomine Antimachi carmen inscriptum fuisse olim conieci: sed in illo certe loco Et. M. 4, 6: Ἀντίμαχος Ἰαχίνῃ· τοὶ δ' ἄρ' οἱ κτλ. coniici possunt multa, fort. scribendum:

Digitized by Google

Ἴσχε νυ· τοὶ δ' ἄρα σοὶ ἀβολήτορες ἄνδρες ἔασιν.

conieci etiam *ἀχνύϊ δ' Ἰδάρναι* κτλ. Ad hoc carmen olim conieci referendum esse versum ap. Herodian. Philet. p. 439 ed. Piers.: *Ἐννεάμυκλος ὄνος παρὰ Ἀντιμάχῳ.*, qui integer legitur ap. Tzetz. ad Lycophr. 771. et in Et. M. 594, 21:

Ἔστιν μοι Μάγνης ἐννεάμυκλος ὄνος.

sed apud utrumque *Callimacho* tribuitur, ut hoc nomen in antiquis commentariis Lycophronis lectum esse appareat. — Sunt etiam alia, quae cum probabilitatis aliqua specie ad Antimachi Elegias referas, velut quod Pausan. IX. 35, 5. dicit: *Ἀντίμαχος δὲ οὔτε ἀριθμὸν Χαρίτων οὔτε ὀνόματα εἰπὼν Αἴγλης εἶναι θυγατέρας καὶ Ἡλίου φησὶν αὐτάς.* — Apud Herodian. *π. μον. λέξ.* p. 36. 23: *ἀλλὰ καὶ παρὰ Ἀντιμάχῳ· ἀεὶ φάρεος κατεύουσιν ἔχων*, conieci:

.. ἀεὶ φάρεος γῆν κατέουσαν ἔχων.

Ex Elegiis (fort. ex Lyde, vid. Fr. 15.) petiti videntur versus duo de Pyde, Pisidiae fluvio, ap. Choerobosc. I. 139, 17:

Καδδὲ Πύδην τε ῥέοντα.
Πύδητος κούρη τηλεκλείτου ποταμοῖο.

sic enim ex cod. Marciano (vid. Gaisford Praef. Et. M. VII.) hi versus sunt corrigendi. — Porro Hesychianum illud: *Εἰσονιανοί· οἱ Ἐφέσιοι, ὡς Ἀντίμαχος.* — Fortasse etiam huc pertinet, quod habet Probus ad Virg. Ecl. X. 18.: „Adonis, ut Hesiodus ait, Phoenicis et Alphesiboeae, Agenoris . . . ., Thiantis, qui Histriam (Syriam?) Arabiamque tenuit imperio, ut Antimachus ait.“ (Cf. Lyde Fr. 14.) — Antimacho Düntzer vindicare voluit versum ap. Schol. Il. *π.* 234: *Δωδώνης δυσχειμέρου· οἱ περὶ Ζηνόδοτον πολυπίδακος διὰ τὸ Καλλιμάχου· Κρηνέων τ' Εὐρώπη* (O. Schneider coni. *Ἑλλοπίη*) *μισγομένων ἑκατόν.* sed potuerunt Zenodotei ad magistri lectionem probandam uti Callimachi versu, ut ostenderent, hunc quoque Zenodoti lectionem secutum esse, nec *Εὐρώπη* tentaverim, nam fortasse lacus vel etiam fluvius aliquis ad Tomari montis radices (cf. Plin. Hist. Nat. IV. 2.) sic vocabatur. — Quod Phot. Bibl. 171. A refert *Agatharchiden* in epitomen redegisse Antimachi Lyden, nihil nos iuvat in amplificandis carminis reliquiis, nescioque an paraphrasis potius quam epitome fuerit.

ΕΠΙΓΡΑΜΜΑ.

16.

Τίπτε μόθων ἄτλητος, Ἐνυαλίοιο λέλογχας,
Κύπρι; τίς ὁ ψεύστας στυγνὰ καθᾶψε μάτην;
ἔντεα σοὶ γὰρ Ἔρωτες ἐφίμεροι, ἅ τε κατ' εὐνάν
τέρψις, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.

Epigramma. Anthol. Pal. IX. 321: *Ἀντιμάχου εἰς Ἀφροδίτην ὁπλοφοροῦσαν.* Stoll. coni. *Callimachi* esse. — V. 2. *μάτην* cod. Pal., *μάταν* Planud. Iacobs coni. interpungendum esse *μάτην ἔντεα; σοὶ γὰρ* κτλ. — V. 3. *ἅ τε ... τέρψις* cod. Pal., *αἵτε ... τέρψεις* Planud.

Digitized by Google

δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
ταῦτα· σὺ δ' εὐχαίταν εἰς Ὑμέναιον ἴθι.

XXXIV.

PLATO.

De epigrammatis, quae vulgo Platoni tribuuntur, difficilis quaestio est: et C. Fr. Hermannus quidem Histor. Philos. Plat. I. 100. omnia in suspicionem vocat (Wernikii commentat. de his epigramm. Thoruni 1834 uti non licuit). Pleraque in Anthologia servata sunt, ubi propter varias causas plurima turbata sunt. Augetur difficultas, quod fuerunt alii eiusdem nominis viri. Recepta fuerunt in Anthol. etiam *Platonis comici* epigrammata, vid. IX. 359: *Ποσειδίππου, οἱ δὲ Πλάτωνος κωμικοῦ*, quamquam hoc sane incertum, nam alii hoc ipsum *Crateti* tribuunt. Sed fuit etiam *Plato iunior* (*ὁ νεώτερος*), cui dilucide tribuitur IX. 13. (*ὅτι ὁ τυφλὸς τὸν χωλον ἐπὶ ὤμων ἐβάσταζεν*), IX. 748. *εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύστῳ* (etiam Iriarte p. 93. *Πλάτωνος τοῦ νεωτέρου*, s. poet. n. Schol. Eurip. Or. 583.), IX. 751. *εἰς Ἀπόλλωνα ἐν δακτυλίῳ* (cf. Iriart. ib. Cram. An. Par. IV. 370., ubi *ἃ ψηφίς*.). Eiusdem Platonis iunioris fortasse est ep. *ἀδέσποτον* IX. 759. *Εἷς λίθος, ἅρμ', ἐλατήρ, ἵπποι, ζυγόν, ἡνία, μάστιξ*, quod Plan. et cod. Iri. p. 92. *Platoni* tribuunt. Porro non inelegans epigr. *ἀδεσπ. εἰς Σάτυρον κρήνῃ ἐφεστῶτα καὶ Ἔρωτα καθεύδοντα* IX. 826. *Τὸν Βρομίου Σάτυρον τεχνήσατο δαιδαλέη χεὶρ κτλ.* Planud. et Iri. 106. *Platoni* tribuunt (itidem eidem continuant IX. 827., quod in Cod. Pal. *Ἀμμωνίου* (?) *εἰς τὸ αὐτό* inscribitur), quod haud dubie ad iuniorem hunc referendum. — Et antiqua certe ea epigrammata sunt, quae Diogenes quoque auctore Aristippo usus, Apuleius, Gellius ad philosophum referunt, 1. 2. 3. 7. 8. 10. 14. 15. 17. 28. 29., in quibus licet nonnulla mala fraude ficta sint (in tribus, quae vel maxime offendunt, etiam incerta est paradosis, 17. 28. 29.), insunt tamen alia philosopho summo haud indigna: ex reliquis tria vel quatuor sunt, quae philosopho non sane indigna videntur, 22. 27. 30. et fort. 23., in quibus quod partim similitudo quaedam cum bucolicis carminibus deprehenditur, nihil est causae, cur propterea Platoni abiudices. — Contra probabiliter mihi videor ad iuniorem Platonem referre 4. 5. 21. 24. 25. 26., quae maximam partem in artis operibus describendis versantur, neque offendendum est, quod idem argumentum bis tractavit (24. 25.) novitius poeta, quod non ferendum in antiquiore Platone, ut si constaret 17. a philosopho profectum esse, vel ob hanc causam 18. ei esset abiudicandum. Paulo diversa ratio est ep. 9. si

V. 4. *μέθες* Planud., *κάθες* cod. Pal. — V. 5. *εὐχαίταν* vulgo, cod. Pal. *εὔχεται ἄν*.

Digitized by Google

cum ep. 10. comparatur. — Aliorum vel antiquitus fuit dubia paradosis, vid. 6. et 16., utrumque tamen antiquum epigramma. Quae supersunt (11. 12. 13. 19. 20.) cui tribuenda sint, incertum: Platoni minori si quis haec quoque vindicare velit, non adversabor: monendum tamen 11. 12. 13. eo loco legi, qui ex Meleagri corona servatus videtur; hic autem cum dicit in prooemio v. 47: *Ναὶ μὴν καὶ χρύσειον ἀεὶ θείοιο Πλάτωνος Κλῶνα, τὸν ἐξ ἀρετῆς παντόθε λαμπόμενον*, philosophi epigrammata se recepisse satis dilucide indicat.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

1.

Τὴν ψυχήν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

2.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη, τῆς σῆς παρθενίης μετάδος.
εἰ δ' ἄρ', ὃ μὴ γίγνοιτο, νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα,
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

3.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις· ἀλλ' ἐπίνευσον,
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

4.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἣ τὸν ἐραστῶν
ἐσμὸν ἑνὶ προθύροις Λαΐς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι.

Plato. 1. Anthol. Pal. V. 78: *Πλάτωνος εἰς Ἀγάθωνα τὸν μαθητὴν αὐτοῦ.* Adde Gell. N. A. XIX. 11., Diog. Laert. III. 32., qui v. 1. *εἶχον* exhibet, et v. 2. cod. Cant. *διαβλ.*, Cram. An. Par. IV. 384., ubi *ἦλθε γὰρ ἡδὺς ἔρως ὡς διαβησομέναν*, leg. *ἡ δυσέρωτος.*

2. Ib. V. 79: *τοῦ αὐτοῦ εἰς ἑταίραν τινὰ δυςπιθῆ.* et Diog. L. III. 32. ubi v. 2. c. Cant. *εὐξαμένη*, Vind. *παρθενίας*, v. 3. idem *ὅ μοι γίνοιτο.* — V. 3. *νοεῖς*, Pal. a m. s. *μισεῖς*, sed videtur *νοεῖς* ante fuisse. Hecker *ἔχθεις*, Geel *ὄνοσαι.*

3. Ib. V. 80: *τοῦ αὐτοῦ.* et Diog. L. III. 32. ubi iungitur cum priore, ut in cod. Matrit. ap. Iriarte p. 104.

4. Ib. VI. 1: *Πλάτωνος ἐπὶ κατόπτρῳ ἀνατεθέντι παρὰ Λαΐδος.* Vertit Auson. Ep. 55. Affert v. 3. et 4. Olympiod. in Alcib. I. p. 31. ubi *ἐθέλει* et *δύναται.* — V. 1. *τὸν ἐραστῶν* Pal., *τῶν ἐρώντων* vulgo, *τὸν ἐρώντων* Stephan. — V. 2. *ἐνὶ*, fort. *ἐπὶ.* — ib. *νέων*, fort. *νέα.*

Digitized by Google

5.

Τὸν Νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον,
χαλκῷ μορφώσας τις ὁδοιπόρος εὐχος ἔθηκεν,
καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ, εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.
[φωνὴν δ' ἠγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθη ναμάτων.]

6.

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς,
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

7.

Λάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶν
Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις·
σοὶ δέ, Λίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν·
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Λίων.

8.

Νῦν ὅτε μηδὲν Ἄλεξις, ὅσον μόνον εἶφ', ὅτι καλός

5. Ib. VI. 43: *εἰς βάτραχον χαλκοῦν ἀνατεθέντα ταῖς Νύμφαις παρὰ ὁδοιπόρου, Πλάτωνος.* *ἀδέσποτον.* — V. 2. *λιβάσιν* Pal., *σταγόσιν* ed. Asc. — *κούφαις*, Hecker *κωφαῖς*. — V. 3. *μορφώσας*, Pal. *τυπώσας γρ. μορφώσας*, Plan. *στηλώσας*. Geel *τορνεύσας*. Hecker *χαλκοτυπήσας*. — V. 4. *ἀκεσσάμενος* Pal., *ἀκεσσάμενον* Pl. — V. 7. *ἀπολείπων*, Pal. *ἀπὸ λειπών*. — V. 8. *γλυκερῶν*, Pal. *γρ(γλυκε)ήν*. — *ἐπόθη ναμάτων*, Brunck *ἐπόθει λιβάδων*. Iacobs *ὧν ἐπόθει νασμῶν εὗρε πόσιν γλυκερήν*. Hecker *εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθησ' ἀμάρων*. Ceterum hic v. deest in Plan., in Pal. est margini additus. Universum distichon ab interpolatore profectum.

6. Anth. VII. 35: *εἰς τὸν αὐτὸν Λεωνίδου* (et sic Plan.), sed infra p. 289. ubi repetitur in cod. *Πλάτωνος*. Affert v. 1. Plut. de anim. procr. c. 33: *ὁ δὲ τῷ Πινδάρῳ ποιήσας τὸ ἐπικήδειον· ἄρμενος ἦν κτλ. εὐαρμοστίαν δῆλός ἐστι τὴν ἀρετὴν ἡγούμενος.* — V. 1. *ἄρμενος* Plut. et Pal. altero loco, *ἤπιος* priore et Plan.

7. Ib. VII. 99: *εἰς Λίωνα τὸν Συρακούσιον· Πλάτωνος φιλοσόφου.* Diog. L. III. 30. qui addit *τοῦτο καὶ ἐπιγεγράφθαι φασὶν ἐν Συρακούσαις ἐπὶ τῷ τάφῳ.* Estat etiam in cod. Matr. Iriarte p. 104 et in Vindob. n. 311. — V. 1. *μὲν*, Iacobs *μὴν*. — V. 2. *δή ποτε* Diog., *δὴ τότε* Pal. et Suid. v. *γειναμέναις*, sic enim ille et cod. Vind. pro *γεινομένοις* (sed A *γεινομένοις*, ib. codd. *ἐπεκλώσαντο*.) — V. 5. 6. Apulei. de Magia c. 10. una cum interpr. latina. Ap. Diog. cod. Mon. *εὐρυχώρῳ* et *ἀστός*.

8. Ib. VII. 100: *εἰς Ἄλεξιν καὶ Φαῖδρον. Πλάτωνος.* Diog. L. III. 31.

Digitized by Google

ὦπται καὶ πάντη πᾶσι περιβλέπεται.
θυμέ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσει
ὕστερον· οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

9.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι,
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

10.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

11.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἀλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

12.

Ναυηγόν με δέδορκας· ὃν οἰκτείρασα θάλασσα
γυμνῶσαι πυμάτου φάρεος ἠδέσατο,
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσεν,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος·
κεῖνο μὲν ἐνδύσαιτο καὶ εἰν Ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

et Apul. de Mag. c. 10 cum interpr. lat., ubi variae corruptelae in libris et edd. leguntur. — V. 2. ὦπται, Stephanus ὦ παῖ. — πᾶσι περιβλέπεται, Diog. Apul. πᾶς τις ἐπιστρέφεται. — V. 3. ἀνιήσει Stephan. et Brunck, v. ἀνιήσεις.

9. Ib. VII. 256: Πλάτωνος εἰς τοὺς Ἐρετριεῖς τοὺς ἐν Ἐκβατάνοις κειμένους. om. poetae nom. Philostr. vit. Apoll. I. 24. — V. 1. βαθύβρομον, Phil. βαθύρροον. — V. 2. κείμεθ' ἐνὶ Phil. Plan., κείμεθα ἐν Pal.

10. Anth. VII. 259: Πλάτωνος εἰς τοὺς Εὐβοεῖς τοὺς ἐν Σούσοις τελευτήσαντας. Plan. ἄδηλον. Diog. L. III. 33: φασὶ δὲ καὶ τὸ εἰς τοὺς Ἐρετριέας τοὺς σαγηνευθέντας αὐτοῦ εἶναι· Εὐβοίης κτλ. Cram. An. Ox. IV. 154. 10. et Suidas v. Ἱππίας. — V. 1. Εὐβοίης, Cram. Suidas Εὐβοέων. — ib. ἐσμέν, Diog. ἦμεν. — V. 2. γαίης, Cram. ἄϊης vel ἀΐου. — ὅσσον, Diog. τόσσον, Cram. τόσον.

11. Ib. VII. 265: Πλάτωνος εἰς ἕτερον ναυηγόν. — V. 1. Iacobs εἰμ' ὁ δ' ἐναντίον. — V. 2. ὕπεστ', Pal. ὑπ' ἔσ'.

12. Ib. VII. 268: Εἰς ναυηγόν, ὃν εὑρών τις ἐξέδυσεν τῶν ἱματίων, Πλάτωνος. — V. 1. οἰκτείρασα Pal., ἡ κτείνασα Plan. — θάλασσα, θάλαττα Pl. — V. 5. μὲν Plan. codd. ap. Br., κεν Pal. — V. 6. ῥάκος, Pal. in m. γρ. φάρος et sic Plan.

Digitized by Google

13.

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

14.

Ἀστέρας εἰςαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

15.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἕῳος,
νῦν δὲ θανὼν λάμπεις Ἔσπερος ἐν φθιμένοις.

16.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης·
πάντας δ' ἀκρεμόνας τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι, πυκιναῖς χέρμασι βαλλομένη·
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· ἦ γὰρ ἔγωγε
δυςδαίμων ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

17.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσόν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

13. Ib. VII. 269: *τοῦ αὐτοῦ Πλάτωνος εἰς ἕτερον ναυηγόν.* — V. 2. *παρερχόμενοι*, Pal. *παρ' ἐρχόμενοι.*

14. Ib. VII. 669: *Πλάτωνος φιλοσόφου*, sed Cod. Pal. *εἰς Ἀστέρα τὸν μαθητὴν Πλάτωνος τοῦ φιλοσόφου τοῦ αὐτοῦ Πλάτωνος.* Adde Apulei. de Mag. c. 10 ubi iungitur cum ep. 15 (et sic cod. Iriart. p. 103, ubi sine poetae nom. legitur, et Plan.) item cod. Vind. n. 311. et Diog. L. III. 29: *Ἀρίστιππος δ' ἐν τῷ τετάρτῳ περὶ παλαιᾶς τρυφῆς φησιν αὐτὸν Ἀστέρος μειρακίου τινὸς ἀστρολογεῖν συνασκουμένου ἐρασθῆναι, ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου. Ἔνιοι καὶ Φαίδρου φασί· δηλοῦν δὲ τὸν ἔρωτα αὐτοῦ τάδε τὰ ἐπιγράμματα, ἃ καὶ πρὸς αὐτοῦ γενέσθαι εἰς αὐτούς· Ἀστέρας κτλ.* Apostol. IV. 12. a. — V. 1. *εἰςαθρεῖς*, Cod. Vind. n. 311, in quo hoc ep. legitur, *ἐςαθρεῖς*, Plan. et vett. edd. Apul. *εἰσάθρει*, Pal. *εἰςἀθρεῖ*. — V. 2. *βλέπω*. Fort. *βλέποιν*, itaque Nauck.

15. Ib. VII. 670: *τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν Ἀστέρα τὸν μαθητήν.* Cf. Apulei. Diog. Apostol. l. l. (ap. Diog. Cod. Mon. v. l. *ἐν ζ. ἑῶος* et sic etiam Cod. Vind. 311.)

16. Ib. IX. 3: *Ἀντιπάτρου, οἱ δὲ Πλάτωνος εἰς καρύην πεφυτευμένην ἐν ὁδῷ.* — V. 3. et init. 4. affert Schol. Theocr. VII. 138. s. poet. n. — *εὐθαλέας*, Hecker *εὐθηλέας*. — V. 5. *ἡ γὰρ* Plan., *εἰ γὰρ* P. — V. 6. *ἐς ἐμὴν* P, *ἐπ' ἐμὴν* vulgo.

17. Diog. Laert. III. 33. *Platoni* tribuit (Iriarte p. 104. s. poet. n.), at in Anthol. IX. 44. idem hoc epigramma legitur inscriptum *Στατυλλίου*

Digitized by Google

18.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν ῥῖψεν, ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

19.

Λιὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν οὔνομα καὶ μορφὴν καὶ φύσιν ἠδὲ τύχην.

20.

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως· ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

21.

Εἰκόνα πέντε βοῶν μικρὰ λίθος εἶχεν ἴασπις, ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας·
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοίδια· νῦν δὲ κρατεῖται τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

22.

Σιγάτω λάσιον Δρυάδων λέπας οἵ τ' ἀπὸ πέτρας κρουνοὶ καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν, ὑγρὸν ἰεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο Ὑδριάδες νύμφαι, νύμφαι Ἁμαδρυάδες.

23.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν

Φλάκκου et ib. 45. affertur Ep. 18: *Πλάτωνος τοῦ μεγάλου*, quod Plan. *Antipatro* tribuit. Ceterum ea est in Cod. Pal. perturbatio, ut fort. etiam prius epigr. (17.) Platoni proprie fuerit tributum. Ep. 18. etiam in Stobaeo Schowii 280 legitur: *Πλάτωνος* (sed adhaeret ep. aliud, quod in Anth. Pal. XI. 170 *Nicarcho* tribuitur) ubi defg *Ἀντιπάτρου*.

19. Anthol. IX. 51: *Πλάτωνος*. repetit C. Pal. infra, ubi v. 2. recte *ἠδὲ*, hic *ἤδε*.

20. Ib. IX. 506: *Πλάτωνος εἰς τὰς Μούσας*. Cod. Vind. 311. v. 2. *ἐνίδε*.

21. Ib. IX. 747: *Πλάτωνος ἐπὶ ἓξ βοῶν ἄλλως*. Cf. ib. 746. Polemonis epigr. — V. 3. *ἀπέφευγε* Plan., *ἀπέφυγε* Pal.

22. Ib. IX. 823: *Πλάτωνος εἰς Πᾶνα*. — V. 2. *βληχὴ* P, *βληχὰ* Plan. — V. 3. *ἔπειἰ* Plan., *ἐπὶ* Pal. — V. 4. *ὑγρὸν*, Ruhnken *γυρὸν*, Heinrich *κυρτὸν*.

23. Anth. Plan. 13: *Πλάτωνος*. legitur etiam Cramer An. Par. IV. 373.

Digitized by Google

φρίσσουσαν πυκνοῖς κῶνον ὑπὸ ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄξει κῶμα κατὰ βλεφάρων.

24.

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθεν,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην·
πάντη δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ
φθέγξατο· ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσ', Ἄρης οἵαν ἤθελε τὴν Παφίην.

25.

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
φεῦ, φεῦ ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδαρος·
ἀλλ' οὕτως ἔστης, ὥς ποτε κρινομένη.

26.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

27.

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους.

et Iriarte 103. (ubi v. 4. deest.) — V. 2. *πυκνοῖς*, Brunck *πυκιγοῖς*. — ib. *κῶνον* Scaliger, v. *κῶμον*. — V. 4. *θελγομένων* An. Par. et Brunck, v. *θελγομένῳ*. — *ἄξει*, An. Par. *ἄζει*, fort. *στάξει*.

24. Ib. 160: *Πλάτωνος*. Legitur etiam in Cod. Vind. 311. et ap. Iri. 105. — V. 2. *ἰδίην*, C. Vind. *ἰδίαν*. — V. 5. *εἶδεν*, C. Vind. *ἴδεν*. — V. 6. *ἔξεσ', Ἄρης οἵαν* Stephanus, v. *ἔξεσεν οἵαν Ἄρης*, Iacobs *οἷά γ' Ἄρης*, Meineke *οἳ' ἂν Ἄρης*.

25. Anthol. Plan. 161: *τοῦ αὐτοῦ*. (*Πλάτωνος*) *Οὔτε σε Πραξιτέλης κτλ.* et 162 *Ἄδηλον· Ἁ Κύπρις κτλ.* Ordinem inverti et in unum coniunxi, quae arctissime cohaerent: est enim epigramma ad corrigendum Ep. 24. compositum. Et firmat cod. Iri. p. 105, ubi primum sine titulo *Ἁ Κύπρις* — deinde *τοῦ αὐτοῦ* (*Πλάτωνος*) *Οὔτε σε Πραξ.* — V. 3. et 4. etiam Cram. An. IV. 367. (ubi v. 4. *ἔστης, ὡς πάλαι*) et cod. Vind. 311. (ubi *τεχνάσατ' οὔτε σιδηρός.*)

26. Anthol. Plan. 248: *Πλάτωνος*.

27. Thomas Mag. vit. Aristophan. p. 160. West. Olympiod. vit. Platonis p. 384: *καὶ ἐπίγραμμα δὲ τοιοῦτον εἰς Ἀριστοφάνην αὐτὸς πεποίηκεν*, ubi libri v. 2. *ζηλοῦσαι*. et vit. Plat. II. ib. 391. ubi legitur: *ὅπερ ἤθελον εὑρεῖν, Διζόμεναι ψυχὴν κτλ.* Cf. Iriarte 98.

Digitized by Google

28.

Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,
ἧς καὶ ἐπὶ ῥυτίδων πικρὸς ἔπεστιν ἔρως·
ἃ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

29.

Ἁ Κύπρις Μούσαισι· κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ' ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
καὶ Μοῦσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

Ε Π Η.

30.

Ἅλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης·
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο·
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ
εὗδεν μειδιόων· ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
κηροχυτοῖς ἐντὸς λαγαροῖς ἐπὶ χείλεσι βαῖνον.

---

28. Athen. XIII. p. 589. C: ὁ δὲ καλὸς ἡμῶν Πλάτων οὐκ Ἀρχεάνασσαν τὴν Κολοφωνίαν ἑταίραν ἠγάπα, ὡς καὶ ᾄδειν εἰς αὐτὴν τάδε· Ἀρχεάνασσαν κτλ. Adde Diog. Laert. III. 31. At in Anthol. VII. 217. *Asclepiadi* tribuitur. Cf. Iriarte 104. — V. 1. Ἀρχεάνασσαν Anth., ceteri Ἀρχαιάνασσαν. — ἑταίρην, Anth. P. ἑταίραν. Cod. Mon. Diog. ἑταῖραν. — V. 2. ἧς, ᾗς Anth. et Suid. codd. 4 v. ῥυτίς. — καὶ ἐπὶ ῥυτίδων, ap. Ath. AB καὶ ἀπορρυτίδων, P καὶ ἀπὸ ῥυτίδων, C κἀπὶ ῥυτίδων. — πικρὸς ἔπεστιν ἔρως Athen., quamquam θριμὺς paulo aptius, Diog. ἔζετο θριμὺς ἔρως, Anth. Suid. ὁ γλυκὺς ἔζει ἔρως. — V. 3. ἃ, ap. Diog. cod. Cant. Vind. εὐ. Anth. P. longe aliter h. v. exhibet: ἃς νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐρασταί. sed cod. P. in m. vulgatam script. v. 3. 4. repetit. — V. 4. πρωτοπλόου Diog. et cod. P. in m. Anthol., ubi vulgo πρωτοβόλου, Ath. πρωτοπόρου. — δι' ὅσης, cod. P. 1 δισσάς. — ib. ἤλθετε, ap. Ath. PVL ἥκετε, om. B.

29. Diog. Laert. III. 33. *Platoni* tribuit. At in Anth. IX. 39. *Μουσικίου*, sed Plan. *Μουσικίου οἱ δὲ Πλάτωνος*. Iriar. 104. *Μουνικίου, οἱ δὲ Πλάτωνος*. — V. 2. Ἔρωτ', cod. Pal. ἔρων, Plan. ἔρον. — ib. ὔμμιν, cod. Pal. ὑμμιν, Plan. ὔμμι., Cod. Vind. 311 ὑμὶν ἐφ' ὁπλήσομαι. — V. 3. καὶ, Cod. Pal. κά, Diog. αἱ. — Κύπριν, cod. Pal. Κύπρι. — V. 4. ἡμῖν δ', Diog. om. δ' et ib. cod. Mon. πέτεται.

30. Anthol. Plan. 210: *Πλάτωνος*. In cod. Pal. s. poet. n. Additur: εὑρέθη δὲ ὑπὸ ὐθάτων (Brunck ὀδιτῶν). Pars est maioris carminis. — V. 7. κηροχυτοῖς, Iacobs et Orelli κηροχυτοῦσ' (i. e. κηροχυτοῦσαι). Coniicio κηροχύτου στόματος. — ib. λαγαροῖς, Brunck λαροῖς, fort. λιπαροῖς. Meineke coni. κηροχύτευν ἐντός, λαροῖς δ' ἐπὶ κτλ.

Digitized by Google

XXXV.

SIMMIAS THEBANUS.

1.

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου,
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλώς
βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην·
τύμβος ἔχει, καὶ γῆς ὀλίγον μέρος· ἀλλ' ὁ περισσὸς
αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

2.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
ἑρπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πέταλον πάντῃ θάλλοι δόδον, ἥ τε φιλόρρωξ

Simmias Thebanus. 1. Anth. Pal. VII. 21: *εἰς τὸν αὐτὸν Σοφοκλέα Σιμμίου Θηβαίου.* Ap. Pl. est *ἀδέσποτον.* — V. 1. *Σοφίλλοι* P, *Σοφίλου* Pl. — V. 2. affert Suid. v. *Κέκροψ.* — V. 3. et 4. affert s. poet. n. Suid. v. *Ἀχαρνείτης, Βλαισός, Θυμέλη.* — *πολλάκις ἔν*, fort. scrib. *πολλάκις δ'*, aut statuendum duorum epigrammatum reliquias temere coaluisse, quod firmare videtur cod. P, in cuius m. ad v. 5. legitur *εἰς τὸν αὐτὸν Σοφοκλέα.* Potuit autem eleganter prius epigramma sic continuari, ut poeta diceret, *hedera, quae olim in scena te ornavit, nunc circa sepulcrum tuum serpit.* — *σκηνῇσι*, Plan. edd. aliquot *σκανῇσι.* — V. 4. *βλαισὸς*, Küster *βλαστός.* — *Ἀχαρνίτης* P et Suid. tertio l., *Ἀχαρνείτης* Pl. Suid. prioribus locis. — Ceterum hoc epigramma cur Socratis discipulo abiudicemus, nihil causae esse videtur: dubium vero Ep. 2. Reliqua, quae in Anthologia *Simmiae* nomine vel simpliciter vel *γραμματικοῦ* voc. addito leguntur, ab hoc aliena, nisi forte quis VII. 60: *Σιμμίου εἰς Πλάτωνα τὸν φιλόσοφον* Thebano vindicare velit:

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης·
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
οὗτος ἔχει πλεῖστον, καὶ φθόνον οὐ φέρεται.

affert etiam sine nom. Diog. L. III. 43, ubi v. 2. *ἐνθάδε δὴ κεῖται δῖος* et v. 4. *τοῦτον ἔχει πλ. καὶ φθόνος οὐχ ἕπεται.* (nam Cobet ad exemplum Anthologiae mutavisse videtur.) Antiqua sane simplicitate commendatur hoc epigramma, sed Simmiam aetate superavisse Platonem parum probabile.

2. Anth. Pal. VII. 22: *Τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν Σοφοκλέα, τὸν Σοφίλλου, τὸν Ἀθηναῖον, τὸν συγχρονίσαντα Εὐριπίδῃ.* Sed ap. Iriarte Cat. Matr. 95. et in cod. Vind. 301. hoc epigr. subiungitur Simonidis ep. Anth. VII. 20: *Ἐσβέσθης γηραιὲ Σοφοκλέες, ἄνθος ἀοιδῶν Οἰνωπὸν Βάκχου βότρυν ἑρεπτόμενος.* ut haec duo epigrammata ab eodem poeta quicunque fuerit profecta esse videantur. — V. 1. *τύμβοιο Σοφοκλέος* Pl. Vind., *τύμβου σοφοκλέους* P.

Digitized by Google

ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευομένη,
εἵνεκεν εὐεπίης πιννοφρονος, ἣν ὁ μελιχρός
ἤσκησεν Μουσῶν αμμιγα καὶ Χαρίτων.

XXXVI.

ZEUXIS.

Ἡράκλεια πατρίς, Ζεῦξις δ' ὄνομ'. εἰ δέ τις ἀνδρῶν
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω. . . . . .
. . δοκῶ δ' ἡμᾶς οὐχὶ τὰ δεύτερ' ἔχειν.

V. 4. κλήματα, P κλίματα. — V. 5. et 6. affert Suid. s. poet. n. s. v. Ἄμμιγα et Πινυτός. — εὐεπίης P m. s., εὐμαθίης P pr. Pl. Vind. Suid. — μελιχρὸς P m. s., μελίχρους P pr. Pl. Vind. Suid. (sed Bernhardy μελιχρός.)

Zeuxis. Aristid. II. 521: ἄκουε δὴ καὶ ἑτέρου ζωγράφου, ὡς μὲν οὐ φαίης ἄν, ἀλαζονευομένου, ὡς δὲ οἱ ταῦτα δεινοὶ λέγουσιν, οὐ μεῖζον ἢ προσῆκον φρονήσαντος· λέγει δέ τί; Ἡράκλεια — νικάτω· δοκῶ δέ, φησίν, ἡμᾶς κτλ. Zeuxis his versibus aperte carpit Parrhasii Ep. 2. De Zeuxidis superbia conf. Plin. H. N. XXXV. 9. 62: „Fecit et — athletam, adeoque in illo sibi complacuit, ut versum subscriberet celebrem ex eo, *invisurum aliquem facilius, quam imitaturum* (μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται, alii Apollodoro tribuunt, vid. Plut. de glor. Ath. c. 2.) Quod Plinius ib. dicit: „In eum *Apollodorus* supra scriptus versus fecit, *Artem ipsis* (id est Neseae et Demophilo, nisi praestat *ipsi* h. e. Apollodoro) *ablatam Zeuxin ferre secum*," fortasse et ipsum ex epigrammate petitum, in quo etiam illa imagine potuit uti, quam Plinius ipse adhibet: „Ab hoc (Apollodoro) artis foris apertas Zeuxis Heracleotes intravit," quemadmodum Plinius saepius epigrammatis eiusmodi usus est. Graecum epigramma Romae in Cereris aede idem Plinius memorat XXXV. 12. 154: „Plastae laudatissimi fuere Damophilus et Gorgasus, iidem pictores, qui Cereris aedem Romae ad Circum maximum utroque genere artis suae excoluerant, versibus inscriptis Graece, quibus significarent, ab dextra Damophili esse, ad laeva Gorgasi." Epigramma tale videtur fuisse

Δαμόφιλος εἰσιόντι τὴν μὲν δεξιὰν
ἔγραψε, Γόργασος δὲ τὴν ἀριστεράν.

ab ipsis artificibus haud dubie profectum. *Timagorae* carmen dilucide memoratur ib. XXXV. 9. 58: „Quin immo certamen etiam picturae florente eo (Panaeno) institutum est Corinthi ac Delphis, primusque omnium certavit cum *Timagora* Chalcidense, superatus ab eo Pythiis, quod ipsius *Timagorae* carmine vetusto adparet, chronicorum errore non dubio." Item ad *Bupali* et *Athenidis* epigramma referendum est, quod legitur XXXVI. 5. 11: „complura enim in finitimis insulis simulacra postea fecere, sicut in Delo, quibus subiecerunt carmen, *non vitibus tantum censeri Chion, sed et operibus Archesai filiorum.*"

Digitized by Google

XXXVII.

PARRHASIUS.

1.

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψεν
Παρράσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς νιν ἔφυσε
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

2.

Εἰ καὶ ἄπιστα κλύουσι, λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος· ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

3.

Οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν
Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

Parrhasius. Ep. 1. Athen. XII. 543. C ex Clearcho: *οὗτος (Παρράσιος) γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν τρυφήσας λόγῳ τῆς ἀρετῆς ἀντελαμβάνετο καὶ ἐπέγραφε τοῖς ὑφ' αὑτοῦ ἐπιτελουμένοις ἔργοις· Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψε· καί τις ὑπεραλγήσας ἐπὶ τούτῳ παρέγραψε, Ῥαβδοδίαιτος ἀνήρ. ἐπέγραψε δὲ ἐπὶ πολλῶν ἔργων αὐτοῦ καὶ τάδε· Ἁβροδ. κτλ.* — V. 1. om. PV. — *τάδ' ἔγραψεν* (vel *ψε*) AB, et sic infra XV. p. 687, B, ubi *Ἁβρ ... Παρράσιος* affert, *τάδε γράψε* L, sed antea *τόδ' ἔγραψε* omnes. — V. 3. *ὅς νιν ἔφυσεν* Iacobs, *ὃς ἀνέφυσε* AB, *ὅς γ' ἀνέφυσε* PVL, sed fort. praestat *ὅς μ' ἀνέφυσε*. Consulto *v* ephelc. non adieci. — V. 4. *πρῶτα*, B *πρὸς τά*.

Ep. 2. Athen. ib. *ηὔχησε δ' ἀνεμεσήτως ἐν τούτοις· εἰ καὶ κτλ.* ita Schweigh., *ἐν τούτοισι καί* ABPV, *ἐπὶ τούτοισι καὶ* Bas. L. — Aristid. II. 520: *Ἀλλ' ἐμὲ πρώην ἀνὴρ ἑταῖρος ... ζωγράφου τι ἐπίγραμμα ἐξεδίδασκε τοιοῦτον· εἰ καὶ κτλ.* sic Reiske, *τοιουτονί καὶ Γ* Iunt., *τοιουτονί εἰ καὶ Θ*. — V. 1. *κλύουσι*, ap. Arist. *Γ* Iunt. *κλύοις εἰ*, *Θ κλύοις ἄ*. — *λέγω*, ap. Ath. Basil. *λέγων*. — *τάδε* om. Ath. — V. 2. *τέχνης*, ap. Ar. codd. praeter *Θ τῆς τέχνης*. — V. 3. *ἡμετέρης*, ap. Ath. B *ἡμετέρας*. — V. 4. *ἔγεντο*, ap. Ath. B *ἐγένετο*, P *ἐγίνετο*, ap. Ar. praeter *Θ ἐγένετο*.

Ep. 3. Athen. XII. 543. F: *τερατευόμενος δὲ ἔλεγεν (ὁ Παρράσιος), ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραψεν, ὡς ὅταν αὐτῷ ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὐτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα. ὅθεν καὶ ἐπέγραψεν τῷ πίνακι· Οἷος κτλ.* — V. 1. *πολλάκι*, B *πολλάκις*. — V. 2. *τοῖος*, B *δ' οἷος*. Respicit hoc et priora epigrammata Plinius H. N. XXXV. 71: „Namque et cognomina usurpavit, Habrodiaetum se appellando, aliisque versibus

Digitized by Google

XXXVIII.

PRAXITELES.

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ βάλλω
οὐκέτ' ὀϊστεύων, ἀλλ' ἀτενιζόμενος.

XXXIX.

DIONYSIUS MINOR.

1.

Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών.

principem artis, et eam ab se consummatam: super omnia Apollinis se radice ortum. [*hoc ex perdito aliquo epigrammate petitum videtur*] et Herculem, qui est Lindi, talem a se pictum, qualem saepe in quiete vidisset." Parrhasio fortasse aliquis tribuat epigr. ap. Athen. XI. 782. B:

Γράμμα Πηρασίοιο, τέχνα Μύος· ἐμμὶ δὲ ἔργον
Ἰλίου αἰπεινᾶς, ἂν ἕλον Ἀλαιίδαι.

ubi Iacobs *γράμματα Παρρασίοιο* coni., quod firmat Pausan. I. 28. 2: *τῷ δὲ Μυΐ ταῦτά τε καὶ τὰ λοιπὰ τῶν ἔργων Παρράσιον καταγράψαι τὸν Εὐήνορος*, sed recte Meineke tuetur Athenaei scripturam, ut antiquior aliquis artifex *Perasius* vel *Pirasius* intelligendus sit, scribendum autem cum Meinekio *Γραμμά* (vel potius *γραμμαὶ*) *Πηρασίοιο . . . ἐμμὶ δὲ εἰκών.*

Praxiteles. Athen. XIII. 591. A: *Καὶ Πραξιτέλης δὲ ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν Κνιδίαν Ἀφροδίτην ἀπ' αὐτῆς (Φρύνης) ἐπλάσατο, καὶ ἐν τῷ τοῦ Ἔρωτος βάσει τῇ ὑπὸ τὴν σκηνὴν τοῦ θεάτρου ἐπέγραψε· Πραξιτέλης κτλ.* Legitur etiam Anth. Plan. 204, ubi male *Σιμωνίδου* inscribitur. — V. 1. *διηκρίβωσεν*, P *διηρίβου τὸν*. — V. 3. *ἐμεῖο*, PVL *ἐμοῖο*. — *βάλλω*, Plan. *τίκτω*. — V. 4. *ὀϊστεύων*, Plan. *τοξεύων*.

Dionysius minor. Ep. 1. Plut. de Alex. virt. II. 5: *Διονύσιος δὲ [ὁ νεώτερος] Ἀπόλλωνος υἱὸν αὐτὸν ὠνόμασεν ἐπιγράψας Δωρίδος κτλ.* Resp. Epist. Socr. auctor 35: *ἀπόπεμψον δέ μοι μίαν . . , . Μοιριδος καὶ Ἐχεκράτους πυθόμενος τὰς περὶ Διονυσίου συνουσίας· πάνυ γὰρ ἀξιηκόους αὐτὰς οἶομαι εἶναι ἀνδρὸς φόβου (Φοίβου) κοινώμασι βλαστόντος* et ib. 36: *ἀνδρὸς Κέκροπος κοινώμασι βλαστόντος.* et memini alibi me integrum epigramma legere.

Digitized by Google

2.

Χαῖρε, καὶ ἡδόμενον βίοτον διάσωζε τυράννου.

XL.

MAMERCUS.

Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
ἀσπίδας ἀσπιδίοις εἷλομεν εὐτέλεσιν.

XLI.

ASTYDAMAS.

Εἶθ' ἐγὼ ἐν κείνοις γενόμην ἢ κεῖνοι ἅμ' ἡμῖν,
οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν,
ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·
νῦν δὲ χρόνῳ προέχουσ', ᾧ φθόνος οὐχ ἕπεται.

Ep. 2. Plato Epist. III. ad Dionysium: *σὺ μὲν γὰρ δὴ καὶ τὸν θεόν, ὡς ἤγγειλαν οἱ τότε θεωροῦντες, προσεῖπες ἐν Δελφοῖς αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι (χαῖρε) καὶ γέγραφας, ὡς φασί· χαῖρε κτλ.* — *βίοτον*, n *βίον*. Versus est fort. ex eodem epigrammate (sive elegia) ex quo Fr. 1.

Mamercus. Plut. Timol. 31: *Καὶ γὰρ ὁ Μάμερκος ἐπὶ τῷ ποιήματα γράφειν καὶ τραγῳδίας μέγα φρονῶν ἐκόμπαζε νικήσας τοὺς μισθοφόρους, καὶ τὰς ἀσπίδας ἀναθεὶς τοῖς θεοῖς ἐλεγεῖον ὑβριστικὸν ἐπέγραψε· τάσδ' κτλ.* — V. 1. *τάσδ' ὀστρειογραφεῖς* C et Stephanus, *τάς τε ὀστριαγραφεῖς* P, *τάς τε ὀστριογραφεῖς* Fa, *τάσδε τὰς ὀστρειογραφεῖς* BM, *τάσδε τὰς ὀστριογραφεῖς* ADia. — ib. *χρυσελεφαντηλέκτρους* C et Xylander, *χρυσελεφαντεπηλέκτρους* Bia, *χρυσελεφαντεπιλεκτρους* ADPM, *χρυσελεφαντεπιλέκτους* Fa. — V. 2. *ἀσπίδας* om. P. — *ἀσπιδίοις* om. Fa.

Astydamas. Photius 502. 21: *Σαυτὴν ἐπαινεῖς, ὥςπερ Ἀστυδάμας ποτέ· Ἀστυδάμᾳ τῷ Μυρσίλου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου δοθῆναι ὑπ' Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο· Εἶθ' ἐγὼ κτλ.* Add. Suidas s. v. *Σαυτὴν ἐπαινεῖς*, Apostol. XV. 36. De proverbio cf. etiam Zenob. V. 100. Arsen. 427. — V. 1. *γενόμην*, Phot. et ap. Suid. V *γενοίμην*. — V. 3. *ἐπ' ἀληθείης*, Phot. et ap. Suid. A *ἐπ' ἀληθείας*. — ibid. *ἐκρίθην*, Phot. *ἐκρίθη*. — V. 4. *προέχουσ'*, *ᾧ* Bentlei, *παρέχουσ'*, *οἷς* Suid., *προσεχούσαις*, *οἷς* Phot., *προσέχουσ' οἷς* Apost., sed R *προέχουσ'*.

Digitized by Google

XLII.

PHILISCUS.

(Νῦν) ὦ Καλλιόπης θύγατερ, πολυηγόρε Φρόντι,
δείξεις, εἴ τι φρονεῖς καί τι περισσὸν ἔχεις·
τὸν γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντα καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα λυσιδάϊμνον,
δύντα κατὰ φθιμένων, καὶ σοφῷ ἀθάνατον·
ὃς τό τ' ἐμῆς ψυχῆς δείξαι φιλέταιρον ἅπασιν,
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

XLIII.

APHAREUS.

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκεν
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

Philiscus. Plutarch. vit. dec. oratt. vit. Lysiae 3: ἐποίησε δὲ καὶ εἰς αὐτὸν (Λυσίαν) ἐπίγραμμα Φιλίσκος, ὁ Ἰσοκράτους μὲν γνώριμος, ἑταῖρος δὲ Λυσίου — ἔχει δὲ οὕτως· ὦ Καλλίπης κτλ. — V. 1. Νῦν ὦ Iacobs, Καλλιόπης Wyttenbach, vulgo ὦ Καλλίππης. (P καλλίπη.) — ib. Φρόντι Wyttenbach, vulgo φροντίδι. — V. 3. τὸν ... μεθαρμοσθέντα libri, Salmasius τῷ ... μεθαρμοσθέντι. — V. 4. κόσμοισι, P κόσμησι. — V. 5. λυσιδάϊμνον, Λυσίᾳ ὕμνον Salmasius. — V. 6. δύντα Iacobs et ut videtur A, δόντα vulgo, δύντι Markland, ζῶντι Wyttenbach. — κατὰ φθιμένων A, ut Markland coniecit, καταφθιμένων HP, καταφθίμενον vulgo. — σοφῷ, Wyttenbach στέφος, Sintenis ζόφῳ vel ζόφον. — V. 7. τό τ' Wyttenbach, vulgo τότ'. — δείξαι, Brunck δείξει. Ceterum non tam epigramma videtur, quam exordium elegiae.

apparetque Chrysippum simul Cratetis carmine usum esse. Ceterum Crates haud dubie integrum carmen, quod Choerilus Sardanapalli monumento inscriptum esse dixit, inverterat et fortasse Cratetis est versus, qui exstat ap. Chrysippum *π. ἀντιφατικῶν* c. 3: *εἰ ἀληθῶς τις τῶν ποιητῶν οὕτως ἀπεφαίνετο* (nam Cratetem a Chrysippo poetam nuncupari non incredibile est)

Οὔ μοι Σαρδανάπαλλος ἀρέσκει τὴν διάνοιαν.

Crates fortasse etiam illa, quae Choerilus ipse addidit, imitatus est, potuitque dicere:

Ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι·
κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

unde possis varietates quae apud Strabonem XIV. 672. et Schol. Arist. Ar. 1021 reperiuntur, explicare.

Fr. 13. Diog. L. VI. 90: *ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς, οἱ δὲ ἐν Κορίνθῳ ὑπὸ Εὐθυκράτους, καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν· Ἕλκε κτλ.* — Cod. Vind. ἕλκα et *ἀπὸ β.*

Fr. 14. Diog. L. VI. 92: *Συναισθανόμενος, ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων· Στείχεις κτλ. ἦν γὰρ κυφὸς ὑπὸ χρόνου.* — V. 2. κυφὸς Casaubonus, legebatur *κυφὸς ὤρην.* Sed vix recte haec in hexametros redigunt, coniicio:

Στείχεις δὴ φίλε κύρτων,
βαίνεις τ' εἰς ἀΐδαο
κυφαύχην διὰ γῆρας.

Fr. 15. Diog. L. VI. 86: *ἔστι καὶ ἐφημερὶς ἡ Φρυλλουμένη οὕτως ἔχουσα· Τίθει κτλ.* — V. 2. *πέντε* codd., v. *δέκα.* — V. 3. *πόρνῃ*, cod. Steph. *πόρνῳ.*

Fr. 16. Teles Stob. XCVII. 31: *Οὐκ ἀηδῶς γὰρ Κράτης, οὐκ οἶσθα, φησί, κτλ.* Cf. Diog. L. VI. 86: *καὶ ὅτι ἐκ φιλοσοφίας αὐτῷ περιγένοιτο Θέρμων κτλ.*

Digitized by Google

17.

Ἔρωτα παύει λιμός, εἰ δὲ μὴ χρόνος·
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεράπειά σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

18.

Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

19.

Ὠνείδισάς μοι γῆρας, ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

20.

Κράτης Κράτητα χρημάτων ἀποστερεῖ.

Fr. 17. Anthol. Pal. IX. 497. *Κράτητος* (cod. Vind. 311) Paroem. II. p. 754. Diog. L. VI. 86: *φέρεται δ' αὐτοῦ κἀκεῖνο· Ἔρωτα κτλ.* ubi v. 2 et 3 in unum contracti: *ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος.* Suidas v. *Κράτης* affert V. 1 et deinde *εἰ δὲ μὴ βρόχος.* Cf. Iulian Or. VI. 198. D, ubi Diogeni et Crateti tribuitur: *ἔρωτα λύει λιμός, ἂν δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι, βρόχος.* Respicit Clem. Al. Str. II. p. 493: *οὗτος ἐν ἄλλοις εὐθυρημόνως γράφει, τῆς εἰς τὰ ἀφροδίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λιμόν, εἰ δὲ μὴ βρόχον* et Theodoret. XII. p. 172. — V. 2. *ἐὰν δὲ μηδὲ*, cod. Vind. *εἰ δὲ μὴ.* — V. 3. *θεράπεια*, P. *θεραπεῖα*, v. *θεραπείᾳ.* — *ἠρτήσθω*, P. *ἠρτείσθω.*

Fr. 18. Stob. CXVI. 31 *Κράτητος· Ὁ γὰρ κτλ.* — V. 1. *μὲν* Voss. Gesn. marg., *με* Vind., v. *οὐ.* Meineke Crateti poetae antiquae comoediae tribuit, sed huius fabulis non usus est Stobaeus, et conveniunt hi versus inprimis Cynico.

Fr. 19. Stob. CXV. 9 *Κράτητος ἐξ Ἀντιφάνους* (Vind. *ἐξ ἀνφα*). Apost. XVIII. 59. e s. p. n. Coniicias *Κράτητος ἢ Ἀντιφάνους*, ut Meineke suspicatus est, qui cum ante Crateti comico tribuisset, post Antiphani vindicavit, at videntur Cynici esse versus, fortasse ex Antiphane illi quidem petiti. — V. 1. *γῆρας*, Voss. *τὸ γῆρας.* — V. 2. *οὗ* Gesner coni., v. *ᾧ.* — *θάνατος*, A *θάνατος δ'.* — Post v. 4 sequitur *τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ*, quem Grotius separavit, quippe qui sit Sophoclis.

Fr. 20. Simplic. Comm. in Epict. Ench. p. 65: *καὶ πενία δέ, εἴποι ἄν ὁ Ἐπίκτητος, οὐδὲν δεινόν· ἐπεὶ καὶ Κράτητι ἂν ἔδοξε τῷ Θηβαίῳ δεινόν, ὃς τῶν ἑαυτοῦ τῇ πόλει παραχωρήσας καὶ εἰπὼν Κράτης κτλ. τότε ἔδοξεν ἐλευθεροῦσθαι, καὶ στέμμανον ὡς ἐπὶ ἐλευθερίᾳ περιεβάλλετο, ὅτι τὴν πενίαν ἀντὶ τῆς εὐπορίας ἠλλάξατο.* Aliter Suidas v. *Κράτης — οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον, ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ εἶπεν·*

Ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης.

atque etiam Isidor. Pelus. Ep. II. 146: *Κρ. Κρ. Θηβαῖον ἐλευθεροῖ.* Respicit huc Origen. in Matthaeum XV. 15. et adv. Cels. II. p. 84 ed. Spenc. Cf. etiam Leutsch Paroem. II. 486. Apulei. Flor. II. 14.

Digitized by Google

21.

Diog. L. VIII. 93: *πρὸς Ἀλέξανδρον* (Perizon. *Κάσσανδρον*) *πυθόμενον, εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη· καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει· ἔχειν δὲ πατρίδα καὶ* (om. Cod. Vind.) *πενίαν ἀνάλωτα τῇ τύχῃ, καὶ Διογένους εἶναι πολίτης, ἀνεπιβουλεύτου φθόνῳ.* Iambici numeri aperta vestigia, sed versus restitui nequeunt.

22.

Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

Suspicor *Cratetis* esse etiam alia nonnulla, quae apud Stobaeum *Charetis* nomine leguntur, primum XVII. 3, cf. Apostol. V. 26. c:

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν·
μόνη γὰρ ὢν πέπονθεν οὐκ ἔχει χάριν,
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται,
οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά.

porro XXXIII. 4. (Maxim. Conf. II. 597. Apostol. V. 53. a.)

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν·
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

denique XXXVIII. 3:

Μὴ φθόνει τοῖς εὐτυχοῦσιν, μὴ δοκῇς εἶναι κακός.

Illud vero epigramma in Anth. Pal. IX. 359, cui respondet Metrodori epigramma in Anth. Pal. IX. 360 (cf. Cram. An. Par. IV. 366) Planudes quidem tribuit *Crateti*, sed Cod. Pal. *Ποσειδίππου*, *οἱ δὲ Πλάτωνος τοῦ κωμικοῦ*. Legitur etiam apud Stob. Flor. XCVIII. 57. ubi item olim Crateti tribuebatur, sed A Trinc. *Ποσιδίππου*.

Non omnia haec Crates litteris mandavisse videtur, sed insunt dicteria subito fusa, nec tamen satis certo ubique haec duo genera discernere licet. Reperiuntur alia apophthegmata Cratetis (collecta ad Orellio Op. Sent. I. 132 seqq) ex quibus quod est ap. Stob. XIV. 16: *Κράτης τοὺς κόλακάς φησι συγκατανευσιφάγους* fort. ad *elegias* pertinet. Cratetis dicterium extat praeterea ap. Diog. VI. 93: *καὶ θυγατέρα ἐξέδωκε κείνοις* (*μαθηταῖς αὐτοῦ*) *ὡς αὐτὸς ἔφη, ἐπὶ*

Fr. 22. Diog. L. VI. 98: *γέγραφε* (ad Cratetem enim, non ad Hipparchiam haec referenda) *καὶ τραγῳδίας ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο· Οὐχ κτλ.* — V. 1. *μία*, Cod. Ar. *μία μοι*.

Digitized by Google

πείρᾳ δοὺς τριάκονθ' ἡμέρας, si αὐτὸς germana est lectio; sive ὁ αὐτὸς praeferas, Menandri erit, qui dixerit: καὶ θυγατέρ' ἐξέδωκε δὴ πεῖνος ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας.

XLIX.

THEOCRITUS CHIUS.

Ἑρμίου εὐνούχου τε καὶ Εὐβούλου τόδε δούλου
μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης·
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν
ἀντ' Ἀκαδημείας Βορβόρου ἐν προχοαῖς.

L.

MENANDER.

1.

Χαῖρε, Νεοκλείδα δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

2.

Re fruere ut natus mortalis: dilige sed rem,
Tanquam immortalis: sors est in utroque verenda.

Theocritus. Euseb. Praep. Ev. XV. 793: *Θεόκριτος γοῦν ὁ Χῖος ἐποίησεν ἐπίγραμμα τοιοῦτον· Ἑρμ. κτλ.* eadem Apostol. VI. 38. a., v. 1 et 2 etiam Diog. L. V. 11 ubi legitur: *Ἑρμείου εὐνούχου ἠδ' Εὐβούλου ἅμα δούλου σῆμα κ. κ. τεῦξεν Ἀρ.* — V. 1. *Ἑρμίου* Meineke, v. *Ἑρμείου*, sed CDFG *Ἑρμοῦ. — τε καὶ*, CDFG *δὲ καὶ.* — V. 3 inde ab *εἵλετο* et v. 4 affert Plut. de exil. c. 10 addens *ἔστι γὰρ ποταμὸς περὶ Πέλλην, ὃν Μακεδόνες Βόρβορον καλοῦσι.* — V. 4. *ἀντ'*, I et E supra *ἀντίον* — *Ἀκαδημείας*, DFG *Ἀκαδημίας* ut Plut.

Menander. Fr. 1. Anth. Pal. VII. 72: *εἰς ἐπίκουρον καὶ θεμιστοκλέα μενάνδρου κωμικοῦ.* — V. 2. *ῥύσατ'*, *ὁ δ'* Plan., *ῥύσατ' ὅδ'* Pal.

Fr. 2. Extat apud Ausonium Epigr. CXLV: *ex Menandro, re fruere etc.* Simillimum Luciani epigr. in Anth. Pal. X. 26: *ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε, ὡς δὲ βιωσόμενος φείδεο τῶν πτεάνων· ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.* — Sed quod ibid. ap. Auson. legitur CXLI: *De ingratis ex Menandro*, trimetris quinque constans, non recepi, cum ex comoedia aliqua petitum videatur, quamquam fortasse etiam hoc epigramma ex comoediae versiculis expressum.

Digitized by Google

Poteram alios praeterea in numerum *Elegiographorum* referre, sed iudicium plerumque anceps. Sic fortasse fuit Elegiographus *Theodorus*, quem memorat Athen. III. 122. B: *Κηφισόδωρος γοῦν ὁ Ἰσοκράτους τοῦ ῥήτορος μαθητὴς ἐν τῷ τρίτῳ τῶν πρὸς Ἀριστοτέλην λέγει, ὅτι εὕροι τις ἂν ὑπὸ τῶν ἄλλων ποιητῶν ἢ καὶ σοφιστῶν ἓν ἢ δύο γοῦν πονηρῶς εἰρημένα, οἷα παρὰ μὲν Ἀρχιλόχῳ — Θεοδώρῳ δὲ τὸ κελεύειν μὲν πλέον ἔχειν, ἐπαινεῖν δὲ τὸ ἴσον.* ut dixerit:

Ἀλλ' ἔθελε πλεῖον μὲν ἔχειν, αἴνει δὲ τὸ ἴσον.

sed praestat de Theodoro sophista haec accipere, vid. Plato Phaedr. 351. A. Alius *Theodorus* epigrammata scripsisse dicitur a Diog. Laert. II. 104., diversus haud dubie a Colophonio poeta, de quo vid. Ath. XIV. 618. E: *ἦν δὲ καὶ ἐπὶ ταῖς ἑώραις τις ἐπ' Ἠριγόνῃ, ἣν καὶ ἀλῆτιν λέγουσιν ᾠδήν· Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ. λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστι· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς ἑώρας.*

Epigrammata scoptica fortasse composuit *Euclides*, quem memorat Aristot. Poet. c. 22: *ὥστε οὐκ ὀρθῶς ψέγουσιν οἱ ἐπιτιμῶντες τῷ τοιούτῳ τρόπῳ τῆς διαλέκτου καὶ διακωμῳδοῦντες τὸν ποιητήν, οἷον Εὐκλείδης ὁ ἀρχαῖος, ὡς ῥᾴδιον ποιεῖν, εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁκόσον βούλεται, ἰαμβοποιήσας ἐν αὐτῇ τῇ λέξει·*

ἠτίχαριν εἶδον Μαραθῶνάδε βαδίζοντα.

(Bc *ἤτ* ·.· *χάριν*, Ac *ἤτει χάριν*, Na *εἴ τι χάριν*, deinde *ἴδον* AcBc) *καί·*

οὐκ ἂν γεράμενος τὸν ἐκείνου ἐλλέβορον.

(*ἂν γ' ἐράμενος* NaBc, *τῶν* Bc, *ἐλέβορον* Na.) *Antiquus* dicitur Aristoteli fortasse ut distinguatur a minore aliquo Euclide, quem Pollux III. 82: *Ὑπερίδης δὲ καὶ Εὐκλείδης ὁμόδουλον λέγουσιν* et VI. 161: *καὶ ἡμίκακον δὲ Εὐκλείδης λέγει καὶ Σοφοκλῆς* adhibet. Haec quae Pollux habet, de Euclide *Socratico* intelligenda esse existimo.

Porro extant epigrammata, quae sane antiquorum nomina prae se ferunt, sed saepe valde dubium, quae fides inscriptioni sit habenda. Quare non recepi Agidis epigr. in Anth. P. VI. 152:

Καὶ στάλικας καὶ πτηνὰ λαγωβόλα σοὶ τάδε Μείδων,
Φοῖβε, σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις,
ἔργων ἐξ ὀλίγων ὀλίγην δόσιν· ἢν δέ τι μεῖζον
δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

nam auctorem huius epigrammatis esse Agin Argivum, Alexandri magni aequalem, quem Curtius *pessimum carminum post Cheorilum conditorem* vocat, nimis incertum. Nec *Democriti* epigr. Anth. Plan. 180 recipiendum fuit, cum sit a philosopho prorsus alienum, et haud dubie referendum ad epigrammatographum, quem Diog. L. IX. memorat. ·ος quod inscribitur epigramma Anth. VII. 436., *Ἡγήμονος* pa- ·se demonstrari nequit. *Xenocratis* quod extat epigramma ·an. 186., cuius sit prorsus incertum.

Digitized by Google

Αἰσχίνου ῥήτορος epigramma extat Anth. VI. 330:

Θνητῶν μὲν τέχναις ἀπορούμενος, εἰς δὲ τὸ θεῖον
ἐλπίδα πᾶσαν ἔχων, προλιπὼν εὔπαιδας Ἀθήνας,
ἦλθην ἐλθών, Ἀσκλήπιε, πρὸς τὸ σὸν ἄλσος,
ἕλκος ἔχων κεφαλῆς ἐνιαύσιον, ἐν τρισὶ μησίν.

ab oratore omnino alienum, quamquam is carmina amatoria composuit (vid. or. in Timarch. 136.), sed fortasse profectum est ab Aeschine rhetore Milesio, Pompeii aequali (vid. Strabo XIV. 636.) vel Mitylenaeo, (vid. Diog. L. II. 64.)

Aeschini oratori vindicare studuit Goettling epigr. Anth. IX. 288. ΓΕΜΙΝΟΤ (cod. Pal. ΓΑΙΜΙΝΟΤ exhibere dicit Goettling, unde *Αἰσχίνου* coniecit:)

Οὗτος ὁ Κεκροπίδησι βαρὺς λίθος Ἄρεϊ κεῖμαι,
ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης,
ὑβρίζων Μαραθῶνα καὶ ἀγχιάλου Σαλαμῖνος
ἔργα, Μακηδονίης ἔγχεσι κεκλιμένα.
ὄμνυε νῦν νέκυας, Δημόσθενες· αὐτὰρ ἔγωγε
καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

Sed quin novitium sit epigramma, vix dubium videtur.

Alia epigrammata antiquitatis quidem specie commendantur, sed cum in tanta carminum brevitate admodum fallax sit hoc argumentum, ubi nihil omnino de aetate constat, ad quam referendus sit epigrammatis auctor, nolui recipere: huc pertinet exempli gratia *Dorieus*, cuius versus aliquot servavit Athen. X. 412. F:

Τοῖος ἦην Μίλων, ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος,
τετραετῆ δαμάλην ἐν Διὸς εἰλαπίναις,
ὤμοις δὲ κτῆνος τὸ πελώριον ὡς νέον ἄρνα
ἤνεγκεν δι' ὅλης κοῦφα πανηγύρεως·
καὶ θάμβος μέν, ἀτὰρ τοῦδε πλέον ἦνυσε θαῦμα
πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας, πάντα κατ' ὦν μῶνος ἐδαίσατό νιν.

Item *Philiades* Megarensis, cuius epigramma servavit Steph. B. v. *Θέσπεια* (Eustath. 266, 13.) sane antiquus poeta fuisse videtur:

Ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

sed iudicium nimis anceps: idem valet de *Apollodoro*, cuius epigramma in Pythagoram servavit Athen. X. 418., de *Hegesippo* poeta haud ineleganti, de *Hermocreonte*, aliis, quorum epigrammata in Anthologia exstant. — *Sostratus*, quem memorat Eustath. Od. 1665, 48: *Σώστρατος δὲ ἐν Τειρεσίᾳ, ποίημα δέ ἐστιν ἐλεγειακόν, φησὶ τὸν Τειρεσίαν θήλειαν τὴν ἀρχὴν γεννηθῆναι καὶ ἐκτραφῆναι ὑπὸ Χαριτλοῦς*, novitius poeta videtur.

Digitized by Google

Incerta omnia de *Nicomacho*, quem dicit *Hephaest.* p. 27: *Καὶ πάλιν Νικομάχου τοῦ τὴν περὶ ζωγράφων ἐλεγείαν πεποιηκότος·*

Οὗτος δή σοι ὁ κλεινὸς ἀν' Ἑλλάδα πᾶσαν Ἀπολλόδωρος·
γινώσκεις τοὔνομα τοῦτο κλύων.

Cf. Eustath. p. 984, 10.

Sunt alii poetae, qui in ipso confinio saeculi *quarti* et *tertii* a. Chr. n. extiterunt, quos quorsum referas ambigi potest, velut *Theaetetus*, *Nossis* Locris oriunda, fortasse etiam *Nicaenetus* Samius, *Addaeus* Macedo *), alii, sed tamen satius duxi ab hac sylloge horum poetarum carmina segregare.

Illud denique monendum est, epigrammatum non semper eum esse auctorem, qui dici videtur, quemadmodum quod est apud Aelianum H. Anim. XI. 40: *τετράκερων δὲ ἔλαφον Νικοκρέων ὁ Κύπριος ἔσχεν, καὶ ἀνέθηκε Πυθοῖ καὶ ὑπέγραψε·*

Σῆς ἕνεκεν Λητοῦς τοξαλκέτα κοῦρ' ἐπινοίας
τήνδ' ἔλε Νικοκρέων τετράκερων ἔλαφον.

neque enim inde sequitur Nicocreontem epigrammatis auctorem esse. At fieri potest, ut epigrammata in monumentis inscripta ab ipsis, qui illa monumenta dedicaverant vel in quorum honorem posita erant, sint confecta, velut ipsius *Thrasymachi* fortasse est epigramma, quod Athen. X. 454. F:

Τοὔνομα θῆτα, ῥῶ, ἄλφα, σάν, ὖ, μῦ, ἄλφα, χῖ, οὖ, σάν·
πατρὶς Χαλκηδών· ἡ δὲ τέχνη σοφίη.

tumulo illius inscriptum fuisse testatur.

Fortasse etiam *Pisistratus* minor, Hippiae filius non alienus a poesi fuit, ut huic tribuere possis epigramma ap. Thucyd. VI. 54:

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος, Ἵππιον υἱός,
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

Sed consulto haec ut omnia omnino epigrammata adespota praetermisi.

*) Huic enim videntur vindicanda omnia epigrammata in Anth. Pal. praeter duo, quorum unum (VII. 305.) *Addaeo Mitylenaeo* tribuitur, qui videtur non diversus esse ab eo, qui *περὶ ἀγαλματοποιῶν* scripsit (vid. Preller Polem. p. 97.), alterum (VI. 258.), dorica dialecto scriptum, cum Macedo ionica sit usus, ab utroque videtur alienum et fort. *Ἀλκαίου* scribendum.

Digitized by Google

IAMBOGRAPHI.

Digitized by Google

Digitized by Google

I.

ARCHILOCHUS.

ΕΛΕΓΕΙΑ.

1. [52.] *)

Εἰμὶ δ' ἐγὼ Θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

* 2.

Οὐ γάρ μοι πενίη πατρώϊος, οὐδ' ἀπὸ πάππων
εἰμὶ λιπερνήτης.

Archilochus. Fr. 1. Athen. XIV. 627. C: *Ἀρχίλοχος γοῦν ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δ' ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων· Εἰμὶ δ' ἐγὼ Θεράπων κτλ.* unde Eust. 1320, 2. Suae orationi haec accommodavit Plut. vit. Phoc. c. 7. quem sequitur Themist. Or. XV. p. 185 *ἀμφότερον, Θερ.* V. 1. *μὲν* om. Them. — *ἄνακτος* Ath., *Θεοῖο* Plut. (C *ἐνυαλιοῖς θεοῖς*) Them. — V. 2. *Μουσέων*, Them. Athen. epit. Eusth. *Μουσάων.* — *ἐρατὸν*, Plut. *ἐρατᾶν*, (C *ἐρετᾶν*, FaV *ἐρατῶν*). — *ἐπιστάμενος*, ap. Ath. B *ἐπιστάμενον.* Parodia lusit Theod. Prodr. in Excerpt. Bibl. Paris. VI. 528: *ἀμφότερον Θεράπων μὲν πραγματικοῖο θεοῖο καὶ Μουσάων ἐρατὸν δῶρον ἐπιστάμενος.*

Fr. 2. Et. M. 566, 50: *Λιπερνῆτις, θηλυκόν, τὸ ἀρσενικὸν λιπερνήτης· σημαίνει τὸν ἐνδεῆ καὶ πτωχὸν παρὰ τὸ λείπεσθαι ἐρνίων, ὅ ἐστι φυτῶν.* sed Cod. V: *λιπερνίτις καὶ λιπερνίτις θηλυκόν· σημ. τ. ἐ. κ. πτ. οἱον· οὐ γὰρ ... λιπερνίτης παρὰ τὸ κτλ.* scripsi *λιπερνήτης.* Cf. Anth. Pal. IX. 649. et *Archilocho* vindicavi. Schneidewin et O. Schneider ad Callimachi Hecalen referunt, *λιπερνῆτις* corrigentes. Quod sequitur in Et. M. (eadem Et. Gud. 371, 28.) *ἢ λιπερνήτας φησὶν Ἀριστόξενος* (*ἀριστοτέλης ξένος* PD, recte ut videtur *Ἀρχίλοχος* Meineke) *τοὺς ἁλιεῖς καὶ θαλασσίους ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν* iam non ad Archiloch. Fr. 52. pertinet, sed ad hoc ipsum distichon.

---

*) Numeri adiecti sunt editionis Liebelianae.

Digitized by Google

3. [56.]

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος.

4. [50.]

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται οὐδὲ θαμειαὶ
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
ταύτης γὰρ κεῖνοι δαίμονες εἰσὶ μάχης
δεσπόται Εὐβοίης δουρικλυτοί.

5. [49.]

Ἀλλ' ἄγε, σὺν κώθωνι θοῇς διὰ σέλματα νηὸς
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

6. [51.]

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ

Fr. 3. Athen. I. 30. F: *Ἀρχίλοχος τὸν Νάξιον οἶνον τῷ νέκταρι παραβάλλει*, (Eust. Od. 1635, 48.) ὃς καὶ πού φησιν· *Ἐν κτλ.* Adde Synes. Epist. CXXIX: *ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ, ἐν δορὶ ... κεκλιμένος, οὐκ οἶδα εἰ μᾶλλον Ἀρχιλόχῳ εἰπεῖν ταῦτα προσήκοντα ἦν*, unde Suidas v. *ὑπνομαχῶ* et ex parte v. *Ἰσμαρικὸς οἶνος*, — V. 1. *μᾶζα* Syn., *μάζα* Ath. — *μεμαγμένη*, B *μεμιγμένη*. — *δ'* om. Syn. — V. 2. *Ἰσμαρικός*, B *Ἰσμαρινός*.

Fr. 4. Plut. vit. Thes. c. 5: *Οἱ δὲ Ἄβαντες ἐκείραντο πρῶτοι τὸν τρόπον τοῦτον, οὐχ ὑπ' Ἀράβων διδαχθέντες, ὡς ἔνιοι νομίζουσιν, οὐδὲ Μυσοὺς ζηλώσαντες, ἀλλ' ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι καὶ μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τούτοις· Οὔ τοι κτλ.* — V. 1. *ἐπὶ*, Schneidewin *ἔτι*. — *τανύσσεται*, ia *τανίσεται*. — V. 3. *ἔσσεται*, ia *ἔσται*. — V. 4. *κεῖνοι*, C *ἐκεῖνοι*. — *δαίμονες* Babx, vulgo *δαήμονες*. — V. 5. *Εὐβοίης* Schneidewin, vulgo *Εὐβοίας*.

Fr. 5. Athen. XI. 483. D: *Μνημονεύει αὐτοῦ (τοῦ κώθωνος) καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου οὕτως· Ἀλλ' ἄγε κτλ.* — V. 1. *Ἀλλ' ἄγε* VL, *ἀλλά τε* ABP. — V. 4. *ἐν* VL, *μέν* ABP. — *φυλακῇ τῇδε* PVL, *φυλακῆς τῇδε* B, fort. *νηφέμεναι φυλακῆς τῆσδε*.

Fr. 6. Plut. Lacon. inst. 34: *Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα, ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα, ἢ ἀποθανεῖν· Ἀσπίδι ... ἐθέλων· ἀσπὶς ἐκείνη ... κακίω.* Et v. l. 2. affert Strabo X. p. 457. ubi *ἀσπίδι ... ἀνείλετο* (vel *ἀνείλατο*, *ἀϊείλατο*, *ἀγείλετο*) *τὴν παρὰ θάμνῳ* (tres codd. *θάμνον*) et XII. 549., ubi *ἀσπίδα ..... ἀνείλετο* (sic Epit., om. codd.) *τὴν περὶ θάμνον*. Auctor vit. Arati p. 521. Westerm. et Aristoph. Pac. v. 1298. ubi dicit schol.: *Ἀρχιλόχου ἐστὶ τὸ δίστιχον. ... Οὗτος ὁ Ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ (ἔστι δὲ ἔθνος Θρᾴκης), καὶ φοβηθεὶς ἔφυγε, ῥίψας ἑαυτοῦ τὰ ὅπλα· αὐτὸν οὖν διαβάλλων λέγει.*

Digitized by Google

ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

7. [58.]

Ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι.

8.

Αἰσιμίδη, δειλοῦ μὲν ἐπίρρησιν μελεδαίνων,
οὐδεὶς ἂν μάλα πόλλ' ἰμερόεντα πάθοι.

ΠΡΟΣ ΠΕΡΙΚΛΕΑ.

9. [48.]

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται οὐδὲ πόλις·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης

V. 2. ἔντος Brunck, vulgo ἐντός. — V. 3. αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος, quod omisit Plut., suppeditavit Sextus Emp. Hypot. III. p. 182. (172. Bekk.): Ἀρχίλοχος δέ, ὥσπερ σεμνυνόμενος ἡμῖν ἐπὶ τῷ τὴν ἀσπίδα ῥίψας φυγεῖν, ἐν τοῖς ποιήμασι περὶ ἑαυτοῦ φησίν· Ἀσπίδι . . . ἐθέλων· αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος. Sed videtur iam antiquitus alia lectio fuisse, quod significat Aristophanes: Ἀσπίδι ... ἐθέλων. TP. Εἰπέ μοι, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ἔδεις; ΠΑΙ. Ψυχὴν δ' ἐξεσάωσα. TP. κατήσχυνάς γε τοκῆων. neque hoc memoriae errori tribuendum esse docet Olympiod. in Platon. Gorg. (Iahn Archiv XIV. 284.): φροντίσωμεν οὖν τοῦ σωθῆναι τὴν ψυχήν, εἰδότες ὡς τὰ χρήματα καὶ τὸ σῶμα οὐδὲν συμβάλλονται. ποιήσωμεν οὖν ὃ εἶπεν ἐκεῖνος· Αὐτὸν μὲν μεσαωσα τί μοι μέλει ἀσπὶς ἐκείνη ἐρρέτω. et Schol. Aristot. T. IV. 8. B (Cramer An. Par. IV. 412, 31.): οὕτω τρωθείς τις ἐν πολέμῳ ὑπὲρ φίλου ἔφη· αὐτόν μ' ἐξεσάωσα· τί μοι μέλει ἀσπὶς ἐκείνη· ἐρρέτω· αὐτὸν μὲν τὴν ἰδίαν ψυχὴν εἰπών, ἀσπίδα δὲ τὸ ἴδιον σῶμα καλέσας. Legerunt igitur alii ψυχὴν δ' (vel αὐτὸν δ') ἐξεσάωσα· τί μοι μέλει ἀσπὶς ἐκείνη; Respiciunt Philostr. vit. Apoll. II. 7. Aelian. V. H. X. 13. Eustath. ad Dionys. v. 533. — V. 4. ἐξαῦτις Schaefer, vulgo ἐξαῦθις.

Fr. 7. Schol. Soph. El. 95: Ξένια γὰρ Ἄρεως τραύματα καὶ φόνοι· Καὶ Ἀρχίλοχος· Ξένια κτλ. Eadem Suidas v. ξένια et ἐξένισεν — Ξείνια δυσμενέσιν Suidas posteriore loco (BE δυσμενέσσιν), vulgo ξένια δυσμενέσσιν. — χαριζόμενοι, Suid. χαριζόμενος. Possis etiam sic constituere .... ξείνια δυσμενέσσιν Λυγρὰ χαριζόμενοι ...

Fr. 8. Orio 55, 22: Ἐπίρρησις ὁ ψόγος καὶ ἡ κακηγορία, ἔνθεν λοιπὸν καὶ ἐπίρρητος. Ἀρχίλοχος ἐν ἐλεγείοις· Αἰσιμίδη (cod. Αἰσιμήδη) δηλοῦμεν ἐπίρρησι μελ. κτλ. — V. 1. δειλοῦ μὲν scripsi ut etiam Schneidewin, possis etiam δείδημον coniicere, δηλήμων Ruhnken, δήμου μὲν Elmsley.

Fr. 9. Stob. Flor. CXXIV. 30. (A om. locum): Ἀρχιλόχου. — V. 1. ἀστῶν, Grotius αὐτῶν. — V. 2. μεμφόμενος, conieci μελπόμενος, postea μεμβλόμενος. — οὐδὲ πόλις, Scaliger οὔτε πότοις.

Digitized by Google

18. [57.]

Συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

IAMBOI.

TRIMETRA.

19. [86.]

Κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά.

20. [9. 3.]

Ἦδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής·
οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

Fr. 18. Athen. XIII. 594. C: *ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ περὶ ἀναθημάτων, Πασιφίλαν* (sic ABCP, sed VLP in m. *Παμφίλαν*) *ἐκάλουν τὴν Πλαγγόνα. Μαρτυρεῖ δὲ καὶ Ἀρχίλυχος περὶ αὐτῆς ἐν τούτοις· Συκῆ* (Schneidewin *συκέη*) *κτλ.* Eust. Od. 1713, 47. *Πασιφίλα, ἑταίρα παλαιὰ εὐειδής, αὐτὸ δὲ ἴσως ἐκ τοῦ Πασιφάη παρείληνται.* Conieci aliquando *Ἀντίλοχος* legendum esse, qui poeta fuit Lysandri aequalis, vid. Plut. Lys. c. 18.

Fr. 19. Strabo XIV. 647: *Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν, Κλαίειν θάσσον* (Med. 3 *θείων*, Ven. 2. Mosc. Par. *θάσσων*) *οὐ κτλ.* Heraclid. Pont. Pol. XXII.: *Μάγνητες δι' ὑπερβολὴν ἀτυχημάτων πολλὰ ἐπεκώθησαν, ὅθεν καὶ Ἀρχίλοχος φησίν· Κλαίω Θαλασσῶν οὐ τὰ M. κ.* (ita ACP margo p., sed reliqui nihil nisi *φησὶ τὰ Μαγ. κακά*.). Respiciunt huc Clem. Strom. I. 397. Athen. XII. 525. C. Scripsi *τὰ Θασίων*, quod Tyrwhitt coniecit, et *κλαίω* praetuli infinitivo, qui est apud Strabonem, contra Val. Franke: *Κλαίοντα Θάσσον, οὐ τὰ M. K.*, quod cum metro adversetur, Schneidewin praefert *Κλαίω τὰ Θασίων, οὐ τὰ M. κ.* — Ortum hinc proverbium *τὰ Μαγνήτων κακά*, de quo vide Suid. s. h. v. Arsen. 442.

Fr. 20. Coniunxi duo fragmenta in unum. V. 1. et 2. leguntur apud Plut. de exil. c. 12: *καθάπερ Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον, εἰπών· Ἦδε κτλ. ἀγρίης* scripsi, v. *ἀγρίας*. V. 3. et 4. affert Athen. XII. 523. D: *καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν· περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἡσσονός φησιν· Οὐ γὰρ κτλ. ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιός φησι καὶ Εὐριπίδης ἐν Δεσμώτιδι Μελανίππῃ ἀπὸ γυναικός τινος Σίριδος, ὡς δ' Ἀρχίλοχος φησίν, ἀπὸ ποταμοῦ.* — V. 3. *ἐφίμερος*, *ἐπίμερος* Schneidewin. — V. 4. alios legisse *ἀμφ' Ἀκίριος ῥοάς* apparet ex Hesychii glossa: *Ἀμφ' Ἀκίριος ῥοάς· Ἀκιρις ποταμός*. cf. Plin. III. 97: „Similiter est inter Sirin et Acirin Heraclia, aliquando Siris vocata.“ Strabo VI. 264: *Ἡράκλεια πόλις μικρὸν ὑπὲρ τῆς θαλάττης καὶ ποταμοὶ δύο πλωτοὶ Ἄκιρις καὶ Σῖρις.* et Tab. Heracl. ap. Boeckh. C. Inscr. III. 5774. 5.

Digitized by Google

21.

Καί μ' οὔτ' ἰάμβων οὔτε τερπωλέων μέλει.

22.

Ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

23. [15.]

Καὶ δὴ 'πίκουρος ὥστε Κὰρ κεκλήσομαι.

24. [2.]

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἶλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

Fr. 21. Tzetzes ap. Matranga Anecd. 216: *Καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων Πυιεῖ ὅπερ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος· Σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ Περιπαθῶς ὠδύρετο, γράφειν μὴ θέλων ὅλως, λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν. Καί μ' οὔτ' ἰάμβων, οὔτε τερπωλέων μέλει. Ὡς δὲ βαρύων κέκμηκε μάτην εἰρήκει τάδε· Οὔτε τι κλαίων ἰήσομαι, οὔτε τι κάκιον Θήσω, τερπωλὰς καὶ θάλειαν ἐφέπων· Καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλάτειαν τρίβον.* Iniuria Schneidewin a Tzetze versum fictum esse censet.

Fr. 22. Schol. Arist. Ran. 704: *κυμάτων ἐν ἀγκάλαις· Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ, ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ· Ψυχὰς κτλ.*

Fr. 23. Schol. Plat. p. 322: *Καὶ τὸ παρ' Ὁμήρῳ ἐν καρὸς αἴσῃ* (Il. ι'. 378.) *ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. Μέμνηται δ' αὐτῆς Ἀρχίλοχος λέγων· Καὶ δὴ κτλ.* adde Schol. Il. ι'. 378. ubi exponit, quomodo Archilochus Homeri illum locum intellexerit: *τίω δέ μιν ἐν Καρὸς αἴσῃ. ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρός, οἱονεὶ δούλου ... Ἀρχίλοχος δὲ τιμῶμαι αὐτὸν ἐν μισθοφόρου καὶ τοῦ τυχόντος στρατιώτου μοίρᾳ.*

Fr. 24. Aristot. Rhet. III. 17: *εἰς δὲ τὸ ἦθος, ἐπεὶ ἔνια περὶ αὐτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ καὶ ἐν τῇ ἀντιδόσει· καὶ ὡς Ἀρχίλοχος ψέγει, ποιεῖ γὰρ — (λέγοντα) τὸν Χάρωνα τὸν τέκτονα ἐν ἰάμβῳ, οὐ ἡ ἀρχή· Οὔ μοι τὰ Γύγεω.* (Q στυγέω). Sed quatuor versus servavit Plut. de tranquill. an. c. 10. sine poetae nom. *Οὔ μοι ... μέλει. Καὶ· Οὐδ' εἶλε κτλ. Θάσιος γὰρ ἐκεῖνος ἦν.* nec tamen inde colligendum, v. 1. a reliquis esse separandum, quod vel redarguit imitatio in Anacreonteis carm. 7. Itaque aut καὶ delendum, aut quod praefero v. 2. *κοὐδ'* scribendum. V. 1. Affert corrupte Rufinus 387., respicit Herod. I. 12: *τοῦ (Γύγου) καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη.* — V. 2. *πώ*, Schneidewin *κω.* — V. 3. *μεγάλης κτλ.* affert Schol. Aesch. Prom. 224. *τὸ δὲ τῆς τυραννίδος ὄνομα τοῖς μὲν παλαιοτάτοις ἄγνωστον ἦν, οὗτος δὲ ὁ ποιητὴς οἶδεν αὐτό, πρὸ αὐτοῦ δὲ καὶ Ἀρχίλοχος, λέγων μεγάλης κτλ.* Similiter auctor Argum. Soph. Oed. Tyr., qui dicit tum demum tyranni nomen receptum. Huc pertinet Et. Gud. 537, 26: *Τύραννος ἤτοι ἀπὸ Τυρρήνων, ὡμοὶ γὰρ οὗτοι* (ita Philochorus censuit, vid. Schol. Lucian. Catapl. 1.) *ἢ ἀπὸ Γύγου, ὃς ἔστιν ἀπὸ Τύρρας, πόλεος Λυδιακῆς,*

Digitized by Google

18. [57.]

Συκῆ πετραίῃ πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

IAMBOI.

TRIMETRA.

19. [86.]

Κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά.

20. [9. 3.]

Ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής·
οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

Fr. 18. Athen. XIII. 594. C: *ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μένετωρ ἐν τῷ περὶ ἀναθημάτων, Πασιφίλαν* (sic ABCP, sed VLP in m. *Παμφίλαν*) *ἐκάλουν τὴν Πλαγγόνα. Μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις· Συκῆ* (Schneidewin *συκέη*) *κτλ.* Eust. Od. 1713, 47. *Πασιφίλα, ἑταίρα παλαιὰ εὐειδής, αὐτὸ δὲ ἴσως ἐκ τοῦ Πασιφάη παρείληνται.* Conieci aliquando *Ἀντίλοχος* legendum esse, qui poeta fuit Lysandri aequalis, vid. Plut. Lys. c. 18.

Fr. 19. Strabo XIV. 647: *Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν, Κλαίειν Θᾶσσον* (Med. 3 *Θείων*, Ven. 2. Mosc. Par. *Θάσσων*) *οὐ κτλ.* Heraclid. Pont. Pol. XXII.: *Μάγνητες δι' ὑπερβολὴν ἀτυχημάτων πολλὰ ἐκακώθησαν, ὅθεν καὶ Ἀρχίλοχος φησίν· Κλαίω Θαλασσῶν οὐ τὰ M. κ.* (ita ACP margo p., sed reliqui nihil nisi *φησὶ τὰ Μαγ. κακά.*). Respiciunt huc Clem. Strom. I. 397. Athen. XII. 525. C. Scripsi *τὰ Θασίων*, quod Tyrwhitt coniecit, et *κλαίω* practuli infinitivo, qui est apud Strabonem, contra Val. Franke: *Κλαίοντα Θάσσον, οὐ τὰ M. K.*, quod cum metro adversetur, Schneidewin praefert *Κλαίω τὰ Θασίων, οὐ τὰ M. κ.* — Ortum hinc proverbium *τὰ Μαγνήτων κακά*, de quo vide Suid. s. h. v. Arsen. 442.

Fr. 20. Coniunxi duo fragmenta in unum. V. 1. et 2. leguntur apud Plut. de exil. c. 12: *καθάπερ Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον, εἰπών· Ἥδε κτλ. ἀγρίης* scripsi, v. *ἀγρίας*. V. 3. et 4. affert Athen. XII. 523. D: *καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν· περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονός φησιν· Οὐ γάρ κτλ. ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιός φησι καὶ Εὐριπίδης ἐν Δεσμώτιδι Μελανίππῃ ἀπὸ γυναικός τινος Σίριδος, ὡς δ' Ἀρχίλοχος φησίν, ἀπὸ ποταμοῦ.* — V. 3. *ἐφίμερος, ἐπίμερος* Schneidewin. — V. 4. alios legisse *ἀμφ' Ἀκίριος ῥοάς* apparet ex Hesychii glossa: *Ἀμφ' Ἀκίριος ῥοάς· Ἀκιρις ποταμός.* cf. Plin. III. 97: „Similiter est inter Sirin et Acirin Heraclia, aliquando Siris vocata.“ Strabo VI. 264: *Ἡράκλεια πόλις μικρὸν ὑπὲρ τῆς θαλάττης καὶ ποταμοὶ δύο πλωτοὶ Ἄκιρις καὶ Σῖρις.* et Tab. Heracl. ap. Boeckh. C. Inscr. III. 5774. 5.

Digitized by Google

21.

Καί μ' οὔτ' ἰάμβων οὔτε τερπωλέων μέλει.

22.

Ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

23. [15.]

Καὶ δὴ Ἀπίκουρος ὥστε Κὰρ κεκλήσομαι.

24. [2.]

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἶλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

Fr. 21. Tzetzes ap. Matranga Anecd. 216: *Καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων Ποιεῖ ὅπερ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος· Σφῆξ ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ Περιπαθῶς ὠδύρετο, γράφειν μὴ θέλων ὅλως, λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν. Καί μ' οὔτ' ἰάμβων, οὔτε τερπωλέων μέλει. Ὡς δὲ δακρύων κέκμηκε μάτην εἰρήκει τάδε· Οὔτε τι κλαίων ἰήσομαι, οὔτε τι κάκιον Θήσω, τερπωλὰς καὶ θάλειαν ἐφέπων· Καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλάτειαν τρίβον.* Iniuria Schneidewin a Tzetze versum fictum esse censet.

Fr. 22. Schol. Arist. Ran. 704: *κυμάτων ἐν ἀγκάλαις· Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ, ἔστι δὲ ὅντως παρὰ Ἀρχιλόχῳ· Ψυχὰς κτλ.*

Fr. 23. Schol. Plat. p. 322: *Καὶ τὸ παρ' Ὁμήρῳ ἐν καρὸς αἴσῃ* (Il. ι'. 378.) *ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. Μέμνηται δ' αὐτῆς Ἀρχίλοχος λέγων· Καὶ δὴ κτλ.* adde Schol. Il. ι'. 378. ubi exponit, quomodo Archilochus Homeri illum locum intellexerit: *τίνα δέ μιν ἐν Καρὸς αἴσῃ. ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρός, οἱονεὶ δούλου ... Ἀρχίλοχος δὲ τιμῶμαι αὐτὸν ἐν μισθοφόρου καὶ τοῦ τυχόντος στρατιώτου μοίρᾳ.*

Fr. 24. Aristot. Rhet. III. 17: *εἰς δὲ τὸ ἦθος, ἐπεὶ ἔνια περὶ αὐτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ καὶ ἐν τῇ ἀντιδόσει· καὶ ὡς Ἀρχίλοχος ψέγει, ποιεῖ γὰρ — (λέγοντα) τὸν Χάρωνα τὸν τέκτονα ἐν ἰάμβῳ, οὗ ἡ ἀρχή· Οὔ μοι τὰ Γύγεω.* (Q στυγέω). Sed quatuor versus servavit Plut. de tranquill. an. c. 10. sine poetae nom. *Οὔ μοι ... μέλει. Καὶ· Οὐδ' εἶλε κτλ. Θάσιος γὰρ ἐκεῖνος ἦν.* nec tamen inde colligendum, v. 1. a reliquis esse separandum, quod vel redarguit imitatio in Anacreonteis carm. 7. Itaque aut καὶ delendum, aut quod praefero v. 2. *κοὐδ'* scribendum. V. 1. Affert corrupte Rufinus 387., respicit Herod. I. 12: *τοῦ (Γύγου) καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη.* — V. 2. *πώ*, Schneidewin *κω.* — V. 3. *μεγάλης κτλ.* affert Schol. Aesch. Prom. 224. *τὸ δὲ τῆς τυραννίδος ὄνομα τοῖς μὲν παλαιοτάτοις ἄγνωστον ἦν, οὗτος δὲ ὁ ποιητὴς οἶδεν αὐτό, πρὸ αὐτοῦ δὲ καὶ Ἀρχίλοχος, λέγων μεγάλης κτλ.* Similiter auctor Argum. Soph. Oed. Tyr., qui dicit tum demum tyranni nomen receptum. Huc pertinet Et. Gud. 537, 26: *Τύραννος ἤτοι ἀπὸ Τυρρήνων, ὡμοὶ γὰρ οὗτοι* (ita Philochorus censuit, vid. Schol. Lucian. Catapl. 1.) *ἢ ἀπὸ Γύγου, ὃς ἐστιν ἀπὸ Τύρρας, πόλεος Λυδιακῆς,*

Digitized by Google

25. [89.]

.. Ὁ δ' Ἀσίης καρτερὸς μηλοτρόφου.

26. [4.]

Ἄναξ Ἄπολλον, καὶ σὺ τοὺς μὲν αἰτίους
πήμναινε καί σφας ὄλλυ' ὥσπερ ὀλλύεις.

27. [17.]

Οἴην Λυκάμβεω παῖδα τὴν ὑπερτέρην.

28. [7. 13.]

Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδῆς τε καλὸν ἄνθος, ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

29. [12.]

Ἐσμυρισμένας κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

τυρρανήσαντος ἐν αὐτῇ πρῶτον· οὕτως εὗρον ἐν ὑπομνήματι Ἀρχίλου (Ἀρχιλόχου). Similia in Et. M. 771, 54., ultimis quidem omissis, sed addunt Sorb. (ubi Ἀρχῖνος) et Brux. (Ἀρχιλόχου).

Fr. 25. Schol. Eur. Med. 703: Καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος· Ἡ δ' (Flor. 6. 15. ὁ δ') Ἀσίη τε κ. μ. Adde Schol. Od. α. 534., ubi ὁ Ἀσίης κρατερὸς μηλ. Cram. An. Par. III. 496, 13. ὁ δ' Ἀσίης κρατ. μηλ. et Eust. 1790, 7: Ἀσίας καρτ. μ. ὃ ἐστιν ἄρχων. Scripsi igitur ὁ δ' Ἀσίης κ. μ.

Fr. 26. Macrob. Sat. I. 17: *Alii cognominatum Apollinem putant ὡς ἀπολύντα τὰ ζῶα; exanimat enim et perimit animantes, cum pestem intemperie caloris immittit; ut Euripides . .². item Archilochus:* Ἄναξ κτλ. — V. 2. καί σφας, vulgo καὶ σφὰς vel σφᾶς, Schneidewin καὶ σφέας.

Fr. 27. Schol. Hom. Il. λ. 786: Ἡ διπλῆ, ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν ἐδέξατο· Οἴην κτλ. ἀντὶ τοῦ τὴν νεωτέραν. Λυκάμβεω Elmsley, vulgo Λυκάμβεος.

Fr. 28. Coniunxi duo Fragm. in unum, quae de Neobule aperte dicta sunt; prius affert Ammonius p. 123: Ῥόδον καὶ ῥοδωνιὰ καὶ ῥοδῆ διαφέρει· ῥόδον μὲν γὰρ τὸ ἄνθος, ῥοδωνιὰ δὲ ὁ τόπος, ῥοδῆ δὲ τὸ φυτόν. Ἀρχίλοχος· ἔχουσα ... ἄνθος. Adde Philem. p. 63. et Moschopul. ubi ἀφείπετο pro ἐτέρπετο legitur, et Favorin. v. ῥόδον, Bachmanni An. II. 379. ubi ἐφείπετο. V. 1. affert etiam Schol. Theocr. IV. 45. (ubi μυρίνης) et Etym. M. 441, 49. — V. 2. initium ῥοδῆς τε κ. ἀ. Athen. II. 52. F. et Eust. Od. 1963, 49. (ubi τε om.) Ceterum Schneidewin ῥοδέης. — Posterius Fr. Synes. Laud. Calv. p. 75. B: καὶ ὁ κάλλιστος ποιητῶν Ἀρχίλοχος ἐπαινέσας αὐτὴν (τὴν κόμην), ἐπαινεῖ μὲν οὖσαν (fortasse ὡς ἂν) ἐν ἑταίρας σώματι, λέγει δὲ οὕτως· Ἡ δέ κτλ. — V. 3. κατεσκίαζε Bentley, vulgo κατασκιάζει. Ex eodem hoc carmine fortasse petitum, quod Lucian. Amor. c. 3. significat: ἱλαραὶ μὲν τῶν ὀμμάτων αἱ βολαὶ ταχερῶς ἀνυγραίνοντο, τὴν φωνὴν δ' ἴσην τῇ Λυκάμβου θυγατρὶ λεπτὸν ἀφηδύνων.

Fr. 29. Athen. XV. 688. C: καὶ ἀλλαχοῦ δ' (Ἀρχίλοχος) ἔφη· Ἐσμ. κτλ. — V. 1. ἐσμυρισμένας, B μυριχμένας, Wakefield ἐσμυρισμένη, fort. ἐσμυριγμέναι, conf. Hesych.: ἐσμυρριγμέναι, μεμυρισμέναι.

Digitized by Google

30. [11.]

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο.

31. [5.]

Ὥσπερ παρ' αὐλῷ βρῦτον ἢ Θρῇξ ἀνὴρ
ἢ Φρὺξ ἔβρυζε, κύβδα δ' ἦν πονευμένη.

32. [26.]

Κατ' οἶκον ἐστρωφᾶτο δυσμενὴς βάβαξ.

33. [19.]

Πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ.

34.

Κύψαντες ὕβριν ἀθρόην ἀπέφλοσαν.

35. [25.]

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

Fr. 30. Athen. XV. 688. C: *Τῷ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται λέγων· Οὐκ ἂν κτλ.* Cf. Eust. Il. 1300, 41. Adde Plut. vit. Pericl. c. 28: *ταῦτα τῆς Ἐλπινίκης λεγούσης ὁ Περικλῆς μειδιάσας ἀτρέμα λέγεται τὸ τοῦ Ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν· οὐκ ἂν μ.* (Fa *οὐ κἂν μύροισι*) *γρ. ἐοῦσ' ἠλείφεο* (V *ἠλείφετο.*). *γραῦς*, Schneidewin *γρηῦς*.

Fr. 31. Athen. X. 447. B: *Τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν ... Ἀρχίλοχος· Ὥσπερ κτλ.* — V. 1. *παρ' αὐλῷ* Dindorf et Hermann, vulgo *αὐλῷ*. — *Θρῇξ* Toup, vulgo *Θρᾴξ*. — V. 2. *ἔβρυζε*, conieci *βρυάζει*, ut Athenaeus non integrum attulerit locum, vel *ἢ Θρῇξ ἂν ἢ Φρὺξ ἐβρύαζε*. Cf. Hesych. *ἐβρύαζε· εὐωχεῖτο* et *βρυάζει, θάλλει, τρυφᾷ*. — *κύβδα δ' ἦν* AB, *κύβδ' ἦν* PVL. — *πονευμένη*, Toup *πωλευμένη*.

Fr. 32. Orio 37, 4: *Βάβαξ ὁ λάλος. Ἀρχίλοχος· Κατ' κτλ.* Et. M. 183, 50. ubi versus Aristophani tribuitur, pro *δυσμενὴς* exhibet *μισητός*, (idque etiam tuetur Et. Vind. Cod. CXXXI., qui poetae nomine omisso affert.) et *βάβαξ* om.

Fr. 33. Harpocratio 143, 7: *Παλίνσκιον — Ἀρχίλοχος τριμέτροις· Πρὸς κτλ. ἀντὶ τοῦ ἐν σκοτεινῷ.* Respicit Phot. 374, 10. et Suid. v. *παλίνσκιον. ἐκλίνθησαν* Toup, vulgo *ἐκινήθησαν*. — *παλινσκίῳ*, N *παλισκίῳ*.

Fr. 34. Photius 193, 22: *Κύψαι· ἀντὶ τοῦ ἀπάγξασθαι· Ἀρχίλοχος· Κύψαντες κτλ. ἀπέφλοσαν*, Lobeck et Schneidewin *ἀπέφλυσαν*, ego *ἀπέβλυσαν*. correctio incerta, vid. Anth. Pal. VII. 351. ubi Lycambides loquuntur: *ἀλλὰ καθ' ἡμετέρης γενεῆς ὀιγηλὸν ὄνειδος φήμην τε στυγερὴν ἔβλυσεν Ἀρχίλοχος*, sed ibid. 352: *πολλὰ δ' ὁ πικρὸς αἰσχρὰ καθ' ἡμετέρης ἔβλυσε παρθενίης Ἀρχίλοχος*. Alio sensu, quam qui hic requiritur, Apoll. Rhod. III. 582. *ὄφρ' ἀλεγεινὴν ὕβριν ἀποφλύξωσι* dixit.

Fr. 35. Clem. Alex. Str. VI. 739: *Ἀρχιλόχου τε ὁμοίως εἰρηκότος Ἀλλ' κτλ. παρὰ τὸ Ὁμηρικόν·* (Od. ξ. 228.) *Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις. Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησίν· Ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις*. Sext. Empir. adv. Math. XI. 699. (555. ed. Bekk.) adscripto Homeri versu: *καὶ κατ' Ἀρχίλοχον ἄλλος* (C *ἄλλως*) *ἄλλῳ ἐπ'* (*ἐπὶ* CR) *ἔργῳ καρδίην* (*κραδίην* CR) *ἰαίνεται*. Cram. An. Par.

Digitized by Google

36. [22.]

Χαίτην ἀπ' ὤμων ἐγκυτὶ κεκαρμένος.

37. [20.]

Προὔθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

38. [8.]

Βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίῃ
κορωνός, ἔργων ἴδρις.

39. [16.]

Τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν.

40.

Ἀμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν.

41. [18.]

Ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου φυτοῖ
εἴκασιν.

42. [21.]

Ἴστη κατ' ἤκην κύματός τε κἀνέμου.

III. 488, 17: τοῦτο Ἀρχίλοχος μετὰ φράσεως (l. μετέφρασε· Ὡς) ἄλλος ἄλλῳ κραδίην γένηται. Unde possis initio etiam ἐπ' ἄλλος vel ὡς ἄλλος coniicere.

Fr. 36. Et. M. 311, 40: Ἔγκυτὶ ἐπίῤῥημα σημαῖνον τὸ ἐν χρῷ. Ἀρχίλοχος· Χαίτην κτλ. τουτέστι πρὸς αὐτῷ τῷ δέρματι. ἐγκυτί, conieci ἐγκυτίς, cf. Ioann. Alex. 38, 20: ἐγκυτίς, ὃ χωρὶς τοῦ σ Καλλίμαχος εἶπεν· σὺ δ' ἐγκυτὶ τέκνον ἐκέρσω. Schneidewin ad Epodos refert.

Fr. 37. Et. M. 32, 26: Αἰηνές· τὸ δεινὸν καὶ πολύστονον· Ἀρχίλοχος· Προὔθηκε κτλ. Hecker coni. χαίτην ἄμωμον.

Fr. 38. Et. M. 530, 27: Κορωνός· ὁ γαῦρος καὶ ὑψαυχενῶν ... Ἀρχίλοχος· Βοῦς ἐστιν ἡμῖν κτλ. ubi M βοῦς δὲ, V om. ἔργων ἴδρις. Eadem Et. Gud. 339, 31: Ἀρχέλαος· βοῦς δὲ ἡμῖν κτλ. Cram. An. Par. IV. 76, 13: Ἀρχέλοχος, ubi ἔργον.

Fr. 39. Schol. Hom. Il. ι. 90: Τὸ περιθεῖν τοῦτο δηλοῖ (περιέχειν παντοχόθεν)· οἷον καὶ Ἀρχίλοχος δηλοῖ, ποιήσας· Τοῖον κτλ.

Fr. 40. Apollon. Dysc. de Adv. Bekk. An. II. 571, 12: Τὸ γοῦν Ἀρχιλόχειον συνεστάλη· Ἀμισθὶ κτλ. Herodian ap. Hermann de Emend. Gr. 449. et Cram. An. Ox. III. 300, 24. affert sine p. nom. et omisso διάξομεν, pro quo Elmsley διδάξομεν. Ad Nessum Centaurum probabiliter refert Schneidewin, vid. Fr. 146.

Fr. 41. Schol. Theocr. II. 48: ἴσως φυτὸν αὐτὸ (ἱππομανές) ἔφη ὁ Θεόκριτος οἱονεὶ φῦμα ἀπὸ τοῦ φύεσθαι ἐν τοῖς πώλοις· ὥς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦμα φυτόν· Ἐσθλὴν κτλ. εἴκασιν, Toup ἴασιν vel ἴησιν, Hemsterhuys ἄκησιν.

Fr. 42. Et. M. 424, 18: ἤκη· ἡ ὀξύτης τοῦ σιδήρου· Ἀρχίλοχος Ἴστη κτλ. et 47, 22: Ἀκή· ἡ ὀξύτης· παρὰ τὸ ἥκω γίνεται ἀκή, ὃ σημαίνει τὴν ὀξύτητα· Ἀρχίλοχος· Ἴστη κ. ἡ. κ. κυανέου (sed Sorb. ἱστήκην κύματός τε καὶ ἀνέμου,) καὶ κατὰ συστολὴν ἀκή. Et Vind. cod. 158: Ἀρχίλοχος

Digitized by Google

43. [24.]

Μετέρχομαί σε, σύμβολον ποιεύμενος.

44. [27.]

Τρίαιναν ἐσθλὴν καὶ κυβερνήτην σοφόν.

45. [73.]

Φηλήτα νύκτωρ περὶ πόλιν πολευμένῳ.

46.

Ἀλλ' ἀπερρώγασί μοι
μύκεω τένοντες.

47. [128.]

Παῖδ' Ἄρεω μιηφόνου.

* 48. 49. 50.

Marius Plot. 268: „De hoc metro id est puro iambico trimetro Archilochio exempla Graeca haec sunt: *Πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε*
ЄΠΟΝ ΚΙ ΑΕΙ Κy ЄΜЧCΛ· ΙΤΕΝ ΠΡΟΑΙ
sic codex, vulgo ex interpol. *ἔπος· τίς σὰς παρήειρεν φρένας.* **Archilochi versum delitescere probabile sed quomodo sit restituendus, incertum. Lusi:**

Ἐπήν τι δεύῃ, μή 'π' ἀχηνίῃ τρέπειν.

ἱστήκει κατήκην κτλ. Sine poetae n. Zonar. 983. Respicit Favorin. 190., sed confundens cum Homerico *ἵστη δὲ μέγα κῦμα.*

Fr. 43. Schol. Pind. Ol. XII. 10: *Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας τουτέστιν κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι, ὡς Ἀρχίλοχος· μετ. σε σύμβ. ποιουμένη·* (Gott. Vrat. D *ποιούμενος*) *χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητρα.* Schol. Il. *φ'.* 199: *ἰωνικῶς μετὰ ἀντὶ τοῦ πρὸς ἀνέμους ἦλθεν, ὡς Ἀρχίλοχος· μετέρχομαι ἐς σύμβουλον ποιεύμενος.*

Fr. 44. Hermias in Arist. T. IV. p. 10. A ed. Bekker: *ἐπειδὴ γὰρ ἐκεῖνοι σοφὸν ὠνόμαζον τὸν ἥντινα οὖν ἐπιόντα τέχνην, ὧν εἷς ἦν καὶ ὁ Ἀρχίλοχος λέγων· Τρίαιναν ἐσθλὸν* (recte ed. Ven. 1545. *ἐσθλὴν*) *καὶ κυβερνήτην σοφὸν* (ed. Ven. *κυβερνητὴς σοφός*).

Fr. 45. Eust. Od. 1889, 1: *Φιλήτου δὲ τοῦ εἰρημένου χρῆσις μὲν παρά τε Ἡσιόδῳ καὶ παρὰ Ἀρχιλόχῳ ἐν τῷ Φιλήτᾳ ν. π. π. πολευμένῳ. ἤγουν κλέπτῃ νυκτιλόχῳ.* Scripsi *φηλήτα*, vel potius *φηλῆτα*, ut Antimachus in Bekk. An. III. 1187: *Πατρί τε κυανοχαίτα Ποσειδάωνι πεποιθώς.* — *πολευμένῳ*, Liebel fort. rectius *πωλευμένῳ.*

Fr. 46. Choerobosc. I. 139. (Bekk. An. III. 1399): *Μύκης ... σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοσυλλάβως ἔκλινεν Ἀρχίλοχος εἰπών· Ἀλλ' ἀπ. μύκεω τένοντες.* ubi cod. Marc. *Ἀντίλοχος*, cf. Cram. An. Ox. III. 231, 5: *Ἀντίλοχος· ἀλλ' ἀπερρώσι μύκεω.* — V. 2. *μοι* adiecit Cobet.

Fr. 47. Eust. Il. 518, 22; *κλίνεται δὲ καὶ ὡς σπονδειακόν, Ἄρης, Ἄρου, ὅθεν κατ' Ἰάδα διάλεκτον ἐπεκτείνας Ἀρχίλοχος ἔφη ἐν τοῖς τριμέτροις· Παῖδα Ἄ. μ.*

Digitized by Google

Hesych.: *Μὴ πασχηνίῃ τρέπειν· μὴ αἰτιοῦ τὴν πενίαν, ὅτε δέηται·* ubi corrigas: *Μὴ 'π' ἀχηνίῃ τρέπειν· μὴ αἰτιῶ τὴν πενίαν, ὅταν δέῃ τι.* — Aliud delitescit ib. p. 271: ubi de trimetro brachycatalecto coluro agit: „Huic si addiderimus alterum pedem disyllabum iambum, erit trimetrum iambicum purum acatalectum Archilochium, de quo paulo ante tractavi:

Ἄσκρες μὲν οὐκ ἔσεστι μοὶ λύχνος βαθύς.

Cod. *ACKICMENOTKECETINOIAIXNOX.* Conieci:

Ἀσπὶς μὲν οὐκέτ' ἐστί μοι, λίγδον δ' ἔχω.

Minus certa res ib. 271. ubi exemplum trimetri catalectici proponitur hoc: *ΑΝΤΩΤΙ ΜΟΥΣΑ ΠΡΟΣΙΜΕΣΟΝ* (cod. *ΑΝΤΩΤΙ ΜΟΥΣΑΠΠΟCΜΗCΟΝ*), tum subiungit haec: „Hic enim si fuerit addita in fine syllaba, fiet Archilochium, de quo paulo ante tractavi:

ΑΝΤΟΝΙ ΝΟΤΙ ΜΟΥΣΑ ΠΡΟΣΑΑΜΙΣΑΤΟΣ
ω

(cod. *ΑΝΤοΝΙΝΟΞΙ ΛΙΟΧCΑΠΡΟΣΑΛΕCΤΑΤΟC*) *πάτερ λυκάμβα ποῖον ἐφράσω τόδε.*

51.

Pausan. VII. 10, 6: *Περσεῖ τῷ Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι εἰρήνην κατὰ συνθήκας, ἃς ὁ πατὴρ οἱ Φίλιππος ἐποιήσατο, ἐπῆλθεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί τε Σαπαίων τὸν βασιλέα Ἀβρουπόλιν στράτευμα ἀγαγών, ἐποίησεν ἀναστάτους, Ῥωμαίων συμμάχους ὄντας. Σαπαίων δὲ τούτων καὶ Ἀρχίλοχος ἐν ἰαμβείῳ μνήμην ἔσχε.* Contra Strabo *Sapaeorum* recens esse nomen eorum, qui antiquitus *Saii* dicti sint, perhibet X. 457: *τινὲς δὲ Σάμον καλεῖσθαί φασιν ἀπὸ Σαΐων, τῶν οἰκούντων Θρᾳκῶν πρότερον, οἳ καὶ τὴν ἤπειρον ἔσχον τὴν προσεχῆ, εἴτε οἱ αὐτοὶ τοῖς Σαπαίοις ὄντες ἢ τοῖς Σιντοῖς, οὓς Σίντιας καλεῖ ὁ ποιητής, εἴθ' ἕτεροι. Μέμνηται δὲ τῶν Σαΐων Ἀρχίλοχος· Ἀσπίδα κτλ.* (Fr. 6.) cf. etiam Strabo XII. 549. et VII. T. II. p. 87. ed. Cramer. Sed Eust. ad Dionys. Perieg. 767: *εἶτα παρὰ Ἀρχιλόχῳ Σάϊοι καὶ πάλιν Σάπαι* utrumque nomen Archilocho vindicare videtur. — Ab hoc loco alienum videtur, quod significat Oenomaus Archilochum deridens ap. Euseb. Pr. Ev. V. p. 229: *Οὐ γὰρ δὴ οὖν. εἰσι καὶ νῦν ἕτοιμοι κωμῳδεῖσθαι καὶ Σαβαῖοι* (CFG *Σαξαῖοι*) *καὶ Λυκάμβαι.* nam, quamquam haud dubie ex Archilocho petitum est, potius videtur nomen impudici hominis esse, cf. ib. p. 228: *Λοιδορῆσαι μὲν πικρῶς τὰς οὐκ ἐθελούσας ἡμῖν γαμεῖσθαι, ἅψασθαι δὲ καὶ κιναίδων, ἐπειδὴ τῶν ἄλλων πονηρῶν πολὺ πονηρότεροί εἰσιν.*

Digitized by Google

TETRAMETRA.

52. [83.]

Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματ'.

53. [10.]

Ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

54. [87.]

Ὡς Πανελλήνων ὀϊζὺς ἐς Θάσον συνέδραμεν.

55. [45.]

Μηδ' ὁ Ταντάλου λίθος
τῆσδ' ὑπὲρ νήσου κρεμάσθω.

56. [35.]

Γλαῦκ', ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται
πόντος, ἀμφὶ δ' ἄκρα Γυρέων ὀρθὸν ἵσταται νέφος,
σῆμα χειμῶνος· κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

Fr. 52. Aristoph. Pac. 603: *Ὦ σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε ῥήματα.* ubi Schol.: *Πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν· Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἐστὶ δὲ πρὸς τὰ Ἀρχιλόχου Λεπερνῆτες κτλ.* ὦ ex Aristoph. additum, nisi ἃ malis. — *ξυνίετε*, in proecdosi *συνίετε* scripsi.

Fr. 53. Athen. III. 76. B: *Τῶν δ' ἐν Πάρῳ τῇ νήσῳ* (σύκων) — *Ἀρχίλοχος μνημονεύει, λέγων οὕτως· Ἔα κτλ.* Nisi forte hic versus est tetrameter iamb. — *κεῖνα*, Schneidewin *κεινά*.

Fr. 54. Strabo VIII. 370: *Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι* (φησὶν Ἀπολλόδωρος) *καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα, ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ ὡς Πανελλ. κτλ.*

Fr. 55. Schol. Pind. Ol. I. 97: *Ἀλκαῖος καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ· — ἐποίησε δὲ καὶ Ἀρχίλοχος· Μηδ' κτλ.* et Plutarch. praec. ger. reip. c. 6. Resp. Pausan. X. 31, 12. — *ὑπὲρ* Plut., *ὑπὸ* Schol. Pind. (Boeckh *ὑπὲρ*).

Fr. 56. Heraclides Pont. Alleg. Hom. c. 5: *καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς Θρᾳκικοῖς ἀπειλημμένος δεινοῖς τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι, λέγων ὧδέ πως· Γλαῦκε κτλ.* Plut. de superstit. c. 8. usque ad *χειμῶνος* v. 3. affert, om. auct. nom. V. 1. Schol. Hermog. T. V. 526. v. 1. et 2. Theophr. de Sign. Tempest. 3, 8: *Ἐὰν ἐπὶ κορυφῆς ὄρους νέφος ὀρθὸν στῇ, χειμῶνα σημαίνει, ὅθεν καὶ Ἀρχίλοχος· Γλαῦχ' ὅρα ... νέφος, ὅ ἐστι σημεῖον χειμῶνος.* — V. 1. *Γλαῦκε* scripsi, v. *Γλαῦχ'*, *Γλαῦκε* codd. Heracl. probante Schneidewino, ap. Plut. *γλαυκεοράβδους*. — V. 2. *Γυρέων* Xylander et Lobeck, Heraclides *γυρεὸν* (AB *γύρεον*), Plut. *ἄκρᾳ γυρεῦον* (*γυρέων* Pol. Jannoti, *γυρῶν* D, *γυρεύων* CEG Harl. coll. n. Mosc. 3.), Theophr. *ἄκρας* sed om. *Γυρέων*. — *ὀρθὸν*, Heracl. *ὄρπον* (A *ὄρπων*, B *ἔρπων*). ut coniicias alios *ὀρπόν* id est *nigrum* legisse. Ceterum Lud. Dindorf huc respicere putat Cic. ad Att. V. 12: „Itaque erat in animo

Digitized by Google

57. [29.]

Καὶ νέους θάρσυνε· νίκης δ' ἐν θεοῖσι πείρατα.

58. [32.]

Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'· ἔπειτα πολλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

59. [148.]

Τὸν κεροπλάστην ἄειδε Γλαῦκον

60. [33.]

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον,

nihil festinare, Delo nec movere, nisi omnia *ἀχρωτηρίων οὔρια* vidissem." sic Y, nisi quod *omina*, M *ἀκρατηρέων iura*, hinc Schneidewin: *nisi ἀμῳὶ ἄκρα Γυρῶν omnia pura vidissem.* Poterat lenius *nisi omnia ἄκρα Γυρέων pura* (vel etiam *οὔρια*) *vidissem.* Ceterum nescio an etiam apud Archilochum *γυρέων* rectius appellativum habeatur.

Fr. 57. Clem. Alex. Strom. VI. 739: (*Ἀρχίλοχος*) *ἔτι κἀκεῖνο μεταφράζων Νίκης ἀνθρώποισι θεῶν ἐκ πείρατα κεῖται, διὰ τοῦδε τοῦ ἰάμβου δῆλός ἐστι· Καὶ κτλ. θάρσυνε* Elmsley, vulgo *καὶ νέους θαῤῥῦναι,* idque tribuebatur Clementi.

Fr. 58. Stob. Flor. CV. 24: *Ἀρχιλόχου.* (A om. locum). V. 1. *τιθεῖν ἅπαντα* Iacobs, vulgo *τίθει πάντα,* Vind. *τ' εἰ θεῖα π.,* B *τ' εἰ θεῖα πάντα.* Cf. Aesch. Pers. 224: *ταῦτα δ' ὡς ἐφίεσαι πάντα θήσομεν θεοῖσι,* Grotius *τίθει τὰ πάντα,* fort. imperativi forma productior latet *τίθητι,* certe apud Hesych. *τίθησι· τιθεῖ* scribendum *τίθητι· τίθει.* Schneidewin coniecit *τοι ῥεῖα πάντα.* — V. 4. *κλίνουσ'* Valckenaer, vulgo *κινοῦσ'.* — V. 5. *χρήμῃ* Abresch, vulgo *χρὴ μή,* Vind. *χρήμη.* Schoemann coni. *καὶ βίου χρῆμα πλάναι τε καὶ νόος παρήορος.*

Fr. 59. Schol. Hom. Il. *ω'.* 81: *οἱ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν ὁμοίαν κέρατι· τὸν κερ. ἄ. Γ. Ἀρχίλοχος.* cf. Plut. de sollert. an. c. 24: *καὶ τὸ κέρας τρίχα λέγεσθαι — καὶ τὸν παρ' Ἀρχιλόχῳ κεροπλάστην φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν.* Adde Hesych. v. *Κεροπλάστης* et Poll. II. 31.

Fr. 60. Dio Chrys. T. II. 456. affert v. 1. 2. et ex parte v. 3. 4: *Ὁ δ' Ἀρχίλοχος περὶ στρατηγοῦ λέγων οὕτω φησίν· Οὐ ... ἀλλά μοι, φησίν, εἴη ῥωβὸς ἀσ. β. καὶ ἐπινοήμασιν θασύς.* V. 3. et 4. exhibet Galen. in Hippocr. de Artic. III. T. XVIII. 1, 537: *τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα καὶ παρὰ Θεοκρίτῳ ... καὶ παρ' Ἀρχιλόχῳ· ἀλλὰ κτλ.* et rursus ib. 604. leguntur V. 1. 3. 4: *ὥστε καὶ αὐτῶν τῶν κατὰ φύσιν ἐχόντων τῶν ῥοιβῶν ἢ ῥοικῶν ὀνομαζομένων, ἀσφαλέστερον δὲ καὶ δυσανατρεπτότερον ἵστασθαι τῶν ἀκριβῶς ἐχόντων τὰ σκέλη ὀρθά· δηλοῦται δὲ τοῦτο κἀξ ὧν Ἀρχίλοχος εἶπεν, οὐ φιλέω .... ἀλλ' ὅς μοι, φησίν, μακρὸς εἴη κτλ.* Schol. Hippocrat. ed. Daremberg (Ephemer. Gotting. 1852, 427): *Βαχχεῖος φησὶν ἐξώγλουτοι· ῥοικοὶ γὰρ οἱ καμπύλοι, ὡς Ἀρχίλοχος φησίν· ἀλλά μοι σμικρὸς εἴη κ. π. κν. εἶδεν ῥοικὸς ἀσφαλέως βεβηκὼς ποσίν. Ἡρακλείδης δὲ ὁ Ταραντῖνος ῥοικόν φησιν εἶναι τὸ ἔσω νεῦον.* V. 1. *διαπεπλιγμένον* Hemsterhuys, Dio *διαπεπληγμένον* (sed codd. *διαπεπλεγμένον*), Galen. *διαπεπηγμένον.*

Digitized by Google

οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέος.

61. [39.]

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆες ἐσμέν.

62.

Ἔρξίη, πῇ δῆτ' ἄνολβος ἀθροΐζεται στρατός;

63. [42.]

Ἐλπομαι, πολλοὺς μὲν αὐτῶν Σείριος κατανανεῖ,
ὀξὺς ἐλλάμπων.

Athen. IV. 167. D: *Τοιοῦτος ἐγένετο καὶ Αἰθίοψ ὁ Κορίνθιος, ὡς φησι Δημήτριος ὁ Σκήψιος, οὗ μνημονεύει Ἀρχίλοχος· ὑπὸ φιληδονίας γὰρ καὶ ἀκρασίας καὶ οὗτος, μετ' Ἀρχίου πλέων εἰς Σικελίαν, ὅτ' ἔμελλε κτίζειν Συρακούσας, τῷ ἑαυτοῦ συσσίτῳ μελιττούτης ἀπέδοτο τὸν κλῆρον, ὃν ἐν Συρακούσαις λαχὼν ἔμελλεν ἕξειν.*

145. [127.]

Harpocrat. 171, 4: *Στρύμη — μνημονεύει τῶν Θασίων πρὸς Μαρωνείτας περὶ τῆς Στρύμης ἀμφισβητήσεως Φιλόχορος ἐν ε' Ἀρχίλοχον ἐπαγόμενος μάρτυρα.*

146. [128.]

Dio Chrysost. Or. 60. T. II. 666: *Ἔχεις μοι λῦσαι ταύτην τὴν ἀπορίαν, πότερον δικαίως ἐγκαλοῦσιν οἱ μὲν τῷ Ἀρχιλόχῳ, οἱ δὲ τῷ Σοφοκλεῖ, περὶ τῶν κατὰ τὸν Νέσσον καὶ τὴν Δηϊάνειραν ἢ οὔ· φασὶ γὰρ οἱ μὲν τὸν Ἀρχίλοχον ληρεῖν ποιοῦντα τὴν Δηϊάνειραν ἐν τῷ βιάζεσθαι ὑπὸ τοῦ Κενταύρου πρὸς τὸν Ἡρακλέα ῥαψῳδοῦσαν, ἀναμιμνήσκουσαν τῆς τοῦ Ἀχελῴου μνηστείας καὶ τῶν τότε γενομένων· ὥστε πολλὴν σχολὴν εἶναι τῷ Νέσσῳ, ὅ τι ἐβούλετο πρᾶξαι.* Ad hoc carmen respicit et Schol. Apoll. Rhod. I. 1212: *Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα καὶ διάγων ἐν Καλυδῶνι παρὰ τῷ Οἰνεῖ ἐν συμποσίῳ Κύαθον ἤτοι τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν· φεύγων οὖν τὸν φόνον καὶ σὺν τῇ γαμετῇ στελλόμενος ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον Κένταυρον, ὡς καὶ Ἀρχίλοχος ἱστορεῖ.* et Schol. Il. φ'. v. 237: *Ἀρχίλοχος μὲν οὐκ ἐτόλμησεν Ἀχελῷον ὡς ποταμὸν Ἡρακλεῖ συμβαλεῖν, ἀλλ' ὡς ταῦρον.*

147. [130.]

Plut. vit. Marii c. 21: *Μασσαλιήτας μέντοι λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι, πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας.*

148.

Aelian. Var. Hist. X. 13: *Αἰτιᾶται Κριτίας Ἀρχίλοχον, ὅτι κάκιστα ἑαυτὸν εἶπεν· εἰ γὰρ μή, φησίν, ἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ*

Digitized by Google

ἑαυτοῦ εἰς τοὺς Ἕλληνας ἐξήνεγκεν, οὐκ ἂν ἐπυθόμεθα ἡμεῖς, οὔτε ὅτι Ἐνιποῦς υἱὸς ἦν τῆς δούλης, οὔθ' ὅτι καταλιπὼν Πάρον διὰ πενίαν καὶ ἀπορίαν ἦλθεν εἰς Θάσον, οὔθ' ὅτι ἐλθὼν τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο· οὐδὲ μὴν ὅτι ὁμοίως τοὺς φίλους καὶ τοὺς ἐχθροὺς κακῶς ἔλεγε· πρὸς δὲ τούτοις, ἥ δ' ὅς, οὔτε ὅτι μοιχὸς ἦν, ἤδειμεν ἄν, εἰ μὴ παρ' αὐτοῦ μαθόντες· οὔτε ὅτι λάγνος καὶ ὑβριστής· καὶ τὸ ἔτι τούτων αἴσχιστον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν· οὐκ ἄρα ἀγαθὸς ἦν ὁ Ἀρχίλοχος μάρτυς ἑαυτῷ, τοιοῦτον κλέος ἀπολιπὼν καὶ τοιαύτην ἑαυτῷ φήμην. Ταῦτα οὐκ ἐγὼ τὸν Ἀρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

149. [131.]

Malalas Chronogr. IV. 68: Ὅστις Λυγκεὺς πολεμήσας τῷ Δαναῷ βασιλεῖ τοῦτον ἐφόνευσε καὶ ἔλαβε τὴν βασιλείαν καὶ τὴν θυγατέρα αὐτοῦ, καθὼς ὁ Ἀρχίλοχος ὁ σοφώτατος συνεγράψατο. Archilochi nomen valde suspectum.

150.

Athen. I. 30. F: Ἀρχίλοχος τὸν Νάξιον οἶνον τῷ νέκταρι παραβάλλει. cf. Eust. Od. 1633, 48.

151. [115.]

Hesych.: Κάρπαθος τὸν μάρτυρα. Καρπάθιος δὲ λαγών, κατ' ἔλλειψιν τοῦ ἐπηγαγετο· διὰ γὰρ τὸ μὴ εἶναι λαγωοὺς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοὶ καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τόν τε σῖτον αὐτῶν καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν βλάπτεσθαι. ὁ γοῦν Ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν ἔφη· Καρπάθιος τὸν μάρτυρα. ubi Κάρπαθος videtur legendum, ut est in lemmate. Zenob. IV. 48: Καρπάθιος τὸν λαγών ... ὁ γοῦν Ἀρχίλοχος ταύτην τὴν παροιμίαν ἔφη· (Κάρπαθος τὸν μάρτυρα. haec enim verba addo) cf. ibi interpr.

152.

Eustrat. ad Aristot. Eth. Nicom. VI. 7: παράγει δ' εἰς μαρτυρίαν ... ποίησιν Μαργίτην ὀνομαζομένην Ὁμήρου· μνημονεύει δ' αὐτῆς οὐ μόνον αὐτὸς Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ποιημάτων, ἀλλὰ καὶ Ἀρχίλοχος καὶ Κρατῖνος καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν μαρτυροῦσιν Ὁμήρου εἶναι τὸ ποίημα. Ruhnken pro Ἀρχίλοχος coniecit Ἀριστοφάνης coll. Arist. Av. 910., poterat probabilius ἀλλὰ καὶ Ἀρχιλόχοις Κρατῖνος.

153. [133.]

Eustath. 314, 43: Ἀλκαῖος δὲ φασὶ καὶ Ἀρχίλοχος ἀγέρωχον τὸν ἄκοσμον καὶ ἀλαζόνα οἶδε.

154. [134.]

Hesych.: Ἀγόμενος· δοῦλος· παρὰ Ἀρχιλόχῳ, Nauck coni. ἄτμενος sine causa idonea.

Digitized by Google

155. [123.]

Hesych.: *Ἀηδόνος· νεοσσός· καὶ τὸ τῆς γυναικὸς αἰδοῖον παρὰ Ἀρχιλόχῳ.* coniungunt *ἀηδόνος νεοσσός*, contra Valckenaer *Ἀηδονιδεύς· ἀηδόνος νεοσσός.*

156. [135.]

Hesych.: *Ἄζυγία· ἄζευκτον· Ἀρχίλοχος.* corrigunt *Ἄζυγα.*

157. [136.]

Hesych.: *Ἄκομψον· ἀπάνουργον, ἁπλοῦν, Ἀρχίλοχος· οὐκ εὐ διακείμενον.*

158. [137.]

Pollux VI. 187: *λέγοιτο δ' ἂν ἐπὶ τούτῳ καὶ τὸ ἀμείβεσθαι· ἀμφίβολος δὲ ἡ ἀμοιβή· ἔστι μὲν γὰρ παρ' Ἀρχιλόχῳ καὶ παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ.*

159. [138.]

Schol. Nicandri Ther. 213: *Ἀργίλιπες δ' ἦγουν ἔκλευκοι ὡς Ἀρχίλοχος· ἀργιλιπὴς δὲ φάσις.* Ita codd. G. p. vulgo *Ἀρχίλοχος δ' ἀργιλιπῆς φησιν.* Bussemaker Φάσις (Φᾶσις), fort. φύσις, Lobeck coni. *Ἀρχίλοχος δὲ ἀργιλιπὴς δημὸς φησίν.*

160. [139.]

Hesych.: *Γυμνόν· ἀνυπόδητον* (Cod. *ἀνύδητον*) *ἢ ἀπεσκυθισμένον, ὡς Ἀργίλοχος.*

161. [141.]

Pollux II. 27: *βόστρυχος, ἀφ' οὗ καὶ διαβεβοστρυχωμένον παρὰ Ἀρχιλόχῳ.*

162. [142.]

Hesych.: *Δὶς τόση· τῇ ἡλικίᾳ· Ἀρχίλοχος.* ita Elmsley, vulgo *διστόση.*

163. 164. [144.]

Et. M. 324, 14: *ἐκ Ῥώμης· ἡ ἐξ πρόθεσις, ὅταν αὐτῇ σύμφωνον ἐπιφέρηται, τρέπει τὸ ξ εἰς κ. δεῖ δὲ προσθεῖναι, χωρὶς εἰ μὴ εὑρεθῇ μετὰ παρέλκοντος· οἷον ὡς παρὰ Ἀρχιλόχῳ· Διὲξ σωλῆνος καὶ πάλιν· Διὲξ τὸ μύρτον ἀντὶ τοῦ διὰ τὸ μύρτον. σημαίνει δὲ τὴν μυρσίνην.* Prius fragmentum redintegravit Schneidewin ope Schol. Homer. Il. ι'. 7: *Μετὰ γοῦν τῆς διὰ οὖσα ἡ ἐξ οὐ τρέπει τὸ ξ· διὲξ σωλῆνος εἰς ἄγγος.*

165. [143.]

Pollux II. 34: *ἐκτενισμένοι μὲν εἴρηκεν Ἀρχίλοχος.*

Digitized by Google

166. [146.]

Hesych.: *Ἔτρεψεν· ἐπέτρεψεν, ἠπάτησεν, παρέτρεψεν· Ἀρχίλοχος.*

167. [147.]

Hesych.: *Ἥμισυ τρίτον· δύο ἥμισυ· Ἀρχίλοχος.* Cf. Prisc. T. II. p. 391. 395.

168.

Cyrill. Cram. An. Par. IV. 183, 21: *Θριαθρίκη· Ἀρχίλοχος· καὶ ὅτι ἀπὸ Θριῶν τῶν Διὸς θυγατέρων διωνομάσθησαν, ὡς Φερεκύδης ἱστορεῖ· ἐπεὶ τρίαι εἰσίν, οἷον τρισσαὶ κατὰ τὸν ἀριθμόν.* et ib. *Θριαθρικκί· Μαντείαι καὶ ψήφοι· οἷον τρισσαὶ τὸνὰ ριθμόν.* Conieci aliquando *Θριαὶ θρησκαί*, et hoc modo restituendum censui versum anonymi ap. Cram. An. Ox. IV. 337, 26:

Θριαὶ θρησκαὶ γρηῢν ἐπιπνείουσι κορώνην.

169. [108.]

Pollux. X. 135: *Καὶ ἶπος τὸ πιέζον τὰς ἐσθῆτας ἐν τῷ γναφείῳ, ὡς Ἀρχίλοχος κέαται δ' ἐν ἴπῳ.* Eadem VII. 41.

170.

Cram. An. Ox. I. 249, 27: *Παρὰ τὸ ἐκεῖθι, κεῖθι καὶ κεῖ παρὰ Ἀρχιλόχῳ.*

171. [120.]

Eustath. II. p. 851, 33: *Καὶ ἔοικεν ὁ σκορπιώδης τὴν γλῶσσαν Ἀρχίλοχος ἄπαλὸν κέρας τὸ αἰδοῖον εἰπών, ἐντεῦθεν τὴν λέξιν πορίσασθαι.*

172.

Pollux IV. 71: *Ὁ δὲ τοῖς αὐλοῖς χρώμενος αὐλητὴς καὶ κεραυλὴς κατὰ τὸν Ἀρχίλοχον.*

173. [150.]

Pollux I. 232: *Χρῆται δὲ καὶ Ἀρχίλοχος τῷ τῶν κοκκυμήλων ονόματι.*

174. [151.]

Etym. M. p. 529, 12: *Κοπάεν ξίφος παρὰ Ἀρχιλόχῳ· ἀπὸ τοῦ κοπάγειν· ζήτει.* ubi V *Κοπόεν· κόπος κοπόεις κοπόεν, ὡς στόνος στονόεις στονόεν.* M *Κοπτᾶ ξίφος π̣ ἀρχαί.* Scrib. *ἀπὸ τοῦ κόπτειν ζήτει εἰς τὸ κώπη* (p. 551, 36.). Brevis syllaba *κο* firmatur latino verbo *capio*, terminatio *αεις* iis, quae Herod. *π. μ. λ.* p. 14. affert. Meineke coni. *παρὰ Ἀλκμάνι.*

Digitized by Google

175. [152.]

Steph. Byz. v. *Κρήτη*· *ἡ μεγίστη νῆσος, ἣν Κρεήτην ἔφη Ἀρχίλοχος κατὰ πλεονασμόν.* cf. Eustath. ad Dionys. 498. ubi *Ἀρχίας τις.*

176. [181.]

Schol. Hom. Il. ζ'. 507: *Οἱ νεώτεροι ἐπιθυμεῖν τὸ κροαίνειν, ὡς Ἀρχίλοχος.* et deinde: *Τὸ κροαίνων οὐκ ἔστιν ἐπιθυμῶν, ὡς Ἀρχίλοχος ἐξέλαβεν.* Cf. Cram. An. Par. III. 284, 7.

177. [153.]

Pollux X. 160: *Ἀλλὰ μὴν καὶ κύρτη σιδηρᾶ ἀγγεῖόν τι, οἷον οἰκίσκος ὀρνίθειος, παρὰ Ἡροδότῳ καὶ Ἀρχιλόχῳ.*

178. [154.]

Schol. [Aristoph. Plut. v. 476: *Κύφων — Ἀρχίλοχος δὲ ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος.* Cf. Schol. Lucian. Pseudol. c. 17. Suid. v. *Κύφωνες.*

179. [117.]

Etym. M. p. 152, 52: *Ἐπαφρόδιτος δὲ παρὰ τὸ λέχος λεχαίνειν, τὸ λέχους ἐπιθυμεῖν, καὶ κατὰ τροπὴν λεγαίνειν· ἔνθεν Ἀρχίλοχος· λέγαι δὲ* (hoc add. DV.) *γυναῖκες ἀντὶ τοῦ ἀκόλαστοι.*

180. [160.[

Pollux VI. 80: *Μέσπιλα, ἃ καὶ ὅα καλεῖται· καὶ τοὔνομά ἐστι παρὰ Πλάτωνι τοῦτο, ὡς παρ' Ἀρχιλόχῳ ἐκεῖνο.*

181. [157.]

Hesych.: *Μουνόκερα· τὸ μηκέτι ἔχον τὴν ἀλκήν· ὡς Ἀρχίλοχος.* fort. *Μουνόκερον*, contra Lobek *τὰ μ. ἔχοντα.*

182. [155.]

Suidas: *Μυδαλέας, διαβρόχους, μυδαλέα δάκρυσι, καὶ μυδάλεον, δίυγρον, παρὰ Ἀρχιλόχῳ διάβροχον, λέγει δὲ τὸ ἐπίδακρυ καὶ κάθυγρον αἷμα, τὸ ἐννότερον, ῥυπαρόν.* Eadem Phot. 278, 13. Videtur igitur Archilochus *αἷμα μυδάλεον* dixisse, non recte Meineke coni. *Αἰσχύλῳ* compar. Aesch. Pers. 536.

183. [156.]

Tzetz. ad Lycophr. 771: *Οἱ δὲ μύκλους φασὶ τοὺς κατωφερεῖς πρὸς γυναῖκας· εἴρηται δὲ ἀπὸ ἑνὸς Μύκλου αὐλητοῦ κατωφεροῦς εἰς γυναῖκας, καὶ κωμῳδηθέντος ἐπὶ μαλθακότητι ὑπ' Ἀρχιλόχου.* Petita haec sunt ex antiquis in Lycophronem scholiis, vid. Et. M. 594, 21. ubi tamen nulla fit Archilochi mentio, ut suspicari possis Tzetzem errasse. Et conieci aliquando versum, quem et Tzetzes et Et. M.

Digitized by Google

ex Callimacho afferunt, qui ab aliis Antimacho tribuitur, vid. ad Antimachi Fr. 15., neutrius esse, sed *Archilochi*:

Ἔστιν μοι Μάγνης ἐννεαμυκλος ὄνος.

184. [140. 144. 158. 163.]

Suidas: *Μυσάχνη· ἡ πόρνη παρὰ Ἀρχιλόχῳ· καὶ ἐργάτις καὶ δῆμος* (Küster δήμιος) *καὶ παχεῖα.* Cf. Eustath. 1329, 34: *Ἀρχίλοχος δὲ παχεῖαν καὶ δῆμον ἤγουν κοινὴν τῷ δήμῳ, καὶ ἐργάτιν, ἔτι δὲ μυσάχνην παρ' ἀναλογίαν τοῦ ἅλς ἅχνη καὶ εἴ τι τοιοῦτον.* Adde ib. 1088, 39: *ἡ δὲ ῥηθεῖσα ἔννοια καὶ ἐργάτιν τὴν τοιαύτην ἐθέλει καλεῖσθαι γυναῖκα, καὶ παχεῖαν δὲ διὰ τὸ πολύτροφον — καὶ τὸ δῆμον αὐτὴν λέγεσθαι παρὰ Ἀρχιλόχῳ.* et praeterea Hesych. *ἐργάτις, τὴν Νεοβουλείαν λέγει ὡς παχεῖαν.* Cum Aristophanis Schol. Av. 1619. versum proferat: *περὶ σφυρὸν παχεῖα, μισήτη γυνή,* auctoris nomine non addito, fortasse hic Archilochi est, qui dixerit: *Ἐργάτις | Περὶ σφυρὸν παχεῖα, μισήτη γυνή, Δῆμος, μυσαχνή.*

185. [159.]

Hesychius: *Μύσχης· εὖρος* (Sopingius *εὐρώς*, potius *νεφρός*) *ὡς Ἀρχίλοχος·* (ita Alberti, v. *Ἀμφίλοχος*). Ibid. sequitur *Μύσχον τὸ ἀνδρεῖον καὶ γυναικεῖον αἰδοῖον.* Fort. pertinet ad Fr. 46., ubi alii *μύσχεω* pro *μύκεω* legisse videntur.

186. [161.]

Pollux X. 27: *ἢ ὡς Ἀρχίλοχος πακτῶσαι, τὸ κλεῖσαι.*

187. [164.]

Eust. Il. 711, 32: *Λέγει δ' αὐτὸς* (haud dubie Aristophanes Byz.) *καὶ τὰς πρόκας παρ' Ἀρχιλόχῳ ἐπὶ ἐλάφου τεθεῖσθαι, παρ' ᾧ καί τις διὰ δειλίαν προσωνομάσθη πρόξ.*

188. [165.]

Tzetz. Lycophr. 91: *Πύγαργον, δειλὸν ἢ αἰσχρὸν ἢ ἅρπαγα· εἰσὶ γὰρ μελάμπυγοι, πύγαργοι εἴδη ἀετῶν κατ' Ἀρχίλοχον.* (Vit. 3. *Ἀρχέλαον*), nisi forte tantum Fr. 109. respexit.

189. [121.]

Hesych.: *Πυῤῥιχίζειν τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον. Πυῤῥίχην ἔλεγον. — οἱ δὲ ἀπὸ Πύῤῥου τοῦ Ἀχιλλέως· ἐφησθέντα γὰρ τῷ Εὐρυπύλου φόνῳ ὀρχήσασθαι φησὶν Ἀρχίλοχος· ὅθεν καὶ ὁ Πυῤῥίχιος ποὺς ὠνομάσθη.*

190.

Choeroboscus p. 83. (et 315): *εὑρίσκομεν δὲ καὶ ἐπὶ τῆς σταφυλῆς διὰ τοῦ ω λεγόμενον ῥώξ, ῥωγὸς παρὰ Ἀρχιλόχῳ.*

Digitized by Google

191. [168.]

Hesychius: *Σάλπιγξ — καὶ θαλασσίαν σάλπιγγα· παρ' Ἀρχιλόχῳ δὲ τὸν στρόμβον.*

192. [169.]

Hesychius: *Σκελήπερον· νήπιον· Ἀρχίλοχος.* Sopingius *σκέληθρον* coni.

193. [170.]

Eust. Od. 1828, 11: *καὶ λιμοκίμβιξ δὲ ὁ αὐτὸς καὶ κυμινοκίμβιξ διὰ σμικρότητα· καὶ ῥυπακόνδυλος καὶ συκοτραγίδης παρὰ Ἱππώνακτι καὶ Ἀρχιλόχῳ διὰ τὸ εὐτελὲς τοῦ βρώματος.* nam Eustathius ultimum tantum vocabulum ex iambographis petiisse videtur.

194. [171.]

Erotian. 360: *Τράμιν, τὸν ὄρρον, ὅνπερ καὶ ἱππόταυρον καλοῦμεν — μέμνηται καὶ Ἀρχίλοχος.*

195. [172.]

Pollux II. 23: *Καὶ οὐλότριχες παρ' Ἡροδότῳ, Ἀρχίλοχος δὲ ἀναστρέψας τρίχουλον εἴρηκεν.*

196. [174.]

Eust. Od. 1746, 8: *Ὁμοίως τῷ θῶ, θύος, καὶ φλῶ, φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας.*

197. [175.]

Athen. III. 86. B: *Καὶ Ἀρχίλοχος δὲ τῆς χηράμβης* (ABP *χηράμβας*, VL *χηράβας*) *μέμνηται.*

198.

Hesych.: *Ψαυστά· ψαιστά. Ἀρχίας.* Corr. *Ἀρχίλοχος.*

Archilochi nomen saepe ex errore ortum, sicut Schol. Hom. Od. κ'. 193. male *Ἀρχίλοχος* pro *Ἀρίσταρχος* legitur, idem error deprehenditur Schol. Hesiod. Theog. 991. et Schol. Aristoph. Nub. 109. Suid. v. *Φασιανός.*) — Ap. Schol. Nic. Ther. 617. vulgo *Ἀρχίλοχος*, sed G *Ἀντίλοχος*, nisi *Ἀμφίλοχος* malis. — Ap. Polluc VI. 100: *καὶ γευστηρίου μὲν Ἀριστοφάνης μέμνηται, μάνου δὲ Νίκων ἐν Κιθαρῳδῷ — ὁλκαίου δὲ Ἀντίοχος· ἔστι δὲ ὁλκαῖον, ᾧ τὰ ἐκπώματα ἐναπονίπτουσιν,* Ruhnkenius *Ἀρχίλοχος*, rectius Meineke *Ἀντίδοτος* coniecit. — Apud Polluc. X. 141: *καὶ ὀπήτιον εἴρηται ἐν Νικοχάρους Κρησίν· τοῖς τρυπάνοις ἀντίπαλον, ὅπερ ἀρχίλιον* (vel *ἀγχίλιον*). sic libri, corrigunt *Ἀρχιλόχειον* parum probabiliter. Meineke scripsit:

τοῖς τρυπάνοισιν ἀντίπαλον ὀπήτιον.

Digitized by Google

Et. M. 72, 39: τὸ γὰρ ἐναλλάσσειν παρὰ τοῖς ἀρχαίοις ἀλφαίνειν ἐλέγετο, sic recte PVb, sed D πτ' αρχ, non recte Valckenaer παρὰ τῷ Ἀρχιλόχῳ coniecerat. — Neque vere Gaisford coniecit ap. Zenobium Prov. I. 52. pro Ἀριστοφάνης ἐν τετραμέτροις scribendum esse Ἀρχίλοχος. — Denique Cramer An. Ox. I. 307, 22: τὸ ο λῆγον εἰς ρω ἐπιφερομένου συμφώνου, μὴ τοῦ μυ, ψιλοῦται, οἷον ὀργή· ὀρχηστὴς Ἀντίλοχος. coniecit Ἀρχίλοχος, sed Ὀρσίλοχος scribendum.

II.

SIMONIDES AMORGINUS.

1. [1.] *)

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων ὅσ' ἔστι, καὶ τίθησ' ὅπη θέλει·
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι
ἃ δὴ βότ' αἰεὶ ζῶμεν, οὐδὲν εἰδότες,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει
ἄπρηκτον ὁρμαίνοντας· οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκέει βροτῶν
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φίλος·
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν,
πρὶν τέρμ' ἱκηται· τοὺς δὲ δύστηνοι νόσοι

Simonides Amorginus. Fr. 1. Stobaeus XCVIII. 16: Σιμωνίδου. V. 2. ὅσ' Gesn., codd. ὅς. — ὅπη, Ahrens ὅκῃ. — V. 3. νόος, Grotius νοῦς. ib. Brunck ἐπ'. ib. Vind. Trinc. Gesn. ἐφημέριοι. — V. 4. ἃ δὴ βότ' αἰεὶ ζῶμεν scripsi, ἄδῃ βοτὰ ζώομεν A, ἄδῃ βοτὰ B, δὴ βροτοὶ ζώομεν Vind., δὴ βροτοὶ ζώομεν ἀεὶ δὴ βοτὰ ζώομεν Gesn., δὴ βρωτοὶ ζώομεν ὅπως μένουσ' ἐλθεῖν Trinc., mediis omissis. Grotius ἀεὶ βροτοὶ δὴ ζῶμεν, Ahrens ἃ δὴ βοτὰ ζώουσιν, Schneidewin ἀλλ' ἃ δὴ βροτοὶ Ἐφημέρειοι ζῶμεν. — V. 5. ὅπως, A a pr. m. ὅμως. Scripserat ὅκως. — ἐκτελευτήσει AB Vind., ἐκτελευτήσῃ v. — V. 6. κἀπιπειθείη ABN Vind., κἀπιθείη vulgo Fort. legendum καὶ πεποιθίη, cf. Hesych. πεποιθίαν, ἐλπίδα, προσδοκίαν. κἀπιπειθίη Welcker, κἀπ' ἀπειθίη Haase, κἀπὶ πενθείη Ahrens. Sed cf. Hesych. ἐπιπειθείη· ἀναπεισμονῆσα, ubi Schneidewin ἀπαπεισμονή. Σιμωνίδης ἀ. corrigit. — V. 8. aperte corruptus, fort. μένουσιν ἔλδωρ. — V. 9. Meinek. Poet. Com. IV. 717. ἐς νέωτα, idem v. 10. Πλούτῳ τε καὶ θεοῖσιν, sed videtur vitium alibi delitescere, coni. οὐ δοκέει βρύον πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φάος.

---

*) Numeri adiecti sunt editionis Welckerianae.

Digitized by Google

φθείρουσι θνητῶν· τοὺς δ' Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἄϊδης ὑπὸ χθονός·
οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλός
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζόειν·
οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ,
καὐτάγρετοι λείπουσιν ἠλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν· ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι
καὶ πήματ' ἐστίν· εἰ δ' ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ' ἐπ' ἄλγεσιν
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

2. [2.]

Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρης μιῆς.

3. [3.]

Πολλὸς γὰρ ἡμῖν ἐστι τεθνάναι χρόνος,
ζῶμεν δ' ἀριθμῷ παῦρα (καὶ) κακῶς ἔτεα.

4. [4.]

Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.

V. 13. θνητῶν, A βροτῶν θνητῶν, Ahrens δύστηνοι βροτῶν φθείρουσι νοῦσοι. fort. μορτῶν. — Ἄρει Brunck, Ἀρεῖ vulgo, ἀέρι Trinc. — V. 15. ἐν, A ἐνὶ. — V. 16. Schneidewin πορφυρέης. — V. 17. ζόειν Porson, ζάειν Grotius, ζώειν vulgo, sed locus graviter corruptus; in proecdosi scripseram: οἱ δ' ἤ μὴ δυν. ζόειν, ἐπ' ἀγχόνην κτλ., nunc coniicio εὐτ' ἂν ἠδὺ νώσωνται ζόειν, Ahrens εὐτ' ἄν μηχανήσωνται ζόην. — V. 18. B ἥψαντο. — V. 19. A ἢ αὐτάγρετοι. — V. 21. A δύο. — V. 23. Meineke οὐδ' ἐν ἄλγεσι Κακοῖς ἔδοντες, Seidler κακῶς ἔχοντες, Ahrens ἐκόντες coniecit, ego aliquando οὐδ' ἂν ἄλγεσιν Κακοῖσι δόντες, sed conf. Theogn. 555: χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα, ubi optimi libri ἐπ' (ἐν) ἄλγεσιν ἢτορ (ἦπαρ) ἔχοντα exhibent. — V. 24. αἰκιζοίμεθα Vind. Trinc., αἰκιζόμεθα v., αἰκιζώμεθα Grotius.

Fr. 2. Stob. Flor. CXXIV. 5: Σιμωνίδου. V. 2. φρονοῖμεν, Schneidewin φρονέοιμεν. — ἡμέρης Welcker, v. ἡμέρας. — μιῆς scripsi, v. μιᾶς.

Fr. 3. Stob. Flor. CXXI. 1: Σιμωνίδου· (sic A Vind., om. Trinc.) vulgo ad Simonidem melicum refertur, sed recte Welcker iambographo tribuit. — V. 1. ἐστι, Grotius coni. εἰς τὸ. — V. 2. ἀριθμῷ, Ahrens ἀμίθρῳ, cf. Et. M. 83, 42: Ἀμιθρῆσαι· Σιμωνίδης τὸν ἀριθμὸν ἀμιθρὸν εἶπε καθ' ὑπέρθεσιν, sed potest hoc ex melico desumtum esse. — καὶ addidit Welcker, Ahrens δὴ, contra Valckenaer coni. παῦρα μοχθηρῶς.

Fr. 4. Stob. Flor. CV. 7: Σιμωνίδου. Apostol. XII. 6, 5.

Digitized by Google

5. [6.]

Ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχει.

6. [7.]

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ λῃΐζεται
ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.

7. [8.]

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοις τ' ἐν εἵμασιν
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἶδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδέν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτοργόν, αὐτομήτορα,

Fr. 5. Plutarch. de prof. in virt. c. 14: *Οἱός τ' ἐστὶ κατὰ τὸν Σιμωνίδην ἄθηλος τρέχειν τῷ ἀγαθῷ μονονουχὶ συμῳδῦναι γλιχόμενος.* et an seni sit resp. ger. c. 12. *Ἀθ. ἵ. π. ὡς ἅ. τρέχει κατὰ Σιμωνίδην.* de esu carn. II. 2. Adde de virt. mor. c. 7., de tuend. san. c. 22. et Apost. XI. 93. f. Stob. CXV. 18. Ceterum fort. hoc *Lyrici* potius est fragm. ex epigrammate aliquo petitum, cum Plut. alias non utatur iambographi carminibus.

Fr. 6. Clem. Alex. Strom. VI. 744: *Ἡσιόδου δ' εἰπόντος* (Opp. 700.)· *Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λῃΐζετ' ἄμεινον Τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο, Σιμωνίδης εἶπεν· Γυναικὸς κτλ.* Eadem Eus. Praep. Ev. X. 466. D, (ubi *Σιμωνίδης ἐν ἑνδεκάτῳ*, Welcker coniecit *ἐν πρώτῳ*). Apostol. V. 77. c. Adde Boissonade An. I. 22. ubi *Θεόγνιδος· γυναικὸς ἀνὴρ οὐδὲν χ. λῃΐζεται κάλλιον ἐσθλῆς.* — V. 1. ap. Clem. cod. *γυναικὸς δ'.* — V. 2. Euseb. et Apost. ordine inverso *ἄμεινον ἐσθλῆς.*

Fr. 7. Stob. Flor. LXXIII. 61: *Σιμωνίδου* (sic A Trinc.). *χωρὶς κτλ.* — V. 1. *γυναικὸς*, in proecdosi conieci *γυναικῶν*, Schneidewin *γυναῖκας*, probante Ahrensio, qui praeterea *νόῳ* requirit. — V. 4. *κυλινδεῖται*, B *κυλίνδεται.* — V. 5. *αὐτὴ* Brunck, ut videtur, *αὗτη* Stob. ed. Gaisford. — *ἀπλύτοις τ'* Valckenaer et Gaisford, vulgo *ἀπλύτος τ'*, A Vind. *ἄπλιτος*, Trinc. *ἄπλουτος.* — *εἵμασιν*, *εἴμασιν* Voss., *εἱμάσιν* Arsen. B, *ἱμάσιν* vulgo. — V. 6. *ἡμένη*, A *εἱμένει*, Arsen. Vind. *εἱμένη.* — V. 10. *αὐτῶν*, Brunckii cod. (B?) *αὐτὸ*, sed in marg. *αὐτῶν*, Fr. Haase coni. *αὖτως*, Ahrens *εὖ γῶν.* — *εἶπε* A, *γ' εἶπε* B (et Brunckii cod.), *εἶ* Vind., *εἰ* Voss., *εὖ* Arsen., *εἶναι* N. Trinc., *ἐστι* vulgo. — *κακόν*, Voss. Vind. *κακῶν.* Locus corruptus videtur, fort. *τὸ μὲν γὰρ αὐτὸν* (i. e. *αὐτὸ*, ut *ταὐτὸν* dicitur) *εἶπε πολλάκις κακόν, τότ' ἐσθλόν.* — V. 12. *λιτοργόν* libri omnes, *λιτουργόν* Gesner, (cf. Hesych. *λιτουργόν, κακοῦργον*), *λειτουργόν* Grotius. Coniicio *λίταργον*, cf. Et. M. 567, 38: *Λίταργος κύων, σημαίνει τὸν ταχύν, παρὰ τὸ λίαν ἀργὸν εἶναι ἤγουν ταχύν.* — *αὐτομήτορα*, Wakefield *αὐτο-*

Digitized by Google

ἥ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντη δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ,
οὐδ' εἰ χολωθεὶς ἐξαρύξειεν λίθῳ
ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·
ἀλλ' ἐμπεδῶς ἄπρηκτον αὐονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γῆθεν Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακόν,
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
χῶταν κακὸν χειμῶνα ποιήσῃ θεός,
ῥιγοῦσα δίφρον ἄσσον ἕλκεται πυρός.
Τὴν δ' ἐκ θαλάσσης, ἣ δύ' ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·
„Οὐκ ἔστιν ἄλλη τῇδε λωΐων γυνή
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.“
τὴν δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ' ἄσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπληστον, ὥςπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἴσα καὶ φίλοισι γίγνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται

κλήτορα, Doederlein *αὐτομήστορα*, Fr. Haase *αὐτορήτορα*, Nauck *αὐονήτορα*, Ahrens *ἀστομήτορα*, quod interpretatur *ἄστομον ἦτορ ἔχουσαν*, bar bare ut videtur. — V. 16. *δ' ἄν μιν*, Vind. *δ' ἄμμιν*, Voss. *δέ μιν*. — V. 18. *οὐδ' ἂν*, malim *οὔτ' ἄν*. — V. 19. *ἡμένη*, A Voss. Vind. Arsen. *εἱμένη*. — *τύχοι* Arsen., ceteri *τύχῃ*, quod defendi potest. — V. 20. *ἐμπεδῶς*, A *ἔμπεδος*. — *αὐονὴν*, A *αὐον ἦν*. — V. 22. *πηρόν* A Voss. Vind. Ars., vulgo *πονηρόν*. — V. 24. *ἔργον*, Vind. Voss. *ἔργων*. — V. 25. *χῶταν*, Vind. *χ' ὅταν*, A *κοὔτ' ἄν*, fort. *κὤταν* ut etiam Ahrens. Hermann coni. *κευτ' ἄν ... ἕλκεσθαι*, Schneidewin *κοὐδ' ἦν*. — V. 27. *ἣ δύ' ἐν φρεσὶν νοεῖ* correxi, eamque coniecturam Guil. Dindorfio probavi, itaque Schneidewin scripsit, A Vind. Voss. Arsen. Trinc. *ἡδὺ ἐν φρεσὶν νόει* (B *νοεῖ*), v. *ἥδη ἐν φρεσὶν νόει*, Ahrens coni. *ἥ δύ' ἐν φρεσὶν νόοι*. — V. 28. *τὴν*, Schneidewin *ἦν*. — V. 29. *μιν* Valckenaer et Brunck (ut Schneidewin dicit etiam cod. Vind. a m. pr.), libri *μὲν*. — V. 30. *λωΐων*, *λωΐον* Vind. Voss. Trinc. — V. 32. *ἀνεκτὸς*, B *ἀνεκτόν*. — *οὐδ' ἐν*, Schneidewin *οὔτ' ἐν*, ego in proecdosi scripsi *οὐδ' ἔν'*. — V. 34. *ἄπληστον*, fort. *ἄπληστος*, Froehlich *ἄπλητον*. — V. 35. *κἀποθυμίη* A Voss. Ars. Trinc., vulgo *κάποθυμία*. — V. 37. *ἀτρεμής*, Valckenaer coni. *ἀτρέμας*.

Digitized by Google

βαρυκτύποισι κύμασιν φορευμένη·
ταύτῃ μάλιστ' ἔοικε τοιαύτῃ γυνή
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο
ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνύξ, προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ·
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ' ἑταῖρον ὀντινῶν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνόν, οὐδ' ἐράσμιον·
εὐνῆς δ' ἀληνής ἐστιν ἀφροδισίης,
τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ·
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά,
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.

V. 40. φορευμένη, B φορουμένη, Ahrens φυρευμένη. — V. 42. φυὴν A Vind. Trinc., vulgo φυγήν. Totum versum subditicium existimat Schneidewin, contra O. Schneider φυὴν δ' ὡς (ita etiam Grotius) πόντος αἰόλην ἔχει, Hermann φυὴν δὲ πάντοθ' ἀλλοίην ἔχει, et huic versui subiiciendos censet v. 37—40., Doederlein γυνή· ὀργὴν φυὴν θ' ὡς πόντος ἀλλοίην ἔχει. Ego conieci φυὴν δ' ἑκάστοτ', sed videtur locus gravius vitium contraxisse, fort. versus transponendi itaque corrigendi:

ὀργὴν δὲ πόντος ἄλλοτ' ἀλλοίην ἔχει·
ταύτῃ μάλιστ' ἔοικε τοιαύτῃ γυνή.

— V. 43. ἔκ τε σποδιῆς, Brunck ἐκ τέφρης τε, Meincke ἔκ τε πολιῆς vel πελλῆς, ego in proecdosi scripsi ἐκ σποδείης, idque etiam Meineke proposuit, quamquam aliud exemplum huius adiectivi non novi. — παλιντριβέος, B παλιντριβοῦς, fort. παλιντριβεῦς. — V. 45. ἔστερξεν AB, ἔρξεν Vind. Voss. Ars. N. Trinc., ἔρξεν vulgo. — ὧν Brunck, οὖν Gesner, ὦν vulgo. — V. 46. ἀρεστά haud dubie corruptum, coniicio ἄτρεστα, quem admodum asinus ipse ἀτρεύς vel ὀτρεύς dictus est. Sed gravem praeterea hic locus labem contraxisse videtur, nam sententia instituta parum recte procedit. Possis credere quaedam excidisse, alia traiecta esse, exempli gratia: ἢ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις | ..... καὶ πονήσατο | ἄτρεστα· τόφρα δ' | .... ἔστερξεν ὧν ἅπαντα ... | .... ἐσθίει κτλ. Sed fort. scrib. ἢ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις ἀτρεστα τεφρὰς ὡς ὄνος πονήσατο· ἔστερξεν ὧν πάντ'· ἐσθίει κτλ. — V. 48. ὁμῶς, Brunck ὅμως. — V. 50. γαλῆς, Welcker γαλέης. — V. 51. οὔ τι, Ars. οὔτε. — ἐπίμερον A Voss. Vind. Ars., ἐφίμερον vulgo. — V. 53. ἀληνής Vind., ἀλήνης Gesn. in m., ἀληνῆς vulgo, ἀδηνῆς Valckenaer et Brunck, quod ferri nequit, nam *insatiabilis* debebat dici, quod fort. ipsum illud ἀληνής significat, si liberum est a labe. Cf. Hesych. Ἀλινοί· ἐπαφρόδιτοι. — V. 54. παρόντα, Brunck συνόντα, Schneidewin πειρῶντα.. — διδοῖ, Vind. δίδει, A δίδει. — V. 56. Affert hunc versum Athen. V. 179. D: ἀλλ' ὥσπερ Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικός· ἄθυτα δ' ἱερὰ π. κ. — ἄθυστα Stob. (vulgo et Vind.), ἄθυτα Ath. — ἱρὰ Stob. vulgo et Vind., ἱερὰ A et Ath. Ceterum aliquando conieci hunc versum collocandum esse post v. 47., contra v. 48. 49. traiiciendos post v. 54., non tamen Athenaei locus hoc commen-

Digitized by Google

Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσσ' ἐγείνατο,
ἣ δούλι' ἔργα καὶ δύην περιτρέπει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνόν, ἀσβόλην ἀλευμένη,
ἵζοιτ'· ἀνάγκη δ' ἄνδρα ποιεῖται φίλον·
λοῦται δὲ πάσης ἡμέρης ἅπο ῥύπον
δίς, ἄλλοτε τρίς, καὶ μύροις ἀλείφεται·
αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνή
ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακόν·
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ἦ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνή
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα βραχεῖα, κινεῖται μόγις,
ἄπυγος, αὐτόκωλος. ἃ τάλας ἀνήρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,

dat. — V. 57 — 70. affert Aelian. Hist. An. XVI. 24. eodem resp. XI. 36. — V. 57. *ἁβρὴ χαιτέεσσ'* Meineke, *ἁβρὴ χαιτήεις* A, *ἁβρηχαιτείης* Vind., *ἁβρηχετείης* Voss., *ἀχρηχαιτήεις* Arsen., *ἁβρὴ χαιτήεσσ'* B, Aeliani codd. *ἁβρὰ χαιτάεσσ'* vel *ἁβρὴ χαιτήεσσ'*. — V. 58. *ἣ δουλι'*, ap. Ael. M *ἣ δούλει'*, m *ἣ δούλει*, b *ἡ δ' οὔλι'*, a *ἣ δόλι'*. — *δύην* Stob., *ἄτην* Ael. (r *αὐτὴν*, c *αὖτη*). — *περιτρέπει*, Brunck coni. *ἀποστυγεῖ*, Bothe *παρατρέχει*, Schneidewin *περιτρέμει*, Iacobs *περιπτύει*, Ahrens *ἦ . . . περιτρέχει*. — V. 59. *κοὔτ' ἄν*, ap. Ael. Vat. *κοὐκ ἄν*, b *κοὐ κἂν*. — *οὔτε* ap. Ael. a *εἴτε*. — *κόσκινον*, ap. Al. mabrev *κοσκίνου*. — V. 60. *ἄρειεν*, ap. Ael. sol. Vat. *ἄρειεν*, ceteri *ὄναρ εἶδεν, ὄναρ εἶεν, ὄναρις*, quod ortum ex falsa scriptura *κοσκίνου* correcta. — V. 61. *ἰπνόν* B (et Acl.) *ἵππον* Voss. Vind. Ars. Trinc. (et ap. Ael. Mmaber), *ἵπνον* vulgo. — *ἀλευμένη*, Ars. *ἀλευσμένη*, ap. Ael. plerique codd. *ἄσβολον ἀδευμενη*. — V. 63. *ἡμέρης*, Voss. *ἡμέρας*. — *ῥύπον*, AB *ῥύπων*, et similiter Ael. *ἀπὸ ῥύπων*. — V. 64. *ἄλλοτε*, Ael. vulgo *πολλάκις*, sed codd. *ἄλλοτε*. — V. 65. *αἰεὶ* scripsi, v. *ἀεὶ*. — *φορεῖ*, Welcker *φορέει*, probante Schneidewino, qui talia ubique corrigenda existimat. — V. 67. *θέημα*, Vat. *θέαμα*. — V. 68. *γίγνεται* Voss., vulgo *γίνεται*. — V. 70. *τοιούτοις*, ap. Ael. (Mmavber) *τοιοῦτον*, hinc Iacobs coni. *τοιοῦτον θεσμὸν* vel *θυθμὸν*. — V. 74. *ἀνθρώποις*, Ars. *ἀστοῖσι*. Doederlein post h. v. inserendum censet v. 79. — V. 75. *βραχεῖα*, Ars. *βραχέα*. — V. 76. *αὐτόκωλος*, in proecdosi scripsi *αὐόκωλος*, idem coni. Haupt. — *ἃ τάλας*, AB *ἀτάλας*, Vind. *αὐτάλας*, vulgo *αὐτάλας*.

Digitized by Google

ὅκως τιν' ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνῃ γὰρ οἵῃ μῶμος οὐ προσιζάνει·
Θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος·
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος·
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις·
οὐδ' ἐν γυναιξὶν ἵδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διός
ἔστιν τε πάντα, καὶ παρ' ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
γυναῖκας· ἦν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντί τοι μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται·
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεόν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντ' ἂν προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρὸς — οἱ δὲ γείτονες

V. 82. ὅκως, A ὅππως, Ars. ὅλως. — τιν' ὡς Meineke, vulgo τί χ' ὡς. — V. 85. κἀπαέξεται, κἀπαύξεται Trinc. — V. 86. σὺν φιλεῦντι, συμφιλεῦντι B Vind. Voss. — V. 89. δ' om. Vind. Voss. — V. 91. ὅκου, B ὅπου, A οἶκου. — λέγουσιν, Ars. λέγουσα. — V. 93. τὰς, Ars. τας τ'. — V. 94. et quae sequuntur Bernh. Hist. Litt. Graec. II. p. 341. aliena ab hoc carmine esse censet. — φῦλα, Voss. Vind. φύλλα. — V. 95. corruptus videtur, coniicio ἔστιν τ' ἐπ' ἄτῃ καὶ παρ' ἀνδράσιν μένει. — V. 96. 97. om. B. — V. 97. δοκῶσι, Ahrens δοκέωσιν. — V. 98. τοι Winterton et Brunck, legebatur τῷ, Schneidewin τῳ, Ahrens τῇ μάλιστα. — V. 100. πέλεται, Salmasius coni. πίλναται, Ahrens τέλλεται, conieci σὺν γυναῖκ' ἐπέλκεται, i. e. συνεφέλκεται γυναῖκα. — V. 101. οἰκίης, B ἐκ δόμων. — V. 102. θεόν Grotius, θεῶν libri. — V. 106. ὅκου, A οἶκου. — V. 107. μολόντ' ἄν Meineke, vulgo μολόντα, A Vind. μολῶντα. — δεχοίατο, Schneidewin δεκοίατο. — V. 108. τοι, Arsen. τι, Hermann coni. τῳ. — V. 109. μέγιστα, A μεγίστη. — V. 110. γὰρ, Hermann coni. μάλ', contra Schaefer alii quaedam excidisse putant: sed poeta rem turpem ut significaret magis quam explanaret, reticentia usus est.

Digitized by Google

χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἴ'ν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄῤῥηκτον πέδῃ,
ἐξ οἵτε τοὺς μὲν Ἅϊδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

8. 9. [9.]

* * * * Ὥςπερ ἔγχελυς κατὰ
γλοιοῦ * * * *
Ἐρῳδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
τρίορχον εὑρὼν ἐσθίοντ' ἀφείλετο.

10. [15.]

Τί ταῦτα διὰ μακρῶν λόγων ἀνέδραμον;

11. [16.]

Οἷόν τε χηνὸς ᾠέον Μαιανδρίου.

12. [17.]

Σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην.

V. 113. τοὐτέρου Voss. et Vind. a m. sec. (m. prima γυναῖκα), A τοῦ ἑτέρου, Ars. τοῦ τέου, Trinc. τουτέου. — V. 116. ἄῤῥηκτον, Trinc. ἄρρητον. πέδῃ, Kocler πέδης recte ut videtur. — V. 117. ουτε, Gaisford coni. οὔ γε. Ceterum apparet carminis extremam partem intercidisse.

Fr. 8. 9. Athen. VII. 299. C: *Σιμωνίδης δ' ἐν ἰάμβοις· Ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ· καὶ τὴν αἰτιατικήν· Ἐρωδιὸς κτλ.* Fr. 9. — V. 1. ἐρῳδιὸς, legebatur ἐρωδιὸς. — ἔγχελυν *Μαιανδρίην* cf. Clem. Alex. Paedag. II. 164.

Fr. 10. Schol. Eurip. Phoen. 215: *κατενάσθην ἀντὶ τοῦ καταναστήσομαι· καὶ Σιμωνίδης ἐν τοῖς ἰάμβοις· Τίκτλ. ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω. διὰ* cod. Havn. et Taur., vulgo τῶν. Nauck coni. *τί δῆτα μακρῶν διὰ λόγων.*

Fr. 11. Athen. II. 57. D: *Σιμωνίδης ἐν δευτέρῳ ἰάμβων Οἷόν τε κτλ.* Cf. Eust. Od. 1686, 51.

Fr. 12. Choer. Epim. I. 278: *ἀλλ' ἔστιν ἰκτινος ἡ εὐθεῖα· — τούτου ἡ γενικὴ ἰκτίνου, ὡς παρὰ Σιμωνίδῃ· Σπλάγχν' κτλ.* Videtur ἀμφέποντες scribendum esse.

Digitized by Google

13. [18.]

* * *Τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο,*
τὸ ζωΐων κάκιστον ἔκτηται βίον.

14. [19.]

Οὐκ ἄν τις οἵτω δασκίοις ἐν οὔρεσιν
ἀνὴρ λέοντ' ἔδεισεν οὐδὲ πάρδαλιν,
μοῦνος στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ.

15.

Θύννοισι τευθίς, κωβιοῖσι κωρίδες.

16. [20.]

Κηλειφόμην μύροισι καὶ θυώμασιν
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

17. [20.]

Κ..ὶ τῆς ὄπισθεν ὀρσοθύρης ἰλσάμην.

Fr. 13. Etym. M. 413, 28. et Zonar. 967: *ζῳδίον· γράφεται δὲ μετὰ τοῦ ἰῶτα, ἐπειδὴ εὕρηται κατὰ διάστασιν, ὡς παρὰ Σιμωνίδῃ*, οἷον (hoc om. M et ut videtur D)· *Τόδ' ἡμῖν* (Zonar. *φησὶ γάρ· τὸ δ' ἡμ.*) *ἑ. π. ζώϊον κάκιστον.* Schol. Hom. Il. σ'. 407: *μετὰ δὲ τοῦ ι, ἐπὶ καὶ Σιμωνίδης φησί· τὸ ζῷον κάκιστον κέκτηται βίον, περὶ τοῦ κανθάρου.* — *παρέπτατο*, Hecker *προςέπτατο.* — V. 2. *ζωΐων* et *ἔκτηται* Bekker scripsit, idem praeterea coni. *δ'* pro *τὸ*.

Fr. 14. Galen. XVII. 1, 897. ed. Kühn: *μὴ γινώσκων ὑπὸ τῶν Ἰώνων τὸ στενὸν ὀνομάζεσθαι στενυγρόν· ἀλλὰ τούτου γε μαρτύριόν ἐστιν αὐτάρκες τὸ παρὰ Σιμωνίδῃ γεγραμμένον ἐν τοῖςδε τοῖς ἔπεσιν· Οὐκ ἄν τις κτλ. ταὐτὸν σημαίνει τῷ στενῇ.* Idem XVIII. 1, 411. repetit *εὔηλον δὲ τοῦτο κἀξ ὧν Σιμωνίδης εἶπεν, ὠδέ πως ἐχόντων· οὔπω . . . ἀτραπῷ· ψιλοῦται δὲ δηλονότι κατὰ τὴν δευτέραν συλλαβήν.* ubi v. 1. *οὔπω*, (unde Ahrens *οὔκω τις οὕτω*), v. 2. *λέγονται* δὶς *ἐν*, v. 3. *στενυγρῷ* legitur.

Fr. 15. Athen. III. 106. D: *Κουρίδας δὲ τὰς καρίδας εἴρηκε Σώφρων — Ἐπίχαρμος δ' ἐν Γᾷ καὶ Θαλάσσᾳ· Κουρίδες τε φοινίκιαι. ἐν δὲ Λογῳ καὶ Λογίνᾳ διὰ τοῦ ω εἴρηκεν — Σιμωνίδης δέ· Θύννοισι κτλ. — κωβιοῖσι* L, *κωβίοισι* PV.

Fr. 16. Clem. Alex. Paedag. II. 207: *Σιμωνίδης δὲ ἐν τοῖς Ἰάμβοις οὐκ αἰδεῖται λέγων· Κηλειφόμην κτλ.* Athen. XV. p. 699. C.: *Καὶ Σιμωνίδης· κηλειφόμην* (B *ἐκλειφόμην*) . . . *βακκάρει.* V. 1. *θυώμασι* Athen., *θυμιάμασι* Clem. — V. 2. *βακκάρι* C ap. Athen., ubi vulgo *βακκάρει*, ap. Clem. vulgo *βάκκαρι*, codd. *βάκκαριν* vel *κάκκαριν*.

Fr. 17. Et. M. 634. 1: *ὀρσοθύρη· θυρίς, δι' ἧς εἰς ὑπερῷον ὑπάρχει ἀνάβασις· παρὰ τὸ ὄρω, ὄρσω, καὶ τὸ θύρα . . . εἴρηται παρὰ τὸ ὀροῦσθαι ἐπ' αὐτήν· λέγει δὲ καὶ Σιμωνίδης κακοσχόλως· καὶ τῆς κτλ.* Sylburg coniecit *ὀρσοθυρίδος*, Hemsterhuys *κατ τῆς ὄ. ὀρ. ἠλασ(σ)άμην*, Lobeck *ὀρσύδρης διηλσάμην*, et ego quoque in proecdosi *διηλσάμην* conieci, fort. *ὀρθύρης διηλσάμην*, ut *ὀρθύρη* per syncopen pro *ὀρσοθύρη* sit dictum. Ceterum cf. Sotades ap. Athen. XIV. 621. B: *ὁ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρης.*

Digitized by Google

18. [22.]

Καὶ σαῦλα βαίνων, ἵππος ὡς κορωνίης.

19. [23.]

Ἡ τυφλὸς ἢ τις σκνιπὸς ἢ μέγα βλέπων.

20. [24.]

Θύουσι Νύμφαις τῷ τε Μαιάδος τόκῳ·
οὗτοι γὰρ ἀνδρῶν αἷμ' ἔχουσι ποιμένων.

21. [25.]

Σὺν πορδακοῖσιν ἐκπέσοντες εἵμασιν.

22. 23. [26.]

(Ἦ) πολλὰ μὲν δὴ προεκπονῆ, Τηλέμβροτε.

* * * *

Ἐνταῦθα μέντοι τυρὸς ἐξ Ἀχαΐης
Τρομίλιος θαυμαστός, ὃν κατήγαγον.

Fr. 18. Et. M. 270, 45: *Διασαυλούμενος παρὰ τὸν Σαῦλον, τὸν τρυφερὸν καὶ γαῦρον. Σιμωνίδης ἐν Ἰάμβοις· Καὶ κτλ.* Adde Zonar. 539. (ubi *καὶ κορ.*) — *κορωνίης* scripsi, et sic etiam G. Dindorf, *κορωνίδης* Welcker, vulgo *κορωνίτης*, quod defendit Meineke, sed choliambis usum esse Simonidem non probabile.

Fr. 19. Pollux II. 65: *Σκνιπὸν δὲ τὸν ἀμυδρῶς βλέποντα Σιμωνίδης ὁ Ἰαμβοποιός· Ἢ κτλ.* ubi A *ἢ σκνιπὸς ὁ μέγα βλ.*

Fr. 20. Schol. Odyss. ξ'. 435: *Καὶ Σιμωνίδης θύειν αὐτούς (τοὺς ποιμένας) φησι νύμφαις καὶ Μ. τ. κτλ.* Eadem Eustath. p. 1766, 1. (ubi v. 2. *ποιμαίνων*), — V. 1. *θύουσι* Barnes restituit, idem *τῷ τε*, vulgo *καί*. — V. 2. *αἷμ' ἔχουσι*, Eust. interpretatur *οὗτοι φυλάττουσι τὸ ποιμενικὸν γένος καὶ οἷον ζωοῦσιν αὐτούς.* In proecdosi *τημελοῦσι* scripsi, Meineke *μνῆμ' ἔχουσι*, Ahrens *ῥῦμ' ἔχουσι*, et praeterea v. 1. *Νύμφης ἠδὲ Μαιάδος τ.*

Fr. 21. Strabo XIII. 619: *καὶ τὸ Σιμωνίδου· σὺν πορδακοῖσιν ἐκπεσόντες ἵμασιν ἀντὶ τοῦ διαβρόχοις*, ubi *εἵμασι* scripsit Tyrrwhit. Contra Schol. Arist. Pac. 1148: *καὶ παρὰ Σιμωνίδῃ τῷ Ἀμοργίῳ· συμπαρδακῆσιν ἱμάσιν σεσαγμένοις*, ubi apparet *σεσαγμένοι* scribendum: videtur autem haec antiqua dittographia esse, nescias autem, utra sit praeferenda. Welcker in unum coniunxit: *Σὺν πορδάκοισιν ἐκπεσόντες εἵμασιν Σεσαγμένοι.*

Fr. 22. 23. Athen. XIV. 658. B: *Καὶ ὁ Τρομιλικὸς δὲ τυρὸς ἔνδοξός ἐστι· περὶ οὗ φησὶ Λημήτριος ὁ Σκήψιος ἐν δευτέρῳ Τρωϊκοῦ διακόσμου οὕτως· Τῆς Ἀχαΐας πόλις Τρομίλεια, περὶ ἣν γίνεται τυρὸς ἀγγειος ἡδύστος, οὐκ ἔχων σύγκρισιν πρὸς ἕτερον, ὁ προσαγορευόμενος Τρομιλικός· οὗ καὶ Σιμωνίδης μνημονεύει ἐν Ἰάμβῳ, οὗ ἡ ἀρχή· Πολλὰ μὲν δὴ προεκπονῆ Τηλέμβροτε, γράψων· Ἐνταῦθα κτλ.* Fr. 22. *Ἦ* adieci. — *Τηλέμβροτε*, A *τηλέμβρωτε*, B *προεκπονητὴ τηλέμβρωτε*. Coraes coni. *πολλόν με δεῖ προεκπονεῖν* (Nauck *δεῖ γὰρ ἐκπ.*) *κτλ.* — Fr. 23. V. 1. *Ἀχαΐης*, B *Ἀχαίης*, PVL *Ἀχαΐας*. — V. 2. *Τρομίλιος* PVL, *στρομίλιος* AB, *Τρομιλικὸς* Meineke.

Digitized by Google

24. [27.]

* *Χὡς ἄφευσα χὡς ἐμίστυλα κρέα*
ἰρωστί· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι.

25. [28.]

Ἔδωκεν οὐδεὶς οὐδ' ἀριστῆρα τρυγός.

26. [29.]

Ἀπὸ τράπεζαν εἶλε καὶ ποτήρια.

27. [30.]

Αὕτη δὲ φοξὴ χεῖλος Ἀργείη κύλιξ.

28. [31.]

Ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

29.

Πώλυπον διζήμενος.

Fr. 24. Athen. XIV. 659. D: *Οὐδὲν οὖν ἦν παράδοξον, εἰ καὶ θυτικῆς ἦσαν ἔμπειροι οἱ παλαίτεροι μάγειροι· προΐσταντο γοῦν καὶ γάμων καὶ θυσιῶν· — καὶ παρὰ δὲ Σιμωνίδῃ φησὶν ἕτερος· Χὡς κτλ.* V. l. χὡς ἀφεῖσα χὡς Bourdelot, χ' ὡσαφεὺς (χωσαρεὺς B, χωσαφεὺς P) σκχῶς VL. — V. 2. *ἰρωστί· καὶ* Hecker (nisi *εἰρωστί* malis), legebatur *εἰδώς· τί καὶ*, quod cum ineptum esset, Casaubon. *καλῶς* pro *κακῶς* coniecit.

Fr. 25. Athen. X. 424. C: *Καλοῦνται δὲ καὶ ἀρυστῆρες καὶ ἀρύστιχα. Σιμωνίδης· Ἔδωκεν κτλ.*

Fr. 26. Athen. XI. 460. B: *Ποτήρια δὲ πρῶτον οἶδα ὀνομάσαντα τὸν Ἀμόργιον ποιητὴν Σιμωνίδην ἐν ἰάμβοις οὕτως· Ἀπὸ κτλ. ἀπὸ τράπεζαν* AB, *ἀποτράπεζαν* V. — *καὶ* scripsi, vulgo *νιν.*

Fr. 27. Schol. Hom. Il. β'. 219: *Φοξός· εἴρηται ἀπὸ τῶν κεραμικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ἀπωξυμμένων, καθά φησι καὶ Σιμωνίδης· Αὕτη δὲ φησὶ, φοξίχειλος Ἀ. κ.* Eadem Etym. M. 798, 20. Zonar. 1817. (ubi *φοξόχειλος* ut videtur) Apoll. Soph. 164, 21. ubi codd. *αὐτὴ δὲ φοξὴ χειρός.* Et. Gud. 560, 22. (*φοξόχειλος*) Cram. An. Par. III. 279, 8. *φοξίχειρος*, Matranga An. 467. (*αὐτὴ* et *φοξίχειλος*). Pro *φοξίχειλος* scripsi *φοξὴ χεῖλος*, idque et librorum lectiones firmare videntur et Athen. XI. 480. D: *αἱ δὲ Ἀργεῖαι δοκοῦσι καὶ τὸν τύπον ἔχειν διάφορον πρὸς τὰς Ἀττικάς· φοξαὶ γοῦν ἦσαν τὸ χεῖλος, ὡς Σιμωνίδης φησὶν ὁ Ἀμόργιος· Αὕτη* (sic B, vulgo *αὐτὴ*) *δὲ φοξίχειλος.* Eust. 207, 12.

Fr. 28. Schol. Arist. Ach. 740: *Οὐ μόνον Ἀριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν, ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου· Ὁπλὰς κτλ.* Eadem Suid. v. *ὁπλή.*

Fr. 29. Athen. VII. 318. F: *Λωριεῖς δ' αὐτὸν διὰ τοῦ ω πολλοὶ πώλυπον, ὡς Ἐπίχαρμος· καὶ Σιμωνίδης δ' ἔφη πώλυπον διζ.* Cf. Eustath. 1541, 31.

Digitized by Google

30.

Μηρίων δεδαυμένων.

31.

Schol. Hom. Il. *ν'*. 203: *ἤϊα βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ ἐσθιόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ καὶ πλῷ. Δεῦτε φίλοι ἤϊα φερώμεθα.* (hoc est Od. *β'*. 410.) *Σιμωνίδης* (D *Σιμωνίδης φησίν*, B *φησὶν ὁ Σιμωνίδης*)· Ipsa verba exciderunt.

32.

Hesych.: *Κάρκαρα, οὖλα ὁ διήτω,* (corrigunt *οὖλα ὀδόντων*) *καὶ τὰ ποικίλα τῇ ὄψει, καὶ πίτυρα* (cod. *ἐπιτυρὰ*) *παρὰ Σιμωνίδῃ. ἔνιοι τὰς μάνδρας· Ῥίνθων ταὶ τῇ οὐρανίᾳ ἦρι* (cod. *ῥινθόνται*). Locus certo corrigi vix potest.

33.

Antiatt. Bekk. An. I. 105, 3: *Κορδύλη· τὸ ἔπαρμα· Σιμωνίδης δευτέρῳ.*

34.

Photius 183, 1: *Κύβηβον· Κρατῖνος Θρᾴτταις τὸν θεοφόρητον· Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον· οὕτως Σιμωνίδης.*

35. [12.]

Harpocrat. 130: *Μυσῶν λείαν — ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τῆς Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν Ἰάμβοις.*

36.

Et. M. 367, 37: *ἔπληντ' ἀλλήλησι· ἐκ τοῦ πλῶ τὸ πλησιάζω, ὁ παρακείμενος πέπληκα λέγεται καὶ πέπλακα· ὁ παθητικὸς πέπλημαι, πέπληται, καὶ παρὰ Σιμωνίδῃ πεπλήαται.*

37.

Gramm. Bekk. An. III. 1402: *Νήστης· οὕτως εἴρηκεν Σιμωνίδης παρὰ τὸ ἔδω, καὶ ὡς παρὰ τὸ ψεύδω, οὗ παθητικὸν ψεύδομαι, ψευστής, οὕτω παρὰ τὸ ἔδω τὸ ἐσθίω, οὗ τὸ μέλλων ἔσω, ἔστης καὶ μετὰ στερητικοῦ νε νείστης, οὗ παρώνυμον νήστης· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.* Cf. Append. Orion. 187, 29. et Et. Gud. 408, 40. De his et proximis dubitari potest, utrum ad iambographum an ad lyricum sint referenda.

Fr. 30. Et. M. 250, 18: *Λαύω· τὸ καίω παρὰ Σιμωνίδῃ· Μηρίων δεδ.* Eadem Cram. An. Ox. I. 106, 1. sine poetae nom.

Digitized by Google

38.

Et. M. 764, 25: *Τρασιά· παρὰ τὸ τέρσω τὸ ξηραίνω τερσιά, καὶ ταρσιά, ὡς παρὰ Σιμωνίδῃ καὶ καθ' ὑπέρθεσιν τρασιά.* Cf. Hesych.: *ταρσιήν· τὴν τρασιάν.*

39.

Et. M. 813, 53: *Ψηνὸς ὁ φαλακρος παρὰ Σιμωνίδῃ.* Adde Orion. 168, 9.

III.

HIPPONAX.

BIBLIONZA.

1. [1. 18.] *)

Ἔβωσε Μαίας παῖδα, Κυλλήνης πάλμυν·
Ἑρμῆ κυνάγχα, Μηονιστὶ Κανδαῦλα,
φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.

Hipponax. De Hipponactis reliquiis disputavit Bernardus ten Brink in Philol. VI. 35 sqq., idem postea retractavit plura eodem volumine. Fr. 1. Coniunxit haec Schneidewin in unum. V. 1. legitur ap. Tzetz. Lycoph. 219: *Μαίας καὶ Διὸς Ἑρμῆς, ὡς Ὀρφεύς φησιν — καὶ ὁ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου πρώτῳ ἰάμβῳ· Ἔβόησε κτλ.* *ἔβωσε* Schneidewin scripsit, Bernhardy *ἐβόησα* coni. — *Μαίας*, Schneidewin *Μαίης*. — V. 2. Tzetz. Exeg. Il. 153: *τὸν δὲ Ἄργον κύνα φασὶ κατὰ παντὸς σώματος ὀφθαλμοὺς ἔχοντα — ὅτι δὲ κύων ὁ Ἄργος καὶ Ἵ(ππών)αξ φησί· Ἑρμῆ κυνάγχα, μή . . . . αν δοῦλα.* Emendatius una cum v. 3. affert haec Tzetz. ap. Cram. An. Ox. III. 351, 7. (Pressel post Tzetz. Epist. 98.): *Τὸ δὲ Καρδαύλης Λυδικῶς τὸν σκυλλοπνίκτην λέγει, ὥςπερ Ἱππῶναξ δείκνυσι γράφων ἰάμβῳ πρώτῳ· Ἑρμῆ κτλ.* V. 2. respicit Hesychius *Κυνάγχη· τέχνη, μηχανή. . . . οἱ δὲ τὸ Κυνάγχα ἀντὶ τοῦ κλέπτα.* idem *Καρδαύλας· Ἑρμῆς ἢ Ἡρακλῆς.* ubi Meineke non recte verba *ἢ Ἡρακλῆς* tanquam ex dittographia orta delenda censet. — *Κανδαῦλα* commendat prior locus ubi *ανδοῦλα*, posteriore *Καυδαύλα*. — V. 3. *ἑταῖρε* Schneidewin, legebatur *ἔταιρε*. — *δεῦρό μοι* scripsi, codd. *δεῦρό τι μοι*, Duebner *δηὖτέ μοι* sed idem etiam dubitanter *δεῦρό μοι*. Supra *σκαπαρδεῦσαι* recte legitur glossa *συμμαχῆσαι*. Quod habet Hesychius *σκαπερδεῦσαι· λοιδορῆσαι*, si recte interpretatur, alium locum spectat. Idem habet: *Σκαραπαδεῦσαι· κρῖναι* et *Καπαρδεῦσαι· μαντεύσασθαι.*

*) Numeri adiecti sunt editionis Welckerianae.

Digitized by Google

2. [5.]

Κίκων δ' ὁ πανδάλητος, ἄμμορος καύης.

3. [44.]

Κηραξικὸν μὲν ἠμφιεσμένη λῶπος.

4. [44.]

Πόλιν καθαίρειν καὶ κράδησι βάλλεσθαι.

Fr. 2. Tzetzes Exeg Iliad. 76, 8: ἦν (δάφνην) *οἱ ἱερεῖς τοῦ ἡλίου ἤτοι μάντεις καὶ μάγοι, οἷος ἦν καὶ ὁ Χρύσης, στεφανούμενοι ἐπορεύοντο· καθὼς δηλοῖ καὶ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου ἰάμβῳ· Κίκων δ' ὁ πανδάλητος ἄ. κ. τοιόνδε τι δάφνας κατέχων.* ubi glossae *Κίκων· ὄνομα μάντεως* et *καύης, λάρος.* Affert eundem versum ad Lycoph. 424: *καύης δὲ ὁ λάρος κατὰ Αἰνιᾶνας.* (codd. *Αἰνιαίας* vel *Αἰλιάνας*, itaque *Αἰνιέας* conieci, vid. Diar. Antiq. 1845. p. 180.) *ὡς φησι καὶ Ἱππῶναξ· Κίκων* (cod. Gud. *Κήμων*) *δ' ὁ πανδάλητος ἄμμονος καύης*, sed codd. *καθης.* et sic aperte idem ad v. 741: *οὗτος μὲν Καύηξ φησίν, ὁ δὲ Ἱππῶναξ καύης λέγει οὑτοσί· Κίκων δ' ὁ πανδάλητος* (Ciz. Vit. 1. *πανδαύλητος*, Vit. 2. 3. *πανδάλητος*) *ἄμμωρος καύης. Καύης δὲ ὁ λάρος κατ' Αἰνιᾶνάς ἐστιν.* Corrigunt *πανδήλητος*, sed potius lauri notio delitescit, itaque *πανδαύχνωτος* conieci, (propius accedit *πανδαύχητος* vel *πανδαύχνητος*, sed formae illae non satis firmae.) i. e. *πανδάφνωτος*, vid. Ahrens Dial. Dor. 532. Nomen *Κίκων* respicit Choerobosc. Epim. I. 73: *Χωρὶς τοῦ Κίκων Κίκωνος. τοῦτο γὰρ κύριον μὲν ὂν φυλάττει τὸ ω̄, οἷον Κίκων* (l. *Κίκωνος*), *ἐθνικὸν δὲ λεγόμενον τρέπει τὸ ω̄ εἰς ο̄ ἐν τῇ γενικῇ.* Adde Cram. An. Ox. I. 30, 16. Ceterum huc referunt Hesychii glossam: *Κίκων· ὁ Κίκων Λιμυθάονος ἦν, οὐδὲν αἴσιον προθεσπίζων* Schneidewin et Meineke, recte ut videtur, sed non credo in his ipsius Hipponactis versum delitescere. Fortasse hic versus praemittendus Fr. 1. *Κίκων δ' ὁ πανδαύχνωτος, ἄμμορος καύης, Ἔβωσε.*

Fr. 3. Tzetz. Chil. X. 378: *Περὶ ἐρίων Κοραξῶν ἐν πρώτῳ δὲ ἰάμβῳ Ἱππῶναξ οὕτως εἴρηκε μέτρῳ χωλῶν ἰάμβων· Κορ. κτλ.*

Fr. 4—9. affert Tzetz. Chil. V. 726: *Ὁ φαρμακός, τὸ κάθαρμα, τοιοῦτον ἦν τὸ πάλαι· ἂν συμφορὰ κατέλαβε πόλιν θεομηνίᾳ, εἴτ' οὖν λιμός, εἴτε λοιμός, εἴτε καὶ βλάβος ἄλλο, τῶν πάντων ἀμορφότερον ἦγον ὡς πρὸς θυσίαν εἰς καθαρμὸν καὶ φάρμακον πόλεως τῆς νοσούσης· εἰς τόπον δὲ τὸν πρόσφορον στήσαντες τὴν θυσίαν τυρόν τε δόντες τῇ χερὶ καὶ μάζαν καὶ ἰσχάδας, ἑπτάκις ῥαπίσαντες ἐκεῖνον εἰς τὸ πέος σκίλλαις συκαῖς ἀγρίαις τε καὶ ἄλλοις τῶν ἀγρίων, τέλος πυρὶ κατέκαιον ἐν ξύλοις τοῖς ἀγρίοις. ..... ὁ δὲ Ἱππώναξ ἄριστα σύμπαν τὸ ἔθος λέγει· Πόλιν κτλ.* (Fr. 4.) *καὶ ἀλλαχοῦ δὲ πού φησιν πρώτῳ ἰάμβῳ γράφων. Βάλλοντες κτλ.* (Fr. 5.) *καὶ πάλιν ἄλλοις τόποις δὲ ταὐτά φησι κατ' ἔπος· Λεῖ .... ὡς ἔχουσι φαρμακοῖς* (continuo se excipiunt ordine Fr. 6. 7. 8.) *καὶ ἀλλαχοῦ δέ που φησιν ἐν τῷ αὐτῷ ἰάμβῳ· Λιμῷ κτλ.* (Fr. 9.) Haec sex fragmenta utrum omnia ex eodem carmine an ex diversis petita sint, non satis certo dignoscas: ex primo iamborum libro certe praeter Fr. 5. videtur Fr. 9. esse, nolui tamen dirimere. Ceterum codicum Parisinorum lectiones et scholia post Dübnerum et Cramerum edidit Theod. Pressel post Tzetzae Epistolas p. 116. — Fr. 4. *κράδησι*, AB supra *συκαῖς*. Hunc versum et ipsum ex primo libro petitum esse fidem facit scholion adscriptum versui seq.: *φησὶν ἐν τῷ αὐτῷ ἰάμβῳ.* Ceterum possis hunc versum subiungere Fr. 6.

Digitized by Google

5. [44.]

Βάλλοντες ἐν χειμῶνι καὶ ῥαπίζοντες
κράδῃσι καὶ σκίλλῃσιν, ὥςπερ φαρμακόν.

6. [44.]

Δεῖ δ' αὐτὸν ἐς φαρμακὸν ἐκποιήσασθαι.

7. [44.]

Καφῇ παρέξειν ἰσχάδας τε καὶ μᾶζαν
καὶ τυρόν, οἷον ἐσθίουσι φαρμακοί.

8. [44.]

Πάλαι γὰρ αὐτοὺς προσδέχονται χάσκοντες
κράδας ἔχοντας, ὡς ἔχουσι φαρμακοῖς.

9. [44.]

Λιμῷ γένηται ξηρός, ἐν δὲ τῷ θυμῷ
φαρμακὸς ἀχθεὶς ἑπτάκις ῥαπισθείη.

10. [107.]

Antiatt. Bekk. An. I. 82, 13: *Ἀνδριάντα· τὸν λίθινον ἔφη Ἱππῶναξ Βούπαλον ἀγαλματοποιόν.* Delenda stigme post *ἀνδριάντα*, nam *lapideam statuam* ipsum Bupalum dixerat poeta.

Fr. 5. V. 1. *χειμῶνι*, Schneidewin coni. *λειμῶνι*. — V. 3. *φαρμακόν*, cf. Phot. 640, 8: *Φαρμακός· τὸ κάθαρμα, βραχέως· οἱ δὲ Ἴωνες ἐκτείνοντες λέγουσι φάρμακον. οὗτοι γὰρ διὰ τὴν τῶν βαρβάρων παροίκησιν ἐλυμήναντο τῆς διαλέκτου τὸ πάτριον, τὰ μέτρα, τοὺς χρόνους· δηλοῖ καὶ Ἱππῶναξ.* Ceterum secundum Eust. Od. 1935, 15. Attici *φαρμακός*, Iones *φάρμακος* pronuntiabant, (quo videtur etiam Didymi observatio apud Harpocrat. p. 180. referenda) sed nolui quidquam novare. — Fr. 6. Meineke cum Fr. 7. et 8. in unum coniunxit. — *ἐκποιήσασθαι*, Meineke coni. *ἐκπονήσασθαι*, Hecker *ὡς φ. ἐκποιήσασθαι*. fort. *ἐσποιήσασθαι*. — Fr. 7. V. 1. *καφῇ*, vulgo *καφῇ*, cod. a (ap. Kiessl.) *κᾶφη*, AB in m. *ἀφὴ καὶ ἄρμα καὶ τὰ λοιπὰ οἱ Ἴωνες ψιλοῦσι*, hinc Schneidewin recte interpretatur *καὶ χειρί*, cf. Hesych.: *ἀφή. αἴσθησις χειρῶν*, sed Favorin. add. *ἢ χείρ.* — *παρέξειν*, Meineke coni. *παρασχεῖν*. — Fr. 8. V. 1. *αὐτοὺς*, Meineke coni. *αὐτόν*, ut ad Bupalum referatur. — *προσδέχονται*, Schneidew. *προσδέκονται*. — V. 2. Meineke coni. *ἔχοντες αἷς* (*ἧς*) *χρίουσι φαρμακούς*. — *φαρμακοῖς*, quod etiam AB tuentur, fort. mutandum in *φαρμακοί*, ut, si recte memini, etiam alius coniecit. — Fr. 9. V. 1. *γένηται*, Meineke coni. *γένοιτο*. — *ξηρός* cod. a ap. Kiessl., vulgo *ξηρόν*. — *θυμῷ*, Schol. A *θυμὸς τὸ ἄρρεν αἰδοῖον*, quae admodum dubia est explicatio. — V. 2. *φαρμακὸς* Kiessling et Blomfield, libri *ὁ φαρμακὸς*. Ceterum huic Fr. 9. Meineke probabiliter subiunxit Fr. 11.

Digitized by Google

11. [4.]

Ὡς οἱ μὲν ἀγέϊ Βουπάλῳ κατηρῶντο.

12.

Τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας;

* 13. [6.]

Ὦ Κλαζομένιοι, Βούπαλός τε κἄθηνις.

14.

Τούτοισι θηπῶν τοὺς Ἐρυθραίων παῖδας

Fr. 11. Tzetzes Lycophr. 436: *Ὅτι δὲ ἀγής, ὁ μυσαρός, ἐξ οὗ λέγεται καὶ ὁ ἅγιος, ὁ μυσαρός, Ἱππῶναξ φησίν· Ὡς κτλ.* Adde Chil. XIII. 322. et Plotium de Metr. 272 sed ibi cod. Gaisf. *ΚΛΑΖΟΜΕΝΙΟΥΒΟΥΝΑΛΟΣ ΚΑΘΗΙΝΕ* exhibet, hoc est Fr. 13., ita ut Putschius ibi de coniectura Fr. 11. restituisse videatur. — *ἀγέϊ* Brink, *ἐναγεῖ* Meineke, vulgo *ἀγεῖ*, (Tzetz. priore loco Vit. 2, 3. *ἀγοί*, altero loco A *ἀγεῖ*.) — *κατηρῶντο*, priore l. Vit. 3. *κατηρῶνται*.

Fr. 12. Choerobosc. Epim. I. 280. (Bekk. An. III. 1422): *Ὅτι δὲ καὶ τοῦ τάλας τάλαντος ἦν ἡ γενική, δηλοῖ ὁ Ἱππῶναξ εἰπών· Τί κτλ.* cod. Marc. *τί* om. et exhibet *Βουπώλῳ συνοικήσας*, fort. *συνοίκησας*.

Fr. 13. Rufin. de Metr. Com. 386. poetae nomine non addito tanquam exemplum choliambi affert: *Ὦ Κλαζομένιοι Β. κατέκτεινεν*, Putsch. *ὦ Κλαζομένιοι Β. κατέκτειθεν*, idem versus est in cod. Plotii 272: *ΚΛΑΖΟΜΕΝΙΟΥ ΒΟΥΝΑΛΟΣ ΚΑΘΗΙΝΕ* (vid. Fr. 11.), unde apparet legendum esse *Βούπαλός (τε) κἄθηνις*. Suidas v. *Ἱππῶναξ· — γράφει δὲ πρὸς Βούπαλον καὶ Ἀθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.* Eadem Eudocia p. 248. Plin. H. N. XXXVI. 11: „Ac deinde nepos Archermus Chius, cuius filii Bupalus et Athenis vel clarissimi in ea scientia fuere, Hipponactis poetae aetate." Schol. Arist. Av. 574: *Ἄρχεννον* (ita etiam Gramm. Cram. An. Ox. III. 366.) *γάρ φασι, τὸν Βουπάλου καὶ Ἀθήνιδος πατέρα*. Brink coni. *Βούπαλον κατέκτεινα*. — Iam cum hic versus et apud Rufinum et apud Plotium coniungatur cum Fr. 47., existimo illum quoque versum huc referendum esse; dubium autem est, utrum eo ordine iungendi sint versus, quo apud Rufinum leguntur:

Ὦ Κλαζομένιοι, Βούπαλός τε κἄθηνις,
ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω.

ut nominativi sint pro vocativis, et artifices illi Clazomenii vocentur; an sic, quemadmodum Plotius exhibet:

Ἀκούσαθ' Ἱππώνακτος, οὐ γὰρ ἀλλ' ἥκω,
ὦ Κλαζομένιοι· Βούπαλός τε κἄθηνις —

ut poeta videatur civibus Clazomeniis illud facinus narraturus esse.

Fr. 14. Schol. Tzetz. ad Posthom. v. 687. editum a Brinkio p. 40: *Θηπον· ἐθαυμαζον· το θεμα θηπω και Ιππωναξ· τουτοισι θηπων τους Ερυθραιων παιδας οὺς φησι μητροκοιτας ζουπαλος* (A *Βούπαλος*) *συν αρητη και φελιζων τὸν δυζωνυμον αρτον.* — V. l. *θηπῶν*, cf. Hesych.: *θηπῶν, ἐξαπατῶν, κολακεύων, θαυμάζων*, ubi Alberti *θήπων* praefert, sed ib. *θηπητής· ἀπατεών*.

Digitized by Google

φὴ μητροκώτης Βούπαλος σὺν Ἀρήτῃ
καὶ φελίζων τὸν δυσώνυμον ἄρτον.

15.

Τέαρε . . . . . δεύειε τὴν ἐπὶ Σμύρνης·
ἴθι διὰ Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον
καὶ σῆμα Γύγεω καὶ μεγάστρυ στήλην
καὶ μνῆματ' Ὤτος Μυτάλιδι πάλμυδος,
πρὸς ἥλιον δύνοντα γαστέρα τρέψας.

16. [10.]

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνειε,

V. 2. φὴ μητροκώτης scripsi pro ὡς φησι μητροκοιτας, cum particulae φὴ adscripta esset glossa ὡς, inde ortus error. Μητροκώτης interpretor sacerdos magnae matris, nisi malis μητροκώτας (ut hoc nomine Erythraei utpote dediti magnae matris religioni notentur) de similibus κωτάκης, κοίης, κύης vid. Keil Onomatol. 108. — V. 3. expedire nequeo, videtur de Attide dixisse, ut pro ἄρτον possis καρπὸν coniicere. Longe aliter Brink: Τούτοισι ἠπέω τοὺς Ἐρυθραίων παῖδας, Οὓς μητροκοίτας Βούπαλος σὺν Ἀρήτῃ Φησί, φλυάζων τὸν δυσώνυμον κοῖτον.

Fr. 78. Strabo XII. 580: Λέγεται δέ τινα φῦλα Φρύγια οὐδαμοῦ δεικνύμενα, ὥσπερ οἱ Βερέκυντες· καὶ Ἀλκμὰν λέγει· Φρύγιον κτλ. καὶ βόθυνός τις λέγεται Κερβήσιος ἔχων ὀλεθρίους ἀποφοράς. αὔλησε scripsi, vulgo ηὔλησε, F ηὔλισε. — Κερβήσιον, CFg Κειρβήσιον, Dhi Κειρβήσειον. Ceterum Strabo non recte de populo ignoto cogitavit, a Corybantibus sive Cyrbantibus nomus ille dictus.

Fr. 79. et 80. Hephaest. 81: Ἀπ' ἐλάσσονός τε ἐπιώνικον τρίμετρόν ἐστι παρ' Ἀλκμᾶνι· ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον· τὰς δὲ ἑξῆς δύο ἑξασήμους ἰωνικὰς καθαράς, οἷον· Περισσὸν κτλ.

Digitized by Google

81. [7.]

Ἕκατον μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι.

82. [60.]

Ἄδοι Διὸς δόμῳ
ὁ χορὸς ἁμὸς καὶ τοί, Φάναξ.

83. [53.]

Ἀνὴρ δ' ἐν ἀρμένοις ἁλιτηρὸς ἧσται
ἐπὶ θάκας κατὰ πέτρας
ὀρέων μὲν οὐδέν, δοκέων δέ.

84.

Ὁπότε ὑπὸ τοῦ Ἱπολόχου, κλέος δ' ἔβαλλον οὐ νῦν ὑπεστάντων.

85. [83.]

Νικῷ δ' ὁ κάρρων.

Duo diversa fragmenta esse apparet. At valde dubium mihi videtur prius, nam mirificum plane illud περισσόν, quae mihi quidem videtur nota esse veteris alicuius metrici, qui illud αἰ redundare censuit, cum versum dimetrum ionicum esse censeret, quod non percepit Hephaestio. Fr. 79. Λύκηος C, vulgo Λύκειος, Turn. Fl Λύκιος. — Fr. 80. σαλασσομέδοισ', ἂν scripsi, vulgo σαλασσομέδοισαν (sic C, Ursinus Θαλασσομέδοισαν) quod metro adversatur, Fl σάλας ὁ μέδοισαν, Turn. σάλας ὁμέδοισαν.

Fr. 81. Hephaest. 66: καὶ ὅλα μὲν οὖν ἄσματα γέγραπται ἰωνικά, ὡς παρ' Ἀλκμᾶνι· Ἕκατον κτλ. V. 1. Ἕκατον Ursinus, vulgo ἑκατόν. Vulgo post υἱόν interpungitur, et dimetri esse putantur, sed affert ut tetrametrum grammaticus ap. Hermann. Elem. Doctr. Metr. 472. Cf. Tricha 51.

Fr. 82. Apollon. de pron. 365. A: Ὀρθοτονεῖται δὲ (τοὶ) καὶ παρ' Ἀλκμᾶνι, συνήθως Δωριεῦσιν· Ἄδοι κτλ. Φάναξ Maittaire, cod. γ' αναξ. Ceterum malim ἁμός τε καὶ. Videtur esse ex hymno in Apollinem.

Fr. 83. Schol. Pind. Ol. I. 97: Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ· ὁ μὲν Ἀλκαῖος —, ὁ δὲ Ἀλκμάν· (haec tria verba addidit Boeckh) Ὅπως (ὅπη W4) ἀνὴρ δ' ἐν ἀσμένοισιν ἁλιτηρὸς ἧσται (ἧσθ' W4) κτλ. Scribendum ὁ δὲ Ἀλκμὰν οὕτως· ἀνὴρ δ' ἐν ἀρμένοις ἁλιτηρὸς ἧσται, sive ἐν ἀρμένοισιν ἁλιτρός. — V. 2. ἐπὶ θάκας, ἐπιθάκας W3, Heyne ἐπὶ θάκοις. — κατὰ, Hermann κάτω. — V. 3. affert Eust. Od. 1701, 23: ὅτι δὲ φαντασία ἦν καὶ τὰ ἐπὶ Σισύφῳ ῥηθησόμενα πλάσματα, δηλοῖ καὶ ὁ Ἀλκμὰν ἐν τῷ ὀρέοντι μὲν οὐδέν, δοκέοντι δέ ubi dativus ex librarii errore ortus.

Fr. 84. Cram. An. Ox I. 418, 3: Λέγεται δὲ (ὕπαιθα) καὶ ἄνευ τῆς θα παρὰ Ἀλκμᾶνι καὶ σημαίνει τὸ πρότερον· Ὁπότε κτλ. ἀντὶ τοῦ πρότερον. Conieci ad Hippocoontidarum caedem pertinere, ὁπόθ' ὑπό θ' Ἱπποθόου Λορυκλέος τ' ἔβλη κορύνᾳ ὑπαιστάντων. sed fortasse in penultimo verbo Oeoni nomen latet.

Fr. 85. Apollon. Dysc. de synt. 212: Ἡ εὐκτική, ὡς ἔχει τὸ παρ' Ἀλκμᾶνι· νικῷ κτλ. Fragmentum fort. redintegrandum ex Et. Gud. 301, 6. (Cram. An. Par. IV. 54. 23.) κάρρων· οἷον ναὶ κάρρων βῶς.

Digitized by Google

86. [85.]

Μῆον ἢ κοδύμαλον.

87. [87.]

Μάγαδιν δ' ἀποθέσθαι.

88. [100.]

Ταυσία παλλακίω.

89. [105.]

Καὶ Κέρκυρος ἀγεῖται.

90. [106.]

Ὄκκα δὴ γυνὰ εἴην.

91. [109.]

Ἐν Θεσσαλίῳ κλείτει.

92. [114.]

Ἐπ' ἀριστερὰ χηρὸς ἔχων.

Fr. 86. Athen. III. 81. F: *Ἀλκμὰν δὲ τὸ στρουθίον μῆλον ὅταν λέγῃ· μεῖον ἢ κ. Ἀπολλόδωρος δὲ καὶ Σωσίβιος τὸ Κυθώνιον μῆλον ἀκούουσιν. μεῖον*, in proecdosi scripsi *μῆον*. — *κοδύμαλον*, A *κωδύμαλον*, B *κωδύμαλλον*, sed *κοδύμαλον* tuetur Hesychius.

Fr. 87. Athen. XIV. 636. F: *Καὶ Ἀλκμὰν δέ φησι· Μάγαδιν δ'* (om. P) *ἀποθ.*

Fr. 88. Et. M. 171, 7: *Αὔσιον, καὶ ὁ μὲν Ἴβυκος αὔσιον λέγει — ὁ δὲ Ἀλκμάν· ταυσία παλλακίω* (PD *παυσία*).

Fr. 89. Et. M. 506, 20: *Κέρκυρ — Ἀλκμάν φησι· Καὶ Κ. ἠγεῖται ἀπὸ εὐθείας τῆς Κέρκυρ, ἀλλ' οὐκ εἴρηται.* Cf. Et. Gud. 316, 39. Scripsi *ἀγεῖται*, Schneidewin *ἀγῆται*.

Fr. 90. Et. M. 620, 35: *Ὄκκα δὲ τύνη εἴην· παρὰ Ἀλκμᾶνι, τὸ ὅτε ὅκα λέγει ἡ διάλεκτος, εἶτα διπλασιάσασα ὄκκα· Περὶ παθῶν.* At Apollon. de Adv. in Bekk. An. II. 606: *ὅτε ὅκα καὶ μετὰ περισσοῦ τοῦ κ. ὄκκα δὴ γυνή.* Scripsi *γυνά*.

Fr. 91. Schol. Hom. Il. *μ'*. 66: *οὕτως καὶ τὸ κλειτός, οὐθέτερον γὰρ γενόμενον βαρύνεται παρ' Ἀλκμᾶνι τῷ ἐν Θ. κλ.* Welcker confert Hesych.: *Κλείτει — ἀγαθῇ δόξῃ.* Contra Lobeck *Ῥηματικ.* 292. scribit *ἐν τῷ Θεσσαλικῷ κλείτει* et interpretatur *κλισμὸν Θεσσαλικόν*, Schneidewin coni. *Ἀλκμᾶνι ἐν τῷ ε'*. Et. Gud. 327, 55. *κλῆτος* interpretatur *πλῆθος*, ut coniicere possis *ἐν Θεσσαλῷ κλήτει* (*κλείτει*).

Fr. 92. Eust. Il. 110, 35: *Μονῆρες δὲ ἐν θηλυκοῖς ἡ χείρ, ἣ κλίνεται διχῶς, ποτὲ μὲν διὰ τοῦ ε̄, ὅθεν καὶ τὰ χέρνιβα, ποτὲ δὲ διὰ τῆς ει διφθόγγου, ποτὲ δὲ κατὰ Ἡρωδιανὸν καὶ μετατεθείσης αὐτῆς εἰς η̄, ᾧ μαρτυρεῖ φησιν Ἀλκμὰν ἐν τῷ· ἐπ' ἀρ. κτλ.* Pertinet fort. ad fabulam de Ulixe et Calypso, cf. Hom. Odyss. *ε'*. 276.

Digitized by Google

93. [118.]

Λᾶδος εἱμένα καλόν.

94. [120.]

Τὰν Μῶσαν κατανσεις.

95. [103.]

Καλλὰ μελισδόμεναι.

96. [76.]

Τὰ Fὰ κάδεα.

97. [16.]

Τὸ νέκταρ ἔδμεναι.

98.

Ἀρτέμιτος θεράποντα.

99. [38.]

Plut. de mus. c. 14: *Οὐ μόνη δὲ κιθάρα Ἀπόλλωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς ὁ θεός — ἄλλοι δὲ καὶ αὐτὸν τὸν θεόν φασιν αὐλῆσαι, καθάπερ ἱστορεῖ ὁ ἄριστος μελῶν ποιητὴς Ἀλκμάν.*

100. [39.]

Schol. Theocr. V. 83: *Πράξιλλα μὲν ἀπὸ Καρνείου φησὶν ὠνομάσθαι τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι, (τὰ Κάρνεια), Ἀλκμὰν δὲ ἀπὸ Καρνέου (P Καρνίου) τινὸς Τρωικοῦ.* sed EFN *ἀπὸ Καρνέου τινὸς τοῦ υἱοῦ τῆς Δήμητρος.*

Fr. 93. Eust. Il. 1147, 1: *Λᾶδος — ὃ Δωριεῖς λᾶδος φασίν, ὡς Ἀλκμάν, Α. εἰ. κ. ὅ ἐστιν λήδιον ἐνδεδυμένη εὐειδές.*

Fr. 94. Eust. Od. 1547, 60: *Λέγει δὲ καὶ Ἀλκμάν· τὰν Μ. κ. ἀντὶ τοῦ ἀφανίσεις*, ubi *μοῦσαν* extat.

Fr. 95. Etymol. M. p. 486, 39: *καλά· τὸ καλὰ παρὰ Ἀλκμᾶνι* (add. DM *καλὰ*, P *καλλὰ* ut conieceram) *ἐστίν, οἷον· καλὰ* (DP *κάλλα*) *μελ.* Cram. An. Par. IV. 63, 13: *τὸ καλὰ παρὰ Ἀλκμᾶνι καλὰ ἐσσὶν καὶ καλὰ μελισσομέναι.* scrib. *καλλὰ ἐστίν· καλλὰ μελισδόμεναι.* Cf. Apollon. de adv. p. 565, 13.

Fr. 96. Apollon. de pron. 396. C: *Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος· — καὶ Ἀλκμὰν δὲ συνεχῶς αἰολίζων φησὶ τὰ εα κάδεα.* Welcker et Bekker *Fὰ*, sed lenius *Fὰ*.

Fr. 97. Athen. II. 39. A: *Οἶδα δ' ὅτι Ἀναξανδρίδης τὸ νέκταρ οὐ ποτόν, ἀλλὰ τροφὴν εἶναι λέγει θεῶν — καὶ Ἀλκμὰν δέ φησι· τὸ νέκταρ ἔδμεναι αὐτούς.* fortasse etiam *α ὐ τ ὼ ς* poetae est. Cf. Eust. 1633, 1.

Fr. 98. Eust. Od. 1618, 23: *κατὰ δὲ τὴν παρὰ Ἡρωδιανῷ Ἀλκμανικὴν χρῆσιν καὶ Ἀρτέμιδος Ἀρτέμιτος, οἷον· Ἀρτέμιτος θερ.* Ceterum scrib. videtur *Ἀρτάμιτος*.

Digitized by Google

101. [41.]

Schol. Aristoph. Pac. 457: *Πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν εἶναι Ἄρεα καὶ Ἐνυάλιον, κατ' ἐπίθετον· τινὲς δὲ Ἄρεως καὶ Ἐννοῦς τὸν Ἐννάλιον, οἱ δὲ Κρόνου καὶ Ῥέας. Ἀλκμᾶνα δὲ λέγουσι ὁτὲ μὲν τὸν αὐτὸν λέγειν, ὁτὲ δὲ διαιρεῖν.*

102. [43.]

Pausan. III. 18, 6: *Ἐς Ἀμύκλας δὲ κατιοῦσιν ἐκ Σκάρτης ποταμός ἐστι Τίασα. Θυγατέρα δὲ νομίζουσιν εἶναι τοῦ Εὐρώτα τὴν Τίασαν· καὶ πρὸς αὐτῇ Χαρίτων ἐστὶν ἱερὸν Φαέννας καὶ Κλητᾶς, καθὰ δὴ καὶ Ἀλκμὰν ἐποίησεν.*

103.

Athenagor. Legat. pro Christ. c. 14: *Ἀλκμὰν καὶ Ἡσίοδος Μήδειαν καὶ* (duo codd. Clarom. *ἢ*) *Νιόβην Κίλικες (ἵδρυνται θεούς).*

104. [46.]

Plut. de Herod. malig. c. 14: *Καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμάν, οὐ Πίνδαρος Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.*

105. [49.]

Tzetz. in Il. 65. ed. Herm.: *Θαλῆς, Πυθαγόρας, Πλάτων τε καὶ οἱ Στωικοὶ διαφορὰν ἴσασι δαιμόνων τε καὶ ἡρώων· δαίμονας γὰρ φάσκουσιν ἀσωμάτους εἶναι οὐσίας· ἥρωας δὲ ψυχὰς σωμάτων διαζυγείσας. Ὀρφεὺς δὲ καὶ Ὅμηρος, Ἡσίοδός τε καὶ Ἀλκμὰν ὁ λυροποιὸς καὶ οἱ λοιποὶ ποιηταὶ ἀλληνάλλως ταῦτα ἐκδέχονται.*

106. [54.]

Aelian. Var. Hist. XII. 36: *Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις — Ἀλκμὰν δέκα φησίν.*

107. [55.]

Aelián. Hist. Anim. XII. 3: *Ὁμήρῳ μὲν οὖν φωνὴν Ξάνθῳ τῷ ἵππῳ δόντι συγγνώμην νέμειν ἄξια· ποιητὴς γάρ· καὶ Ἀλκμὰν δὲ μιμούμενος ἐν τοῖς τοιούτοις Ὅμηρον οὐκ ἂν φέροιτο αἰτίαν· ἔχει γὰρ ἀξιόχρεων εἰς αἰδῶ τὴν πρωτίστην τόλμαν.*

108. [119.]

Eust. Il. 1154, 25: *Καὶ ὅτι ἀκμονίδαι οἱ οὐρανίδαι δηλοῦσιν οἱ παλαιοί, ὡς δὲ Ἄκμονος ὁ οὐρανὸς ὁ Ἀλκμάν φασιν ἱστορεῖ.* Sed Eudoc. 26: *ὡς δὲ Ἄκμων ὁ οὐρανὸς ὁ Ἀλκμὰν ἱστορεῖ.* Cf. Cornut. de Deor. nat. c. 1: *τινὲς δὲ τῶν ποιητῶν Ἄκμονος αὐτὸν (Οὐρανὸν)*

Digitized by Google

ἔφασαν εἶναι υἱόν. Hesiodi versum affert Schol. Simmiae ap. Iacobs Anth. Pal. T. III. 824: Ἀκμονίδαν δὲ τὸν οὐρανόν, Ἡσίοδος· Γαῖα μὲν Ἄκμονα ἔτικτεν, ἀπὸ δ' Ἄκμονος οὐρανός, quibus Comes Natalis si recte memini addit ἔσκεν. Suspicatus aliquando sum Alcmanis esse versum, sed potius ex *Titanomachia* petitus, quam videntur nonnulli Hesiodo tribuisse, vid. Cram. An. Ox. I. 75, 12: οἱ δὲ ἄκμονα τὸν αἰθέρα, αἰθέρος δ' υἱὸς Οὐρανός, ὡς ὁ τὴν Τιτανομαχίαν γράψας.

109. [86.]

Athen. XIV. 624. B: Ταύτην δὲ τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο, διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς Φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν, οἷός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι Σάμβας καὶ Ἄδων καὶ Τῆλος. (fort. Τύλος legendum).

110. [57.]

Schol. Hom. Il. γ'. 250: Μήτηρ Πριάμου, ὥς φησι Πορφύριος ἐν τῷ περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων, κατὰ μὲν Ἀλκμᾶνα τὸν μελοποιόν, Ζευξίππη, κατὰ δὲ Ἑλλάνικον, Στρυμώ (D et cod. Vindob. n. 49. Τρυμώ). Cf. Eudoc. 194.

111. [58.]

Plut. de mus. c. 5: Τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος καὶ Ἀλκμὰν οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν.

112. [61.]

Schol. Aristid. III. 490: Ὁ Κρὴς δὴ τὸν πόντον· παροιμία ἐπὶ τῶν εἰδότων μέν, προσποιουμένων δ' ἀγνοεῖν· ἀντὶ τοῦ νησιώτης ἀγνοεῖ τὴν θάλατταν. — λέγεται δὲ ἡ παροιμία καὶ οὕτως· ὁ Σικελὸς τὴν θάλατταν. Σὺ ὅρα (sic A, σύρας BD Oxon., tanquam proprium hominis nomen, σῦκα videntur legisse Apostol. XIII. 6., Arsen. 388.) γάρ, φασί, τὶς Σικελὸς ἐμπορευόμενος καὶ ναυαγήσας, εἶτα ἐκπεσών, ἐπὶ πέτρας καθήμενος, ὡς γαληνιῶσαν εἶδε τὴν θάλατταν, οἷδά φησιν ἃ βούλει, βούλει γὰρ καὶ αὐτόν με λαβοῦσα καταποντίσαι· ἐγὼ δὲ νῆσον οἰκῶν ἐκ παιδὸς οἶδα τὰ σὰ σοφίσματα. Ἀλκμὰν δὲ ὁ λυρικὸς μέμνηται τῆς παροιμίας. Contra Zenob. V. 30: Ὁ Κρὴς τὴν θάλατταν ἐπὶ τῶν ἐν οἷς διαφέρουσι, ταῦτα φεύγειν προσποιουμένων ἡ παροιμία ἐστίν, ἐπειδὴ ναυτικώτατοι οἱ Κρῆτες ἐγένοντο· μέμνηται τούτης Ἀλκαῖος, ut utri fides sit habenda, nescias.

113.

Bekk. An. II. 855: Ὁ ὑποκορισμὸς ὄνομά ἐστι μικρότητος ἐμφαντικὸν καὶ κόραις ἐοικός· λαμβάνεται δὲ ἔνεκεν τοῦ πρέποντος, ὡς παρ' Ἀλκμᾶνι * * * κόραι γὰρ αἱ λέγουσαι Cf. Cram. An. Ox. IV. 273, 12: ἢ διὰ τὸ πρέπον, ὡς παρὰ Ἀλκμᾶνι ἔχοντι τὰς παρθένους ὑποκοριστικαῖς χρωμένας λέξεσι· πρέπει γὰρ τοῦτο παρθένοις. Eadem p. 329, 11., nisi quod scriptum: παραλκὰν εὕρομεν τὰς παρθένους.

Digitized by Google

114. [62.]

Aristid. II. 272: *Ἀλλ' ὅμως ἐῶ ταῦτα Πλάτωνος χάριν· ἔστω τὸ γειτόνημα ἁλμυρόν, ὥς φησιν*, ubi Schol. T. III. 635: *Ἁλμυρὸν γειτόνημα· Ἀλκμὰν ὁ λυρικὸς τοῦτο εἶπεν· ἀντὶ τοῦ τί πικρὸν ἐστιν γείτονα ἔχειν τὴν θάλασσαν, ἢ ὅτι ἡ λέξις Πλατωνική ἐστιν.* Cf. Apostol. II. 23. Arsen. 43. (*Ἁλμυρὸν γειτόνημ' ἔμβλεπε πόρρω*).

115. [15.]

Athen. I. 31. C: *Ἀλκμάν που ἄπυρον οἶνον καὶ ἄνθεος ὅσδοντά φησι τὸν ἐκ Πέντε λόφων, ὅς ἐστι τόπος Σπάρτης ἀπέχων στάδια ἑπτά* (ξ C) *καὶ τὸν ἐκ Δενθιάδων, ἐρύματός τινος, καὶ* (om. D, verba *καὶ τὸν ἐκ Καρύστου . . . Ἀρκαδίας* hic collocavit Porson, vulgo leguntur post *Σταθμίταν,*) *τὸν ἐκ Καρύστου, ὃς ἐστι πλησίον Ἀρκαδίας, καὶ τὸν ἐξ Οἰνοῦντος καὶ τὸν ἐξ Ὀνόγλων καὶ Σταθμῶν. χωρία δὲ ταῦτα, τὰ καὶ* (verba *τὰ καὶ* plane delenda videntur,) *πλησίον Πιτάνης· φησὶ γοῦν· Οἶνον δ' Οἰνουντιάδαν* (*Οἰνουντιάδην* vulgo, *Οἰνουντιάδα* B. Cf. Plut. vit. Lyc. 6.) *ἢ Δένθιν ἢ Καρύστιον ἢ Ὄνογλιν ἢ Σταθμίταν. ἄπυρον δὲ εἶπε τὸν οὐχ ἑψημένον· ἐχρῶντο γὰρ ἑφθοῖς οἴνοις. Καρύστιον οἶνον* ex Alcmane affert Strabo X. 446. et Eust. Il. 281, 10. Steph. Byz. v. *Κάρυστος*, illud autem *ἄνθεος ὅσδοντα* affert Eust. 1449, 12. et 1633, 51. Respicit huc Hesych. *Ὀνίγλιν· εἶδος οἴνου* et *Δένθις*. Poeta fort. scripsit:

Οἶνον δ' Οἰνουντιάδαν
ἢ Δένθιν ἢ Καρύστιον ἢ τὸν Ὄνογλιν
ἢ Σταθμίταν ἢ τὸν ἐκ
Πέντε λόφων ἄπυρόν τε καὶ ἄνθεος ὅσδοντ' . . .

116.

Aristid. II. 508: *Ἐτέρωθι τοίνυν καλλωπιζόμενος παρ' ὅσοις εὐδοκιμεῖ* (*Ἀλκμάν*), *τοσαῦτα καὶ τοιαῦτα ἔθνη καταλέγει, ὥστ' ἔτι νῦν τοὺς ἀθλίους γραμματιστὰς ζητεῖν, οὗ γῆς ταῦτ' εἶναι, λυσιτελεῖν δ' αὐτοῖς καὶ μακράν, ὡς ἔοικεν, ἀπελθεῖν ὁδὸν μᾶλλον ἢ περὶ τῶν Σκιαπόδων ἀνήνυτα πραγματεύεσθαι.* Alcman vocaverat *Στεγανόποδας*, vid. Strabo I. 43: *Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν, Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους, οὐδὲ γὰρ αὐτοῦ Ὁμήρου ταῦτα μυθεύοντος, ὧν εἰσὶ καὶ οὗτοι οἱ Πυγμαῖοι, οὐδ' Ἀλκμᾶνος Στεγανόποδας ἱστοροῦντος κτλ.* Similia ibid. VII. 299: *Ἀλκμᾶνα δὲ στεγανόποδας (λέγειν)*. Adde Cram. An. Ox. III. 370, 8. Dixit de hoc carmine Schneidewin ad Orion. 20 seqq. cf. etiam supra Fr. 20.

117. [9.]

Diod. Sicul. IV. 7: *Περὶ δὲ τῶν Μουσῶν, ἐπειδήπερ ἐμνήσθημεν ἐν ταῖς τοῦ Διονύσου πράξεσιν, οἰκεῖον ἂν εἴη διελθεῖν ἐν κεφα-*

Digitized by Google

λαίοις· ταύτας γὰρ οἱ πλεῖστοι τῶν μυθογράφων καὶ μάλιστα οἱ δεδοκιμασμένοι φασὶ θυγατέρας εἶναι Διὸς καὶ Μνημοσύνης, ὀλίγοι δὲ τῶν ποιητῶν, ἐν οἷς ἐστὶ καὶ Ἀλκμὰν (Ἀλκμαίων FG), θυγατέρας ἀποφαίνονται Οὐρανοῦ καὶ Γῆς. Cf. Schol. Pind. Nem. III. 16.

118. [96.]

Hesych.: Ἄανθα (vulgo Ἄανθα)· εἶδος ἐνατίου παρὰ Ἀλκμᾶνι ἢ Ἀριστοφάνει. Eadem Cram. An. Par. IV. 84, 18. ubi ἀάνθα. — ἢ Ἀριστοφάνει, corrigunt καὶ Ἀρ., conieci ὡς Ἀριστοφάνης, ut grammatici glossae Laconicae intelligantur.

119.

Cram. An. Ox. I. 55, 7: Ἀγάζω — τὸ θαυμάζω, ὅπερ παρὰ ἀγῶ, ἔστιν δὲ παρ' Ἀλκμᾶνι· Αὐτὸν ἀγᾷ. Videtur ipsum hunc versum adhibere Herodian. π. μ. λ. 22, 15: ἔστι γὰρ καὶ περισπώμενον ἐπὶ δευτέρας συζυγίας (ἀγῶ)· εὖτ' ἂν τῇδ' ἄγε χρέος ἄνδρας. Fort. scrib. εὖτ' ἂν τόδ' ἀγᾷ χρέος ἀνήρ.

120. [115.]

Eust. Il. 314, 41: Ἀγέρωχοι δὲ οἱ ἄγαν γέρας ἔχοντες — δηλοῖ δὲ φασιν οὕτως ἡ λέξις τοὺς σεμνούς, ὡς Ἀλκμὰν βούλεται, Ἀλκαῖος δέ φασι καὶ Ἀρχίλοχος ἀγέρωχον τὸν ἄκοσμον καὶ ἀλαζόνα οἶδε.

121. [99.]

Etym. M. 22, 30: Ἄζω — ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν λέγει, ὅτι παράγωγόν ἐστιν ἀπὸ τοῦ ἄγος ἀγίζω καὶ κατὰ συγκοπὴν ἄζω — πόθεν δὲ δῆλον ἐκ τοῦ τὸν Ἀλκμᾶνα εἰπεῖν ἀγίσδεο ἀντὶ τοῦ ἄζεο, sed Va: ἀγίσδεο αὐτός· ἀντὶ γὰρ τοῦ ἀγίζεο καὶ ἄζω ἤτοι ξηραίνου εἰπεῖν, ἀγίσδεο εἶπεν. Fort. ἀγίσδεο δ' αὖτως.

122. [88.]

Steph. Byz. Αἰγιαλός — τὸ ἐθνικὸν Αἰγιαλεύς, τὸ θηλυκὸν Αἰγιάλεια καὶ Αἰγιαλὶς παρὰ Ἀλκμᾶνι.

123.

Argum. Theocr. XII.: Καὶ Ἀλκμὰν τὰς ἐπεράστους κόρας ἀΐττας λέγει, ubi L. Vat. 3. Ἀλκμὰν δὲ τὰς ἀΐττας χορδὰς ἀπεραστους φησίν. Corrigo ἀΐττιας κορδάς, cf. Etym. M. 43, 40: Ἀϊττίας χορδάς· σημαίνει δὲ τὰς ἐρωτικάς, Ἡρωδιανὸς προπαροξυτόνως λέγει ἀπὸ τοῦ αἴτις αἴτιδος, αἴτιδας καὶ ἀποβολῇ τοῦ Δ. Οἱ δὲ περὶ Ὧρον λέγουσιν, ὅτι εἰ ἦν οὕτως, οὐκ ὤφειλεν ἀποβάλλειν τὸ Δ, τὰ γὰρ ἀπὸ τῶν εἰς ις θηλυκῶν οὐκ ἀποβάλλουσι τὸ Δ. ἄμεινον οὖν παροξύνειν ἀπὸ τοῦ ἀΐττης. Cf. ibid. Gaisford. et Et. Gud. 23, 3. et 12.

Digitized by Google

124.

Hesych.: *Ἀλίβαπτον·* (cod. *ἁλιβάπτοις*, fort. *ἁλίβαπτος*) *ὄρνν. Ἀχαιὸς καὶ Ἀλκμάν.* (cod. *ἁλμάς.*)

125. [89.]

Steph. Byz.: *Ἀννίχωρον· μέμνηται Ἀλκμάν· οἱ οἰκοῦντες Ἀννιχωρεῖς καὶ Ἀννίχωρες, πλησίον Περσῶν κείμενοι.*

126.

Steph. Byz.: *Ἀράξαι ἢ Ἄραξοι ἔθνος Ἰλλυρίας, ὡς Ἀλέξανδρος Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς εἰρημένων.*

127. [90.]

Steph. Byz.: *Ἄρυββα· τὸ ἐθνικὸν Ἀρύββας· οὕτω γὰρ Ἀλκμάν.* ita Westermann, *Ἄρυββα* et *Ἀρύβας* RV, *Ἄρρυβα* et *Ἄρρύβας* A.

128. [91.]

Steph. Byz.: *Ἀσσός* — *Ἀλέξανδρος δ' ὁ Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς ἱστορημένων Μιτυληναίων ἄποικον ἐν τῇ Μυσίᾳ φησὶν Ἀσσόν, ὅπου ὁ σαρκοφάγος γίγνεται λίθος.*

129.

Hesych.: *Βλὴρ* (*βλῆρ*) *δέλεαρ· τὸ δὲ αὐτὸ καὶ ἄσθμα· παρὰ Ἀλκμαίωνι ἡ λέξις.* Schow *Ἀλκαίῳ*, et Aeolicum vocab. dicitur in Et. M. 200, 27.; Alcmani tribuit Meineke.

130. [92.]

Steph. Byz. v. *Γάργαρα.* — *Ἀλκμὰν δὲ θηλυκῶς τὴν Γάργαρόν φησιν.*

131. [101.]

Etym. M. 228, 35: *Γεργύρα· ὁ ὑπόνομος, κυρίως δι' οὗ τὰ ὕδατα φέρεται τὰ ὄμβρια, γεώρυγά τινα ὄντα, τὰ ὑπὸ γῆν ὀρύγματα, καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν καὶ διπλασιασμὸν γεργύρα· ζήτει εἰς τὰ Γόργυρα· ὁ δὲ Ἀλκμὰν διὰ τοῦ ε γεργύρα (γέργυρα) φησί.* Cf. Bekk. An. I. 233, 27.

132. [125.]

Sch. Lucian. Anach. c. 22. (Bachm. An. II. 339.): *Γέφυρον — Ἀλκμὰν δὲ ἐπὶ τῶν οἰστῶν τέθεικε τὴν λέξιν.*

133. [93.]

Steph. Byz. v. *Γραικός.* — *Γραῖκες* (A *Γραῖες*) *δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες* — *ἔστι δὲ ἢ μετάπλασμος ἢ τῆς Γραῖξ εὐθείας πλῆσις ἐστίν.*

Digitized by Google

134.

Bekk. An. II. 949: *Τὸ δοὰν παρ' Ἀλκμᾶνι Δωρικῶς ὀξύνεται, γεγονὸς οὕτω· δήν, δάν, δοάν.* Cf. Io. Alex. p. 42.

135. [94.]

Steph. Byz.: *Ἰσσηδόνες· ἔθνος Σκυθικόν. — Ἀλκμὰν δὲ μόνος Ἐσσηδόνας* (sic R, *Ἀσσεδόνας* A, *Ἀσεδόνας* V.) *αὐτούς φησιν· εὑρίσκεται δὲ ἡ δευτέρα παρ' ἄλλοις διὰ τοῦ ε.*

136. [102.]

Etym. M. 420, 48: *Ἥδυμος — τὸ δὲ ὑπερθετικὸν ἡδυμέστατον Ἀλκμὰν ἔφη*, Schneidewin *ἀδυμέστατον.*

137. [122.]

Eustath. Od. 1892, 44: *Ἔτι ἱστέον, καὶ ὅτι τὸ εἰρημένον ἦν ἐπὶ τρίτου ἑνικοῦ προσώπου ὁ Ἀλκμὰν ἧς λέγει, μετειλημμένου τοῦ ν εἰς σ Δωρικῶς, ὡς ὁ Ἡρακλείδης παραδίδωσιν.* Cf. Favor. 234.

138.

Cram. An. Ox. I. 190, 20: *Ἠτὶ δὲ λέγει Ἀλκμὰν ἀντὶ τοῦ ἠσίν.*

139.

Cram. An. Ox. I. 55, 21: *Σεσημείωται τὸ κάρχαρος — καὶ τὸ θηλυκὸν παρ' Ἀλκμᾶνι· καρχάραισι φωναῖς. καὶ ἐπίρρημα καρχαρῶς.* Legebatur *καρχάρεσσι.*

140. [117.]

Eust. Il. 756, 30: *Ἀντιθέσει τοῦ ν εἰς λ, ᾧ ἀντιστοιχοῦσι Δωριεῖς ἐν τῷ φίλτατος φίντατος — ἕλετο, ἕντο, καὶ Δωρικῶς γέντο, κέλετο, κέντο παρὰ Ἀλκμᾶνι.*

141. [104.]

Zonar. 1190: *Κερκολύρα, οὕτως ὁ Ἀλκμαν ἐχρήσατο ἀντὶ τοῦ κερκολύρα, ἔστι δὲ τοῦτο πάθος· τὸ δὲ κερκολύρα ἠχητικὴ λύρα. τὸ γὰρ κρέκε, κρέκε ἦχός ἐστι τῆς κιθάρας.* Adde Et. M. 506, 17: *Κέρκος· θηλυκῶς σκεῦός τι, ὥςπερ καὶ τρίπους ἡ θύρα χαλκῆ. Κερκολύρα* (hoc vulgo deest, sed add. DPM, cf. Mingarelli codd. Nan. 496.) *οὕτως ὁ Ἀλκμὰν ἐχρήσατο.* ut haec sit nova glossa. Prior glossa *Κέρκος* totidem verbis legitur in Bekk. An. I. 271, 11. Ceterum cf. etiam Suid. *Κερκολύρα· ὄνομα τόπου.*

142. [84.]

Athen. III. 81. D: *Κυδωνίων δὲ μήλων μνημονεύει Στησίχορος ἐν Ἑλένῃ οὕτως — καὶ Ἀλκμάν.*

Digitized by Google

143.

Schol. Hom. Od. ψ'. 76: *Ὁ δὲ Ἀλκμὰν καὶ τὰς γνάθους μάστακάς φησι παρὰ τὸ μασᾶσθαι.*

144.

Etym. Gud. 395, 52: *Μνήμη, μενήμη· — Ἀλκμὰν δέ, φασί, δόρκον αὐτὴν καλεῖ· βλέπομεν γὰρ τῇ διανοίᾳ τὰ ἀρχαῖα.* Eadem duo codd. Par. not. ad Et. M. 589, 16. Emperius coni. *παλίδορκον*, O. Müller *φρασίδορκον.*

145. [112.]

Schol. Hom. Il. ρ'. 40: *Τὰ γὰρ εἰς τις λήγοντα θηλυκὰ δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ σὺν ἑτέρῳ φωνήεντι ὀξύνεσθαι θέλει, κοιτίς, Προιτίς, φροντίς, οὐτὶς τὸ ζῷον παρ' Ἀλκμᾶνι.* Cf. Arcad. 35, 3.

146. [95.]

Steph. Byz.: *Πιτυοῦσσαι· νῆσοι διάφοροι, ἃς Πιτυώδεις καλεῖ Ἀλκμάν.* Cf. Eust. Il. 355, 45.

147.

Cram. An. Ox. I. 343, 11: *Καὶ πλῆτρον τὸ πηδάλιον καὶ ὑποκοριστικῶς εἶπεν Ἀλκμὰν πλήθριον.*

148. [107.]

Et. M. 663, 53: *Περίηρος, ἐκ τοῦ Περιήρης, ἄρον τὸ η Περίηρος· ταύτῃ ἐάν σοι προτεθῇ παρ' Ἀλκμᾶνι, ὅτι, κλῖνον αὐτό, μὴ κλίνῃς· οὐ γὰρ ἀκολουθεῖ ἡ κατάληξις, εἰ γένοιτο Περιήρους, πρὸς τὴν Περιήρης εὐθεῖαν. Περὶ παθῶν.* Pertinet fort. ad Hymnum in Dioscuros, nam pater Tyndari fuit.

149. [98.]

Hesych.: *Νηρεύς· θαλάσσιος δαίμων· Ἀλκμὰν καὶ Πόρκον ὀνομάζει.*

150. [44.]

Suid. v. *χθονία· — καὶ παρ' Ἀλκμᾶνι δέ, ὅτε φησὶ χθόνιον τέρας ἐπὶ τῆς Ἔριδος, τινὲς ἀντὶ τοῦ στυγνὸν ἐδέξαντο, ἔνιοι δὲ ἀντὶ τοῦ μέγα, ἐπεὶ πρὸς αὐτὴν λέγει.*

Digitized by Google

151.

Herodian. π. μον. λέξ. 36, 31: καὶ οὐδέτερον (φᾶρος) ὁπότε σημαντικὸν τοῦ ἱματίου, ἢ καὶ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι, ἀλλὰ καὶ παρὰ Ἀντιμάχῳ.

152. [108.]

Suid. v. ψιλεύς· ἐπ' ἄκρου χοροῦ ἱστάμενος· ὅθεν καὶ Φιλόψιλος παρὰ Ἀλκμᾶνι, ἡ φιλοῦσα ἐπ' ἄκρου χοροῦ ἵστασθαι. Cf. Phot. 654, 15.

153. [110.]

Schol. Hom. Il. μ'. 137: ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ το ναῦος ἐβαρύνετο, καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ' Ἀλκμᾶνι.

Digitized by Google

III.

ARION.



Ὕψιστε θεῶν,
πόντιε χρυσοτρίαινε Πόσειδον,

Arion. Aelian. Hist. An. XII. 45: *Τὸ τῶν δελφίνων φῦλον ὡς εἰσι φιλῳδοί τε καὶ φίλαυλοι, τεκμηριῶσαι ἱκανὸς καὶ Ἀρίων ὁ Μηθυμναῖος, ἔκ τε τοῦ ἀγάλματος τοῦ ἐπὶ Ταινάρῳ, καὶ τοῦ ὑπ' αὐτοῦ γραφέντος ἐπιγράμματος· ἔστι δὲ τὸ ἐπίγραμμα·*

Ἀθανάτων πομπαῖσιν Ἀρίονα, Κύκλονος υἱόν,
Ἐκ Σικελοῦ πελάγους σῶσεν ὄχημα τόδε.

Ὕμνον δὲ χαριστήριον τῷ Ποσειδῶνι καὶ μάρτυρα τῆς τῶν δελφίνων φιλομουσίας, οἱονεὶ καὶ τούτοις ζωάγρια ἐκτίνων, ὁ Ἀρίων ἔγραψε· καὶ ἔστιν ὁ ὕμνος οὗτος· Ὕψιστε κτλ. Arioni carmen abiudicat Boeckh in Actis Acad. Berol. 1836. 74. antiquioris tamen poetae esse statuit, cf. Welcker Opusc. I. 95 Mihi vero novitium omnino videtur carmen, quod ante Euripidis aetatem vix potuit componi. — V. 1—7. *ἀναπαλλόμενοι* affert Trets. in Cram. An. Ox. III. 352, 19. — V. 2. *χρυσοτρίαινε*, Hermann ad Aristot. Poet. p. 235. *χρυσοτρίαινα.*

Digitized by Google

γαιάοχ᾽ ἐγκύμον᾽ ἀν᾽ ἅλμαν·
βραγχίοις περὶ δὲ σὲ πλωτοί
Θῆρες χορεύουσι κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἑλάφρ᾽ ἀναπαλλόμενοι, σιμοί,
φριξαύχενες, ὠκύδρομοι σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα
κουρᾶν Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ᾽ Ἀμφιτρίτα·
οἵ μ᾽ εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν
ἀκτὰν ἐπορεύσατε πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχεόντες,
ἅλοκα Νηρεΐας πλακός
τέμνοντες, ἀστιβῆ πόρον, φῶτες δόλιοι
ὥς μ᾽ ἀφ᾽ ἁλιπλόου γλαφυρᾶς νεώς
εἰς οἶδμ᾽ ἁλιπόρφυρον λίμνας ἔριψαν.

V. 3. γαιήοχ᾽, ἐγκύμον᾽ ἀν᾽ ἅλμαν Hermann, sed iunxit cum sequentibus et v. 4. περὶ δ᾽ ἠ σὲ scripsit: a et edd. γαιήοχ᾽ ἐγκυμονάλμαν, b γαιήοχε κυμονάρχα (vat. κυκοναλκ᾽), Tzetz. γαιηόχε ἐγκύμου ἁλμάς — V. 4. βραγχίοις Hermann, βράγχιοι Ael., βράγχια Tz. — V. 5. χορεύουσι bv et edd. vett. et Tz., χορεύουσ᾽ ἐν rel. — V. 6. ῥίμμασιν, Tz. ῥιπάσμασι (B ῥιάσμμασιν). — V. 7. σιμοί bv, vulgo σεισμοί, Hermann σεισμῷ. — V. 9. ἔναλα, ἐνάλια b, ἔναλ᾽ ἀθύρματα Valckenaer. — V. 10. Νηρεΐδων m. a, vulgo Νηρηΐδων. — V. 12. οἵ μ᾽ εἰς, ἣν ἐς b. — γᾶν, τὰν abv. — V. 13. ἐπορεύσατε, ἐπορεύσατο bv, ἐπόρευσαν Brunck. — πλαζόμενον om. m, πλαζομένην v. — V. 14. ὀχεόντες Brunck, vulgo χορεύοντες. nisi malis ὀχεῦντες. — V. 15. Νηρεΐας, vulgo Νηρείας, mabc νηρίας. — V. 16. ἀστιβῆ, στιχῆ m, ἀστίβητον bv. — δόλιοι bv, δ᾽ ἕλιοι a et edd., ἕλειοι M. — V. 17. μ᾽ ἀφ᾽ Hermann, vulgo με ἀπὸ. — ἁλιπλόου, ἁλιπλοῦ a, ἁλιπλούου b. — V. 18. ἁλιπόρφυρον, Reiske ἁλιποφύρου. — ἔριψαν Hermann, vulgo ῥίψαν.

Digitized by Google

IV.

SAPPHO.

1. [1.] *)

Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,

De *Sapphus* et *Alcaei* reliquiis scripserunt inprimis *Seidler* in Museo Rhenano 1829. p. 154 seq. *ego* ibid. 1835. p. 209 seqq. *Ahrens* ibid. T. VI. 216 seq. et 351 seqq. et in Mus. Rhen. Novo T. I. p. 382 seqq. Adde de dial. Aeol. 241 seqq. et de Dial. Dor. 536 seqq. *Hermann* in Opusculis VI. 102 seqq. — *Sapphus* carmina a grammaticis ita disposita fuerunt, ut novem libris comprehensa essent, et subinde librorum, unde petita sunt fragmenta, numerus indicatur. Iam secundum Grammaticos liber I. comprehendebat ea carmina, quae Sapphicis strophis composita fuerunt, vid. Marius Plot. 299. Tricha 69. et inprimis Neue p. 13.) neque adversatur Fr. 115., quod solum ad hunc librum refertur. — Lib. II. et III. carmina systematica comprehendisse docet Hephaest. p. 111: *κοινὰ δέ, ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα ἔχει πληρούμενον· οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς, ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.* confer ibid. p. 116: *Σύστημα δέ ἐστι μέτρων συναγωγή, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων· ἀνομοίων μὲν ὡς τὰ ἐλεγεῖα, ἑξαμέτρου γάρ ἐστι πρὸς πενταμετρον κοινωνία, καὶ οἱ ἐπῳδοί· τὸ δὲ ἐξ ὁμοίων, ὡς τὸ δεύτερον Σαπφοῦς, ὡς προϊόντες δείξομεν.* et deinde p. 117: *Κοινὰ δὲ συστηματικά, ἅπερ καὶ ὁ κατὰ στίχον γεγράφθαι φάσκων, ὑγιῶς ἂν λέγοι, καὶ ὁ κατὰ σύστημα· ὡς τὸ δεύτερον καὶ τρίτον Σαπφοῦς. Διὰ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κατὰ δύο ὁρᾶν παραγεγραμμένον ἕκαστον ᾆσμα, καὶ ἔτι διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ, κατὰ συστήματα νομίζομεν αὐτὰ γεγράφθαι· πάλιν δὲ τῷ ὅμοιον ἑκάτερον εἶναι τῶν ἐν τῇ δυάδι στίχων, καὶ τῷ δύνασθαι τὴν ποιήτριαν κατὰ τύχην τινὰ ἀρτίου πάντα ἀριθμοῦ πεποιηκέναι, φαίη τις ἂν κατὰ στίχον αὐτὰ γεγράφθαι.* adde Tzetz. Cram. An. Par. III. 63. Et liber II. comprehendebat carmina ex Pentametris aeolicis composita, vid. Hephaest. p. 42: *τῶν δὲ ἀκαταλήκτων τὸ μὲν πεντάμετρον καλεῖται Σαπφικὸν τεσσαρεςκαιδεκασύλλαβον, ᾧ τὸ δεύτερον Σαπφοῦς ὅλον γέγραπται·*

$$\breve{}\,\breve{} \;-\;-\;\breve{}\,\breve{}\;-\;\breve{}\,\breve{}\;-\;\breve{}\,\breve{}\;-\;\breve{}\;-$$

ubi affert Fr. 37., potestque ad eundem numerum referri Fr. 25., at aperte refragantur Fr. 50., quod versus glyconeis similes exhibet, Fr. 67. quod choriambicos tetrametros ostendit (ut potius libro III. inserendum foret), deniqne Fr. 79., quod secundum grammaticorum doctrinam ex ionicis a maiore constare videtur. — Liber III. constabat choriambicis tetrametris Sapphicis, vid. Hephaest. p. 60: *τὸ δὲ ἀκατάληκτον καλεῖται Σαπφικὸν ἑκκαιδεκασύλλαβον, ᾧ τὸ τρίτον ὅλον Σαπφοῦς γέγραπται.*

$$-\;-\;\breve{}\;\breve{}\;-\;\breve{}\;\breve{}\;-\;\breve{}\;\breve{}\;-\;\breve{}\;\breve{}\;-\;\breve{}\;-$$

Liber V. secundum Atil. Fortunat. p. 353: (*Maecenas atavis edite regibus* Asclepiadeon metrum vocatur — ante illum usi Alcaeus — et Sappho hoc integro usa est *in libro quinto*) versibus Asclepiadeis constabat, sed non confirmant duo quae supersunt fragmenta, nam Fr. 44. ad Glyconeos, Fr. 89. ad Ionicos a minore pertinet. Has difficultates ita licet solvere, ut statuamus etiam Sapphus carminum duas recensiones olim exstitisse: quarum altera ab Aristophane ut videtur profecta carmina magis ad argumenti aequabilitatem disposita exhibuerit, altera ab Aristarcho, ut coniicio, adornata eadem carmina secundum numerorum genera digesta comprehenderit, qua quidem editione metrici antiqui potissimum usi sunt.

Fr. 1. Dionys. de comp. verb. c. 23: *Ἐποποιῶν μὲν οὖν ἔγωγε μάλιστα νομίζω τουτονὶ τὸν χαρακτῆρα (τὸν γλαφυρὸν) ἐπεξεργάσασθαι*

*) Numeri adiecti sunt editionis Neuianae.

Digitized by Google

παῖ Δίος, δολόπλοκε, λίσσομαί σε
μή μ' ἄσαισι μήτ' ὀνίαισι δάμνα,
πότνια, θῦμον·
ἀλλὰ τυῖδ' ἔλθ', αἴποτα κἀτέρωτα
τᾶς ἔμας αὔδως ἀΐοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες
ἄρμ' ὑποζεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας
πύκνα δινεῦντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.
αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
ἤρε', ὄττι δηὖτε πέπονθα κὤττι

Ἡσίοδον, μελοποιῶν δὲ Σαπφὼ καὶ μετὰ ταύτην Ἀνακρέοντά τε καὶ Σιμωνίδην· . . . ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ· Ποικιλόθρον' κτλ. Ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεπείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν. Notae hae sunt: A — Aldina, C — cod. Colbertinus, D — Darmstadiensis, collatus a Werfero, G — Guelpherbytanus collatus a Schneidewino, M — Monacensis, collatus a Goellero, P — Parisinus, cuius collatio extat apud Ahrensium Dial. Dor. 540., non diversus a Regio 1., quem Hudson adhibuit. — V. 1. *ποικιλόθρον'* bis exhibet Hephaest. 78., *ποικιλόθρων* AP, *ποικιλόφρον* M, *ποικιλόφρων* D. — *Ἀφρόδιτα* Ahrens, vulgo *Ἀφροδίτα*, PC *Ἀφροδίταν*. — V. 2. *λίσσομαι*, D *λίσομαι*. — V. 3. *ἄσαισι* P Schol. Heph. 64., *ἄσσαισι* A, *ἄταισι* M ut olim legebatur. — *ὀνίαισι* P, vulgo *ἀνίαισι* (Turneb. Schol. Heph. *ἄσαις ἀμηδοχίαισι*). — V. 5. *τυῖδ'* Hephaest. 78. et Priscian. T. I. 36., ap. Dionys. *τύδ'* (D *τὺ δελφὶ*). — *αἴ ποτα κἀτέρωτα*, Heph. *αἴ ποτε κἀτέρωτα*, (sed C *ποτα*), cf. Hesych.: *κατέροτα· καὶ ἄλλοτε*, ap. Dion. A *ἐλθέ που κατ' ἔρωτα*, M *ἐλφέ πόκα τ' ἔρ.*, D *δελφὲ πόκα τ' ἔρ.*, CP *ἐλθεποκα κατ' ἔρ.* Prisciani sordes nolui adscribere. — V. 6. *τᾶς ἔμας, τὰς ἐμὰς* AMD. — *αὔδως, αὐδῶς* P, *αὐδὰς* MD, *αἰδῶς* AC, vulgo *αὐδᾶς*, *κλήδως* Ahrens. — *ἄΐοισα πήλυι* scripsi, legebatur *ἄϊοις ἀπόλυ* (A *ἀπόλας*, M *ἀπόλ*, G *ἀνΐοις· ἀπώλυ.*) I. Vossius *ἀΐοισα πολλὺ* (Baxter *πόλλας*). — V. 7. *λίποισα*, A (P) *λιποῖσα*, vulgo *λιποῦσα*. — V. 8. *χρύσιον* Schneidewin, libri *χρύσειον*, vulgo *χρύσειον*. — V. 9. *ὑποζεύξαισα* Neue, Ahrens *ὑπαζεύξαισα*, legebatur *ὑποζεύξασα*. — *ἆγον*, AD *ἄγον*, P *ἄγων*. Verba *κάλοι . . . στροῦθοι* affert Herodian. *π. μον. λέξ.* 42, 17. Respicit Athen. IX. 391. E. cf. Hesych: *ὠκέες στρουθοί, ταχεῖς, εὐπρεπεῖς, κοῦφοι.* Ceterum Blomfield coni. *ὠκέα*. — V. 10. *περὶ γᾶς* MDP, *πτέριγας* A, *πτέρυγας* Ursinus, quod olim probavi, ita ut v. 11. scriberem *δινεύεντες* eiecto vocabulo *πτέρα*, quod iam Ursinus delevit, Hermann *πτέρυγος*, postea *πτέρυγας* et *περάτων ἀπ' αἰθέρος*. Apogr. Vict. *περὶ γὰρ μέλαιναν*. — V. 11. *δινεῦντες* DM, *δινῆντες* PC, *δινῦντες* G ut vulgo. — *πτέρ'*, P *πτέρα*. — *ὠράνω αἰθέρος διὰ μέσσω*, APG *ὠρανῶ· θέρος δ' ἀμεσπω* (A *ἄμες πω*), C *ὠρανῶ· θέρος* (de ultimis non constat.) D (*ἀπ*)*ωρανώθερος δια μέσω*, M *οὐρανῶ αἰθέρος διὰ μέσω*. Ahrens coni. *πύκνα δίννυντες πτέρ' ἀπ' ὠράνω θ' ἕδος πεδὰ Λέσβω αἶψ' ἄρ' ἐξίκοντο*. — V. 13. *αἶψα δ'* MD et Vict. apogr., *αἶψ' ἄλλ'* PA, vulgata ante Hudsonum *αἶψα δ' ἄρ'*. — *ἐξίκοντο*, M *ἐξήκοντο*, D *ἐξήκοντος*. — *μάκαιρα*, P *μάκειρα*. — V. 14. *μειδιάσαισ'* Neue, vulgo *μειδιάσασ'*. — V. 15. *δηὖτε* Hermann, *δ' ἦυ το* P, *δ' ἦν τὸ* ceteri. — *κὤττι*, M *κὥτι*, D *κὥτι κα*, Sylburg *κὤττι*.

Digitized by Google

δηὖτε κάλημι,
κὄττ' ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· τίνα δηὖτε Πείθω
μαῖς ἄγην ἐς σὰν φιλότατα, τίς σ', ὦ
Ψάπφ', ἀδικήει;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἄλλα δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα.
ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὅσσα δέ μοί τέλεσσαι
θῦμος ἰμέῤῥει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

2. [2.]

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν

V. 16, δηὖτε Hermann, δ' ηυτε P, διήν τε C, δ' ἥν τε G, δεῦρο MD. — κάλημι M, καλημμι APC, κάλλημην D. — V. 17. κὄττ' P, κὄττι G, κὤτι γ' MD, κὤττι Schneidewin, fort. κὄττι μοι. — γένεσθαι, MD γενέσθω. — V. 18. τίνα δηὖτε Πείθω μαῖς ἄγην ἐς σὰν Seidler, nisi quod λαῖς scripsit, P τιναδ' ἐυτεπείθωμαι (correctum in και vel βαι) σαγηνέσσαν, DM τίνα δ' ἠΰτε (M ηὔτε) πειθὼ (M πειθῶ) καὶ σαγήνεσσαν, A τίνα δ' εὔτε πείθωμαι σαγηνεύσαν, vulgo τίνα δ' εὖτε πύθωμαι σαγηνεῦσαι (φιλότητος σ', ὦ Σαπφώ, δίκην) ex manifesta interpolatione. Ego conieci τίνα δηὖτ' ἀπείθην (vel ἐπύθω) μαῖς ἄγην ἐς σάν, Hermann τίνα δηὖτε πείθω καὶ σαγηνάεσσαν φιλότατα, Ahrens τίνα δηὖτε πείθω μὴ 'σάλην (i. e. ἀσαλεῖν, ἀφροντιστεῖν vid. Hesych.) εἰς σὰν φιλότατα. — σ' om. D. — V. 20. Ψάπφ' ἀδικήει Gaisford, cf. Et. M. 485, 41: οἱ Αἰολεῖς τὰ τῆς πρώτης συζυγίας διὰ τοῦ η προφέρουσιν, ἀδικήω, ὦψά τ' ἀδικήη (D ὦψαφ', M ὦψα δαδικήν.), eadem Et. Gud. 294, 39. ubi ὄψαθ' ἀδικίη. Apud Dion. P τις σωψαπφα δίκη, MD σαπφὼ δίκη, A Ψαπφαδίκη, Ursinus et Stephanus Σαπφοῖ, ἀδικεῖ. — V. 21. αἰ, GP εἰ, D εἰ. — φεύγει, G φεύγεις, D φάγοι. — V. 22. αἰ, D οἱ. — δέκετ', P δέ κετ', D δέ τ'. — ἄλλα PD, vulgo ἀλλὰ. — V. 23. αἰ, D αἱ. — V. 24. κωὐκ ἐθέλοισα scripsi, nam de *puellae* amore agitur, minus recte Blomfield κωὐκ ἐθέλοισαν, PC κὠυκ (C κ' ωϋκ') ἐθέλοις, D κω ἐἰ (εἰαις) καὶ θέλεις, M κὤτ' εἰ καὶ θέλεις, G ἠώ ϋ καὶ ἐθέλοις, A κὠϋκ ἐθέλοι. — V. 25. ἔλθε, ἐλθή D. — χαλεπᾶν, APD χαλεπάν, et AP μέριμναν. — V. 26. ὅσσα et τέλεσσαι, libri ὅσα et τελέσαι, sed deinde P τέλεσσον. — V. 27. ἰμέῤῥει, A ἱμέρει, P ϊμέρει, D ἱμέρα. — σὺ δ' αὔτα, DM σὺ δ' αὐτᾶ, conieci σὺ δηυτε (δαὖτε), Ahrens σὺ δ' αὔτᾳ (i. e. σαυτῇ). — V. 28. ἔσσο, vulgo ἔσο, om. AP, Ahrens coni. ἔσθι (i. e. ἴσθι).

Fr. 2. Longinus de Subl. c. 10: Οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. Ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι. Φαίνεται κτλ. ... φαίνομαι Ἀλλὰ πᾶν τολματὸν ἐπεὶ πένητα. Οὐ θαυμάζεις ὡς ὑπ' αὐτὸ τὴν ψυχήν, τὸ σῶμα, τὰς ἀκοάς, τὴν γλῶσσαν, τὰς ὄψεις, τὴν χρόαν, πάνθ' ὡς ἀλλότρια διοιχόμενα ἐπιζητεῖ καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται, καίεται, ἀλογιστεῖ, φρονεῖ; (ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν), ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνη-

Digitized by Google

ἔμμεν ὤνηρ, ὅςτις ἐναντίος τοι
ἰζάνει, καὶ πλασίον ἀδυ φωνεί-
σας ὑπακούει
καὶ γελαίσας ἰμερόεν, τό μοι μάν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
ὡς γὰρ εὔιδον βροχέως σε, φώνας
οὐδὲν ἔτ' εἴκει·
ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε, λέπτον δ'
αὔτικα χρῶ πῦρ ὑπαδεδρόμακεν,
ὀππάτεσσι δ' οὐδὲν ὅρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι.
ἁ δέ μ' ἵδρως κακχέεται, τρόμος δὲ

ται, παθῶν δὲ σύνοδος. Idem carmen respicit Plut. Erot. c. 18: Αὕτη δὲ (ἡ Σαπφὼ) ἀληθῶς μεμιγμένα πυρὶ φθέγγεται καὶ διὰ τῶν μελῶν ἀναφέρει τὴν ἀπὸ τῆς καρδίας θερμότητα, Μούσαις εὐφώνοις ἰωμένη τὸν ἔρωτα, κατὰ Φιλόξενον. — ἡ καλὴ Σαπφὼ λέγει, τῆς ἐρωμένης ἐπιφανείσης τήν τε φωνὴν ἴσχεσθαι καὶ φλέγεσθαι τὸ σῶμα καὶ καταλαμβάνειν ὠχρότητα καὶ πλάνον αὐτὴν καὶ ἴλιγγον. Λεχθέντων οὖν ὑπὸ τοῦ Δαφναίου τῶν μελῶν ἐκείνων ὡς . . . . . Excidit hic Sapphus locus inde a v. 7. V. 1. κῆνος Apoll. de Pron. 335. A: Αἰολεῖς κῆνος· φαίνεταί μοι κῆνος ἴσος θεοις (ita cod.) ἔ. ὤ. v. ap. Long. ut videtur κεῖνος, sed non recte voluerunt ex eodem Apoll. 366. A: Αἰολεῖς σὺν τῷ F· φαίνεταί Fοι κῆνος, Σαπφώ. Fοι restituere, alius enim ille Sapphus est versus, cf. Catull. qui carm. LI. haec vertit: *Ille mi par esse Deo videtur.* — V. 2. ἔμμεν, Ahrens ἔμμεν'. — ὅστις, Blomfield ὅττις. — ἐναντίος codd., ἐναντίον, vulgo. Ceterum cod. Par. ἐμμένων ἥροστις ἐναντιὸς τοιζάνει, Ambr. El. Laur. Vat. 2. 3. ἐμμένων (Vat. 2. 3. ἐμμένον) ἥρως τις ἐναντίος τοι. — V. 3. ἰζάνει Vat. 2., vulgo ἱζάνει, Blomfield ἰσδάνει. — πλασίον, Par. Ambr. Vat. 2. 3. πλησίον, Laur. πλησίων. — ἀδυ φωνείσας Neue, Vat. 2. ἀδὺ φώνου σαῖς, Vat. 3. ἀδύφων. σαῖς, Laur. Par. Ambr. ἁδύφων· σαις, Robortelli ἁδυφωνούσας, unde vulgo ἁδυφωνεύσας. — V. 5. γελαίσας Buttmann et Neue, vulgo γελώσας, sed Vat. 2. 3. Par. Laur. γελαῖς, Ambr. El. γελᾷς· δή, Doederlein coni. καὶ γελᾶϊς. — μοι μάν Hartung, vulgo μοι 'μάν (ἐμάν), Vat. 2. 3. Par. Laur. μὴ ἐμάν, Ahrens δὴ ἔμαν, Hermann μ' ἄμμαν. — V. 6. ἐπτόασεν, Laur. a m. sec. ἐποπτόασεν, Vat. 2. utrumque, Robortelli ἐπεπτόασεν. — V. 7. ὡς γὰρ εὔιδον βροχέως σε, φώνας scripsi, libri ὡς γάρ σ' ἴδω (Vat. 2. 3. εἴδω, El. ἰδῶ) βρόχεώς με (βροχέως με Laur. Ambr.) φωνάς (Laur. Ambr. φώνας). Seidler ὡς γὰρ εἰςίδω βροχέως σε φωνᾶς, Hermann ὡς ἴδω γάρ σε βρόχε', ὥς με φωνᾶς, Ahrens ὥς σε γὰρ Fίδω, βροχέως με φώνας. — — V. 8. εἴκει, El. (Laur.) ἥκει, Toup ἴκει. — V. 9. καμ, Vat. 2. 3. Par. Laur. κἄν. — μὲν γλῶσσα, Vat. 2. Laur. με γλῶσσαν. — ἔαγε, hiatum ut tollerent, correxerunt Fέαγε, quae forma plane reiicienda est; fort. γλῶσσ' ἐΰαγε. Longe aliam lectionem praebet Plut. de profect. in virt. c. 10. γλῶσσ' ἔαγ', ἀν δὲ λέπτον, sed displicet penultima insolenter correpta. — V. 10. χρῶ, Ahrens χρῶν. — ὑπαδεδρόμακεν Par., Vat. 2. 3. Laur. ὑπεδεδρόμακεν, vulgo ὑποδεδρ. — V. 11. ὀππάτεσσι (vel ὀππάτεσσιν) libri, Robortelli ὀμμάτεσσιν. — ὅρημ', ἐπιρρόμβεισι, P ὁρηῖ μὴ ἐπιρόμβεῖσι, Vat. 2. 3. ὁρῆμ' (ορῆμ') ἡ ἐπιρομβεῖσι, Laur. ορῆμ' ἡ ἐπιρόμβεισι, vulgo ἐπιρρομβεῦσι, Manutius ὅρημι: βομβεῦσιν δ' ἀκοαί μοι. Ego conieci ἐπιβρόμεισι. — V. 12. ἄκουαι Laur., P Vat. 2. 3. ἄκουε. — V. 13. ἁ δέ μ' ἵδρως κακχέεται scripsi, nisi malis ἁ δὲ Fίδρως, legebatur καδ δ' ἱδρὼς ψυχρὸς χέεται, Vat. 2. ἐκ δε μ' ἱδρῶς ψυχρὸς κα,κχέεται, Vat. 3. ἔκαδε

Digitized by Google

πᾶσαν ἄγρει, χλωροτέρα δὲ ποίας·
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύην
φαίνομαι (ἄλλα).
ἀλλὰ πὰν τόλματον, [ἐπεὶ καὶ πένητα].

3. [3. 106.]

Ἄστερες μὲν ἀμφὶ κάλαν σελάναν
ἆψ ἀποκρύπτοισι φάεννον εἶδος,
ὄπποτ' ἂν πλήθοισα μάλιστα λάμπῃ
(ἀργυρέα) αὔγαν.

μ' ἱδρὼς ψ. κ., Par. ἐκαδε μ' ἱδρῶς ψ. κ. Schneidewin coniecit κἄνθεμ' ἱδρῶς (vel ἐκ δὲ Ἥδρως) κακχέεται. Conf. Cram. An. Ox. I. 208, 13: Ἰ.ΙΡΩΣ· τοῦτο παρ' Αἰολεῦσι θηλυκῶς λέγεται. ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ γένει· Ἄδεμ' ἱδρὼς κακὸς χέεται, ὅμοιον τῷ ἠώς· εἶτα ἡ γενικὴ ἱδρῶς. Adde Schol. Hom. Il. χ'. 2. Et ψυχρὸς iam Spengel delevit. Resp. haec Plut. vit. Demetr. c. 38: Τῆς δὲ Στρατονίκης καὶ καθ' ἑαυτὴν καὶ μετὰ τοῦ Σελεύκου φοιτώσης πολλάκις ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ αὐτὸν πάντα· φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑποδείξεις (Toll coni. ὑπολείψεις), ἱδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς, τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος καὶ ὠχρίασις. Cf. de profect. in virtut. c. 10: τὰ Σαπφικὰ ταυτὶ παρέπεται, κατὰ μὲν γλῶσσ' ἔαγ' ἄν δὲ λ. αὐ. χρῶ πῦρ ὑποδέδρομε (l. ὑποδεδρόμηκε) καὶ ἀθόρυβον δὲ ὄψιν καὶ πρᾶον ὄμμα, φθεγγομένου δ' ἀκοῦσαι ποθήσειας. — V. 14. πᾶσαν ἄγρει, Vat. 2. 3. πᾶσα, ν' ἀγρεῖ, Par. πᾶσ' ἀναγρεῖ, Ahrens παῖσαν corrigit. — V. 15. 'πιδεύην scripsi cum Ahrensio, πιδεύειν Vat. 2., πιδεύσην Ambr. Par., πιδευὴν Vat. 3. Laur., Hermann coni. 'πιδεύης. — V. 16. ἄλλα, i. e. ἠλεὴ (*demens*) adieci, Manutius ἄπνους, Hermann 'Ατθί. — V. 17. πὰν τόλματον, P παντόλματον, vulgo πᾶν τολματόν. Quae sequuntur ἐπεὶ καὶ (hoc codd., ut videtur omnes, praet. cod. Spengelii, om. Robortelli) πένητα uncis inclusi, nam videntur haec ad Longini orationem pertinere, fort. Ἀλλὰ πὰν τόλματον, ἔπειπεν· εἶτα (vel κἆτα) οὐ θαυμάζεις (codd. θαυμάζοις vel θαυμαζοὶς) κτλ. Antea conieceram versu 16. integrum carmen absolvi, ut deinde sit scribendum πᾶν τὸ ἀσμάτιον ἐπεῖπον· εἶτα οὐ θαυμ., similiter Ahrens πᾶν τὸ ἀσμάτιον ὡς ἔπος εἰπεῖν, ἢ γὰρ οὔ; θαυμάζεις κτλ. Hermann vero coni. φαίνομαι οὐδέν, ἀλλὰ παντόλματον ἀπεῖπεν ἡτορ.

Fr. 3. Eust. Il. 729, 20: Ἴστέον ὅτι ἐν τῷ φαεινὴν ἀμφὶ σελήνην οὐ τὴν πλησιφαῆ νοητέον καὶ πληροσέληνον· ἐν αὐτῇ γὰρ ἀμαυρά εἰσι τὰ ἄστρα ὡς ὑπεραυγαζόμενα, καθὰ καὶ ἡ Σαπφώ που φησίν· Ἀστέρες ... λάμπῃ γᾶν. Eadem Cram. An. Par. III. 233, 31. V. 1. σελάναν, in proecdosi σελάνναν scripsi. — V. 2. ἆψ, fort. αἶψ'. — ἀποκρύπτοισι Scaliger, vulgo ἀποκρύπτουσι, Ahrens ἀπυκρύπτοισι. — φάεννον Scaliger, vulgo φαεινόν. — εἶδος, An. ἦθος. — V. 3. ὄπποτ' ἂν Blomfield, Eust. ὁπόταν, An. ὁπότα, Ahrens ὄπποτα . . . λάμπῃ, fort. recte, sed tunc λάμπῃ indicativus fuerit. — πλήθοισα, An. πλήθησι. — μάλιστα, coniicio κάλιστα et sic etiam Ahrens. — V. 4. ἀργυρέα adiecit Blomfield ex Iulian. Epp. XIX: Σαπφὼ ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησὶ καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν, sed non recte ἀργυρέᾳ γᾶν scripsit, quod ferri nequit, itaque αὔγαν pro γᾶν correxi. Nec suspicatur γᾶν ἐπὶ πᾶσαν ἀργυρέα, Ahrens Ἄστερες δι' ἀργυρίαν σελάναν.

Digitized by Google

4. [4.]

Ἀμφὶ δὲ [ὕδωρ] *ψῦχρον κελάδει δι' ὕσδων*
μαλίνων, αἰθυσσομένων δὲ φύλλων
κῶμα καταῤῥεῖ.

5. [5.]

. . . . Ἔλθε Κύπρι
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβρως
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοεῦσα.

6. [6.]

Ἦ σε Κύπρος ἢ Πάφος ἢ Πάνορμος.

Fr. 4. Hermog. Walz. Rhet. III. 315: *Καὶ τὰς μὲν οὐκ αἰσχρὰς ἡδονὰς ἔστιν ἁπλῶς ἐκφράζειν, οἷον κάλλος χωρίου καὶ φυτείας διαφόρους καὶ ῥευμάτων ποικιλίαν καὶ ὅσα τοιαῦτα. Ταῦτα γὰρ καὶ τῇ ὄψει προσβάλλει ἡδονὴν ὁρώμενα καὶ τῇ ἀκοῇ, ὅτε ἐξαγγέλλοι τις. Ὥσπερ ἡ Σαπφώ· Ἀμφὶ δὲ ὕδωρ ψυχρὸν κ. δι' ὄσδων* (sic Vind. Port., ἢ κλάδων marg. Vict.) *μ. καὶ αἰθ.* (Vind. supra ἢ κινουμένων) *δὲ φ. κῶμα* (Vind. supra ἢ ὕπνος, Par. *ἐν ἄλλοις οὐκ ἐστὶ τὸ κῶμα*) *καταρρεῖ. καὶ ὅσα πρὸ τούτων γε καὶ μετὰ ταῦτα εἴρηται.* In Schol. ib. VII. 883: *Ἀμφὶ δὲ ὕδωρ ψ. κ. δι' ὄσδων μαλίνων.* sed Schol. V. 534. recte ὕσδων et sic Et. Vindob. Cod. CCV. f. 109: ὕσδος ὁ ὄζος παρ' *Αἰολεῦσιν· οὗτοι γὰρ τρέπουσι τὸ ō εἰς ῡ καὶ τὸ ζ διαλύουσιν εἰς τὸ σ καὶ δ. ὡς παρὰ Σαπφοῖ· ἀμφὶ δὲ ὕδωρ ψυχρὸν κελαδεῖ δι' ὕσδων μαλίνων.* V. 1. ὕδωρ cancellis sepsi, quippe quod sit ex interpretatione additum, auctore Nenio. Antea conieceram *ἀμφὶ δ' ὕδωρ ἱερὸν* (vel ἴψοθεν) *ψῦχρον.* Sed sive de aqua, sive potius de aura circa fontem per frondes leniter spirante sermo fuit, certum est Nympharum hortos describi, cf. Demetr. Eloc. CXXXII. *Εἰσὶν αἱ μὲν ἐν τοῖς πράγμασι χάριτες, οἷον Νυμφαῖοι κῆποι, ὑμέναιοι, ἔρωτες, ὅλη ἡ Σαπφοῦς ποίησις.* Hom. Od. ρ. 209: *Ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος Πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ Ὑψόθεν ἐκ πέτρης, βωμὸς δ' ἐφύπερθε τέτυκτο Νυμφάων.* Theocr. VII. 135. *Πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο Αἰγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδε.* Respicit haud dubie Ovid. Heroid. XV. 157: Est nitidus vitroque magis perlucidus omni Fons sacer: hunc multi numen habere putant, Quem supra ramos expandit aquatica lotos, Una nemus: tenero cespite terra viret. Ceterum *ψῦχρον κελάδει* Ahrens, vulgo *ψυχρὸν κελαδεῖ*. — V. 2. *αἰθυσσομένων* Neue, Hermog. *καὶ αἰθυσσομένων*, ubi Walz *καὶ* Hermogenis esse putat, quasi duo exempla afferantur, Conieci *καθυσσομένων*, cf. Hesych.: *Θύσσεται· τινάσσεται.* et *Θυσσόμεναι· σειόμεναι.* — V. 3. *καταρρεῖ*, Ahrens *καρρέει*, si quid mutandum, malim *κατάγρει.*

Fr. 5. Athen. XI. 463. E: *Καὶ κατὰ τὴν καλὴν οὖν Σαπφὼ· Ἔλθὲ . . . οἰνοχοοῦσα τούτοισι τοῖς ἑταίροις ἐμοῖς γε καὶ σοῖς* (σοὶ AB) quae Athenaei sunt verba ut Welcker vidit, Hermann alii Sapphus versum *Τοῖς — δὲ τοῖς ἐμοῖς ἑτάροις τε καὶ σοῖς* inesse putant. Fortasse est ex illo carmine, in quo Sappho fratrem Larichum pocula ministrantem induxit, vid. Fr. 139. — V. 2. *χρυσίαισιν* Neue, *χρυσέαισιν* vulgo, *χρυσείαισιν* libri. — *ἄβρως* scripsi, vulgo *ἄβροις*, Blomfield *ἄβραις*. — V. 4. *οἰνοχοεῦσα* scripsi, vulgo *οἰνοχοοῦσα*, Neue *οἰνοχόεισα*. — V. 3. *θαλίαισι*, Ahrens *θαλέεσσι.*

Fr. 6. Strabo I. 40. *Καὶ Σαπφώ· Ἦ σε κτλ.* Est haud dubie ex hymno in Venerem, cf. Menander de Encom. Rhet. IX. 136.

Digitized by Google

7. * 8. [7.]

Σοὶ δ' ἔγω λεύκας ἐπὶ βῶμον αἴγος

* * *

κἀπιλείψω τοι.

* 9.

Αἶθ' ἔγω, χρυσοστέφαν' Ἀφρόδιτα,
τόνδε τὸν πάλον λαχόην.

10. [90.]

Αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι.

11. [47.]

. . . . . Τάδε νῦν ἑταίραις
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω.

12. [87.]

. . . . Ὄττινας γάρ
εὖ θέω, κῆνοί με μάλιστα σίνονται . . . .

Fr. 7. et 8. Apoll. de Pron. 364. C: *ΣΟΙ'. Ἀττικῶς. Ἴωνες, Αἰολεῖς ὁμοίως· Σοὶ δ' εγω λεύκας ἐπιδωμον αἴγος. Σαπφώ.* καὶ τὸ *κατὰ ἀπόλυτον διὰ τ· Κἀπιλείψω τοι.*. Posterius hoc ex eodem, ut videtur, carmine petitum est. *ἔγω*, Bekker *ἔγων*. — *ἐπὶ βῶμον* Bekker. Pro *ἐπιδωμον* Neue coni. *περιδώσομ'*, Ahrens *ἐπὶ δᾶμον* (i. e. *δημὸν*) *αἴγος* (*πίονα καύσω*) — *αἴγος*, Welcker coniecit *Αἴγος* (Schneidewin *Αἰγᾶς* vel rectius *Αἴγας*) collato Strabone XIII. 615., ego *αἴγοις* conieci, i. e. *αἴγους* sive *αἴγας*. Videtur Sappho describere sacrificium Veneri oblatum, quorsum fort. respicit Philostr. Imag. II. 1.

Fr. 9. Apollon. de Synt. 247: *Εἰσὶ τῆς εὐχῆς ἐπιρρήματα παραστατικά· Αἶθ' ἔγὼ γενόμαν* (*γενάμαν* M, *γενοίμην* B, om. C). *χρυσέη αἶθ'* (*εἰθ'* M, *αἴθ'* οὕτως C), *ἀφροδίτα, τ. τ. π. λαχοίην* (*λαχοίη* B) at recte A *χρυσοστέφαν'*. — V. 2. *λαχόην* correxi, cf. Et. M. 558, 28. Cram. An. Ox. IV. 204, 5. Choerobosc. Epim. II. 772.

Fr. 10. Apollon. de Pron. 404. A: *Αἰολεῖς ἀμμέτερον καὶ ἄμμον καὶ ὔμμον καὶ σφόν. Σαπφώ· ἐμὲ τιμίαν ἐποίησαν ἑρπατα σφαδοισαι. Αἴ με* Seidler, *ἐπόησαν* Ahrens, *ἔργα τὰ σφὰ δοῖσαι* Is. Voss, nisi forte leg. *Αἴ με τιμίαν πόησαν ἔργα τὰ σφὰ δοῖσαι*, ut sit idem metrum quod Fr. 84. ubi vide Aristidis locum. Eandem sententiam protulerat Sappho etiam in carmine Fr. 68.

Fr. 11. Athen. XIII. 571. D: *Καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν καὶ αἱ παρθένοι τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς ἡ Σαπφώ· τάδε κτλ.* — V. 2. *ἔμαισι* Seidler, vulgo *ἐμαῖς*, contra Blomfield; *Τάδε νῦν ἑτάραις ταῖσιν ἐμαῖς κτλ.*

Fr. 12. Et. M. 449, 34: *ὥςπερ δαμῶ, δαμεῖω, οὕτω θῶ θέω·* καὶ *παρὰ Σαπφοῖ· ὄττινας κτλ.* V. 1. *ὄττινας* Ahrens alii, vulgo *ὅττινες*. — V. 2. *κῆνοι* Blomfield, vulgo *κεῖνοι*. — *σίνονται*, Ahrens *σίννονται*.

Digitized by Google

13. [59.]

. . . . . Ἔγω δὲ κῆν' ὄττω τις ἐρᾶται.

* 14.

Ταῖς κάλαις ὔμμιν (τὸ) νόημα τὤμον οὐ διάμειπτον.

15. [60.]

Ἔγων δ' ἐμαύτᾳ τοῦτο σύνοιδα.

16. [62.]

. . . . . Κἄντα στᾶθι φίλος καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν.

17. [8.]

Ταῖσι (δὲ) ψῦχρος μὲν ἔγεντο θῦμος, παρ δ' ἴεισι τὰ πτέρα . . .

18. [11.]

Τὸν δ' ἐπιπλάζοντες ἄμοι φέροιεν καὶ μελεδώναις.

Fr. 13. Apollon. de Synt. 291: *τό γε μὴν ἐρᾶν ὁμολογεῖ τὸ προσδιατίθεσθαι ὑπὸ τοῦ ἐρωμένου· διὸ καὶ δεόντως ἡ Σαπφὼ ἐπιτεταμένῳ μᾶλλον ὀνόματι ἐχρήσατο· ἐγὼ δὲ* (hoc om. B) *καὶ ἡ νοτιώτις ἐρᾶται.* sed A *κηνοττωτις*, quod correxi, in proecdosi *κῆνο τῶ* scripsi, idque etiam Ahrens proposuit, nisi quod *ἔρατται* scripsit, idem narrat se olim *κῆν' ὄττω τις* coniecisse, postea improbasse.

Fr. 14. Apollon. de Pron. 384. Ç: *Υ̓́μμιν Αἰολεῖς· ταῖς κάλαις κτλ.* V. 1. *τὸ* add. Bekker. — V. 2. *νόημα*, Cod. *νοημμα*, Ald. Corn. cop. 266. B Aeolenses *νόαμα* dixisse perhibet.

Fr. 15. Apollon. de Pron. 324. B: *Αἰολεῖς βαρέως· ἔγων (ἐγων) δ' ἔμ' αὔτᾳ τ. σ. Σαπφώ.* Prorsus alio modo iterat haec 363. A: *καὶ παρὰ τοῖς Αἰολικοῖς δὲ ὡς ἐν παραθέσει ἀνεγνώσθη· ἔμ' αὔτα τοῦτ' ἔγων σύνοιδα.* Scribendum *ἐμαύτᾳ*, vid. Alcaei Fr. 72. Ceterum Ahrens *συνοΐδα.*

Fr. 16. Athen. XIII. 564. D: *Καὶ ἡ Σαπφὼ δὲ πρὸς τὸν ὑπερβαλλόντως θαυμαζόμενον τὴν μορφὴν καὶ καλὸν εἶναι νομιζόμενόν φησι· Στᾶθι κἄντα φίλος κτλ.* Scripsi *κἄντα στᾶθι*, sed possunt alia plura coniici. Ahrens *στᾶθι κάταντα.* — V. 3. *ἀμπέτασον*, Ahrens *ὀμπέτασον.*

Fr. 17. Schol. Pind. Pyth. I. 10: *Ἡ δὲ Σαπφὼ ἐπὶ τοῦ ἐναντίου ἐπὶ τῶν περιστερῶν· Ταῖσι ψυχρὸς κτλ.* V. 1. *δὲ* adiecit Neue, Boeckh *ταῖς* scripsit. — *ἔγεντο* Boeckh, vulgo *ἐγένετο.*

Fr. 18. Et. M. 335, 38: *Τὰ γὰρ δύο σσ εἰς ζ τρέπουσιν Αἰολεῖς· τὸ γὰρ ἐπιπλήσσω ἐπιπλάζω. Σαπφώ· Τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν.* Auctius Herodian. *περὶ μον. λέξ.* 23, 12: *τὸ δὲ αὐτὸ ἐπὶ τοῦ πλάζω. Τὸν δὲ ἐπιπλάζοντες ἂν ἐμοὶ φ. καὶ μελεδῶναι ἀντὶ τοῦ ἐπιπλήσσοντες.* Verbum *ἐπιπλάζω* hinc affert Herodian. *περὶ διχρόν.* 360. Seidler scripsit *τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι . . . καὶ μελέδωνα*, at epitheton illud ventis potius convenit, itaque scribendum *ἐπιπλάζοντες ἄμοι . . . καὶ μελεδώναις*, cf. Hesych. *Ἀμώνας· τὰς ἀνεμώνας Αἰολεῖς* et

Digitized by Google

19. [12.]

Ἀρτίως μ' ἁ χρυσοπέδιλος Αὔως.

20. [83.]

. . . . Πόδας δέ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον.

21. [84.]

. . . . Παντοδάπαις μεμιγμέ-
να χροΐαισιν.

* 22.

. . . Ἔμεθεν δ' ἔχεισθα λάθαν.

* 23.

. . . . . Ἦ τιν' ἄλλον
(μᾶλλον) ἀνθρώπων ἔμεθεν φίλησθα.

* 24.

Οὔ τι μοι ὔμμες.

25. [17.]

Ἄς θέλετ' ὔμμες.

μεταμώνιος. τὸν autem referendum videtur ad verbum *σταλαγμός*, quod praecesserit, vid. Et. M. 576, 25: *Αἰολεῖς σταλαγμὸν τὴν ὀδύνην.*

Fr. 19. Ammon. 23: *Ἀμαρτάνει Σαπφὼ λέγουσα· Ἀρτίως μὲν ἁ χ. αὐ ὡς ἀντὶ χρονικοῦ ἐπιῤῥήματος. μ' ἁ* Seidler scripsit, *αὔως* Scaliger, Ahrens praeterea *χρυσοπέδιλλος.*

Fr. 20. Schol. Aristoph. Pac. 1174: *Διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί, καὶ Ὅμηρος — καὶ Σαπφώ· πόδα δὲ κτλ.* Cf. Pollux VII. 93: *Τὰ μέντοι Τυῤῥηνικὰ εἴη ἂν ὁ Σαπφοῦς μάσθλης, Ποικίλος μάσθλης εἶπε* (om. Bekk.) *Λύδιον καλὸν* (A *κακὸν*) *ἔργον.* — V. 1. *πόδας* Seidler, vulgo *πόδα.* — V. 2. *μάσλης* Bekker in Polluce bis, ex codd. ut videtur, vulgo *μάσθλης*, ut ap. Schol. Arist.

Fr. 21. Schol. Apoll. Rhod. I. 727: *Ἐρευθήεσσα δὲ* (ἡ τοῦ Ἰάσονος δίπλαξ), *ἀντὶ τοῦ πυῤῥά, ὑπέρυθρος, καὶ ἔστι παρὰ τὸ Σαπφικόν· παν. με. χροιαῖσιν. χροΐαισιν* Seidler.

Fr. 22. et 23. Apollon. de Pron. 343. B: *Ἐμεθεν· πυκνῶς αἱ χρήσεις παρ' Αἰολεῦσιν· ἐμέθεν δ' ἔχεισθα λάθαν. ἦ τίν' ἄλλον ἀν. ἐμ. φιλῆσθα.* Haud dubie Sapphonis sunt fragmenta. — Fr. 23. V. 2. *μᾶλλον* adieci. — *φίλησθα* scripsi, vulgo *φιλῆσθα*, Ahrens *φίλεισθα.*

Fr. 24. et 25. Apollon. de Pron. 379. B: *Ὑμεῖς.* — *Αἰολεῖς ὔμμες οὔτί μοι ὔμμες. ἃς θέλετ' ὔμμες ἐν δευτέρῳ Σαπφώ.* Apparet prius Fr. non esse Homericum Il. *α'*. 335., sed utrumque Fragmentum Sapphus ex eodem libro videtur. *ἃς* Ahrens, at servanda lectio *ἄς.*

Digitized by Google

* 26.

Καὶ ποθήω καὶ μάομαι.

27. [135.]

[Κεῖνον, ὤ χρυσόθρονε Μοῦσ', ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
πρέσβυς ἀγαυός.]

---

28. [93.]

Σκιδναμένας ἐν στήθεσιν ὄργας
μαψυλάκαν γλῶσσαν πεφύλαχθαι.

---

29. [61.]

Αἰ δ' ἦχες ἔσλων ἵμερον ἢ κάλων,
καὶ μή τι Fείπην γλῶσσ' ἐκύκα κάκον,

Fr. 26. Et. M. 485, 45: *Οἱ Αἰολεῖς. ... ἀδικήω* (sequitur Sappho Fr. 1, 20.) *... ποθέω, ποθήω, οἷον· καὶ π. κ. μάχομαι* (DM *μάομαι*). Eadem Et. Gud. 294, 40. ubi *μάομαι*. Videtur Sapphonis esse.

Fr. 27. Athen. XIII. 599. C: *Χαμαιλέων δ' ἐν τῷ περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπ' Ἀνακρέοντος τάδε· Σφαίρῃ δηὖτε κτλ. — καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν· κεῖνον κτλ. — Ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα παντί που δῆλον.* Possis suspicari illud tantum confictum esse, quod ad Anacreontem scriptum sit carmen, sed potius omne carmen subditicium esse censendum est. V. 1. *κεῖνον* Ursinus, vulgo *κείνων*. — *ἔνισπες* Barnes, *εἴνασπες* PVL, *εἰνσπες* A. — V. 3. *Τήιος* Barnes, vulgo *ὁ Τήιος*. — *ὃν* Ursin., vulgo *ὅσ'*. — V. 4. *ἀγαυός* Barnes, libri *ἀγλαός*.

Fr. 28. Plutarch. de coh. ira c. 7: *Ἐν ὀργῇ δὲ σεμνότερον οὐδὲν ἡσυχίας, ὡς ἡ Σαπφὼ παραινεῖ, σκιδναμένης ἐν στήθεσιν ὀργῆς πεφυλάχθαι γλῶσσαν μαψυλάκταν.* Hermann *μαψυλάκαν* emendavit, Seidler restituit Adonios, Ahrens v. 2. *πεφύλαξο* scripsit.

Fr. 29. Aristot. Rhet. I. 9: *Τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ λέγοντες καὶ ποιοῦντες καὶ μέλλοντες, ὥσπερ καὶ Σαπφὼ πεποίηκεν εἰπόντος τοῦ Ἀλκαίου* (Fr. 55.). *... Αἰ δ' κτλ.* Adde Cram. An. Par. I. 266, 25: *Εἴτε ὁ Ἀλκαῖος ὁ ποιητὴς ἦρα κόρης τινός, ἢ ἄλλος τις ἦρα, παράγει οὖν ὅμως ἡ Σαπφὼ διάλογον· καὶ λέγει ὁ ἐρῶν πρὸς τὴν ἐρωμένην· „θέλω τι εἰπεῖν πρὸς σέ, ἀλλ' ἐντρέπομαι, αἰδοῦμαι, αἰσχύνομαι." εἶτ' αὐθις ἀμοιβαδις ἡ κόρη λέγει πρὸς ἐκεῖνον. „ἀλλ' ἐὰν ἦς ἀγαθός, καὶ ὃ ἔμελλες πρός με εἰπεῖν, ἦν ἀγαθόν, οὐκ ἂν ᾐδοῦ καὶ ᾐσχύνου οὕτως· ἀλλὰ μετὰ παρρησίας ἔλεγες ἄν, βλέπων πρός με ἀνερυθριάστως."* V. 1. *ἦχες* Ac, *εἶχες* cod. Dresd., *ἴκες* Vb. — *ἔσλων* Steph. et Ursinus, vulgo *ἐσθλῶν*. — *ἵμερον* codd. ut videtur omnes, vulgo ex Scaligeri ut videtur coniectura *αἰ δ' ἱκέ σ' ἐσθλῶν ἵμερος* et similiter Nauck *αἰ δ' ἦχέ σ' ... ἵμερος*. — V. 2. *μή τι Fείπην* Blomfield, *μη τι τειπῆν* Ac, *μητ' εἰπεῖν* QYb. — *γλῶσσ' ἐκύκα, Ac γλῶσσαι κυκαῖ.*

Digitized by Google

αἴδως κέ σ' οὐ κίχανεν ὄππατ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίως.

---

30. [66.]

Χρύσειοι δ' ἐρέβινθοι ἐπ' ἀϊόνων ἐφύοντο.

31. [67.]

Fr. 118. Anthol. Pal. VI. 269: *Ὡς Σαπφοῦς· εἰς τὸ ἀντιβόλιν οὐ κεῖται τοῦ κυρου Μιχαηλὶ· πόθεν οὖν ἐγράφη οὐκ οἶδα.* Neque in hoc neque in sequentibus epigrammatis Aeolicam revocavi dialectum. V. 1. *παῖδες*, Dorville *παιδνή*. — *τόδ'* scripsi, *τάδ'* Dorv, *τότ'* Meineke Del. Ep. p. 226, *ἴοισα τετ'* Cod. P. — *ἔρηται*, Cod. P. *ἐρῆτα*. — V. 3. *Αἰθοπία με κόρᾳ*, cod. *αἰθοπίαι με πόραι*. — *ἀρίστα* cod. P, *Ἀρίστα* Meineke, *Ἀρίστᾳ* Neue. — V. 4. Scribendum videtur *ἀρίστᾳ* (ut Neue) *Ἑρμοῖ καλλίστᾳ τῷ Σαϋλαΐδα*, ut Sappho Dianam *optimam*, *pulcherrimam* vocaverit, vid. Pausan. I. 29. (fr. 141.) qui fortasse hoc ipsum dicit epigramma. Meineke coni. *ἁ Ἑρμοκλείδα τῷ Σαϋλαΐδα*. Aliter omnia constituit Hecker Comm. Crit. in Anth. p. 150. — V. 6. *ἀμετέραν* inde videtur explicandum, quod sacerdos suam imaginem Dianae dedicaverat. ib. Cod. P. *εὔκλειτον*. Affert hunc v. Suidas v. *εὐκλεΐσον*.

Fr. 119. Anthol. Pal. VII. 489: *Σαπφοῦς εἰς τιμάδα ὁμοίως πρὸ γάμου τελευτήσασαν.* V. 1. Brunck *θανοῦσαν*. — V. 3. *ἀποφθιμένας*, cod. P *ἀπὸ φθιμένας*, videtur *ἃς καὶ ἐπὶ φθιμένας* vel *ᾇ καὶ ἐπὶ φθιμένᾳ* scribendum. Hecker *κατ' ἀποφθιμένας*. — *νεοθᾶγι σιδάρῳ* Iacobs, cod. *νεοθαγεῖσι δηρωι*, Plan. *νεοθηγεῖ χαλκῷ*.

Fr. 120. Anthol. Pal. VII. 505: *Εἰς πελάγωνα Σαπφοῦς.* V. 1. *γριπεῖ*, Cod. P. *γριππεῖ*. — *ἐπέθηκε*, Plan. *ἀνέθηκε*. — *Μενίσκος* Plan., *βερίσκος* cod. P. — V. 2. *κακοζοΐας* Scaliger, cod. *κακοζωᾶς*, Plan. *κακοζωΐας*.

Digitized by Google

122. 123. [96.]

Demetr. de eloc. 162: *Τοῦ δὲ αὐτοῦ (τῆς ὑπερβολῆς) εἴδους καὶ τὰ τοιαῦτά ἐστιν· ὑγιέστερος κολοκύντης καὶ φαλακρότερος εὐδίας, καὶ τὰ Σαπφικά· Πόλυ πάκτιδος ἀδυμελεστέρα* (sic Vind. Ald., v. *ἁδυμ.*), *χρύσω χρυσοτέρα. πᾶσαι γὰρ αἱ τοιαῦται χάριτες ἐκ τῶν ὑπερβολῶν εὕρηνται, καίτοι διαφέρουσιν*, et *χρύσω χρυσοτέρα* supra iam attulit 129. Cf. Gregor. in Hermog. Rhett. Walz. VII. 1236: *Αἰσχρῶς μὲν κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα εἰσὶν ἐρωτικά, οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς, οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδων ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα, χρυσοῦ τιμιωτέρα.*

124.

Demetr. de eloc. 156: *Διὸ καὶ ἡ Σαπφὼ περὶ μὲν κάλλους ᾄδουσα καλλιεπής ἐστι καὶ ἡδεῖα, καὶ περὶ ἐρώτων δὲ καὶ ἔαρος* (sic Gale, v. *ἔρος*) *καὶ περὶ ἀλκυόνος.*

125. [97.]

Maxim. Tyr. XXIV. 9: *Διοτίμα λέγει, ὅτι θάλλει μὲν Ἔρως εὐπορῶν, ἀποθνήσκει δὲ ἀπορῶν· τοῦτο Σαπφὼ ξυλλαβοῦσα εἶπε γλυκύπικρον καὶ ἀλγεσίδωρον· τὸν Ἔρωτα Σωκράτης σοφιστὴν λέγει, Σαπφὼ μυθοπλόκον.*

126. [105.]

Iulian. Epist. XVIII: *Ἵνα σέ, τὸ μέλημα τοὐμόν, ὡς φησιν ἡ Σαπφώ, περιπτύξωμαι.* Cf. Theodorus Hyrtacenus in Epist. 15, 40. (Codd. Bibl. Reg. Paris. T. V): *Καὶ καταπαῦσαι πρὸς σέ, τὸ ἐμὸν μέλημα, Σαπφὼ φησιν ἡ σοφή.*

127.

Aristid. I. 425: *Τὸ ὑπὲρ πάσης τῆς πόλεως ἑστηκὸς γάνος, οὐ διαφθεῖρον τὰς ὄψεις, ὡς ἔφη Σαπφώ, ἀλλ' αὔξον καὶ τρέφον καὶ ἅρδον ἅμα εὐθυμίᾳ· ὑακινθίνῳ μὲν ἄνθει οὐδαμῶς ὅμοιον, ἀλλ' οἷον οὐδὲν πώποτε γῇ καὶ ἥλιος ἀνθρώποις ἔφηναν.* Non recte Nauck haec refert ad Sapph. 2, 11.

128. [119.]

Pollux VI. 107: *Ἀνακρέων ... στεφανοῦσθαί φησιν καὶ ἀνήτῳ, ὡς καὶ Σαπφὼ καὶ Ἀλκαῖος· οὗτοι δὲ ἄρα καὶ σελίνοις.* Cf. Schol. Theocr. VII. 63: *ἀνηθίνοις δὲ ἐχρῶντο στεφάνοις, ὡς Ἀλκαῖος καὶ Σαπφώ.*

129. [120.]

Philostr. Imagg. II. 1: *Τοσοῦτον ἁμιλλῶνται (αἱ παρθένοι), ῥοδοκήκεις καὶ ἑλικώπιδες καὶ καλλιπάρῃοι καὶ μελίφωνοι, Σαπφοῦς τοῦτο δὴ τὸ ἡδὺ πρόσφθεγμα.* Paulo aliter Aristaenetus I. 10:

Digitized by Google

Πρὸ τῆς παστάδος τὸν ὑμέναιον ἦδον αἱ μουσικώτεραι τῶν παρθένων καὶ μελιχόφωνοι, τοῦτο δὴ Σαπφοῦς τὸ ἥδιστον φθέγμα. Sappho dixerat *μελλιχόφωνοι.*

130.

Liban. Or. T. I. 402. ed. Reiske: *εἰ οὖν Σαπφὼ τὴν Λεσβίαν οὐδὲν ἐκώλυσεν εὔξασθαι νύκτα αὐτῇ γενέσθαι διπλασίαν, ἐξέστω κἀμοί τι παραπλήσιον αἰτῆσαι. Χρόνε, πάτερ ἐνιαυτοῦ καὶ μηνῶν, ἔκτεινον ἡμῖν τουτὶ τὸ ἔτος ἐφ' ὅσον οἷόν τε πλεῖστον, ὥσπερ ὅτε Ἡρακλῆς ἐσπείρετο, τὴν νύκτα ἐξέτεινας.*

131. [123.]

Strabo XIII. p. 615: *Εἶτ' ἐν ἑκατὸν σταδίοις (ἀπ' Ἐλαίας πόλεως Αἰολικῆς) ἡ Κάνη, τὸ ἀνταῖρον ἀκρωτήριον τῇ Λέκτῳ καὶ ποιοῦν τὸν Ἀδραμυττηνὸν κόλπον, οὗ μέρος καὶ ὁ Ἐλαϊτικός ἐστι. Κάναι δὲ πολίχνιον Λοκρῶν τῶν ἐκ Κύνου, κατὰ τὰ ἄκρα τῆς Λέσβου τὰ νοτιώτατα, κείμενον ἐν τῇ Καναίᾳ· αὕτη δὲ μέχρι τῶν Ἀργινουσσῶν διήκει καὶ τῆς ὑπερκειμένης ἄκρας, ἣν Αἶγά τινες (Αἰγᾶ* D, *αἶγαν* hoz) *ὀνομάζουσιν ὁμωνύμως τῷ ζώῳ· δεῖ δὲ μακρῶς τὴν δευτέραν συλλαβὴν ἐκφέρειν Αἰγᾶν,* (*αἰγὰν* Ez) *ὡς Ἀκτᾶν καὶ Ἀρχᾶν* (EF *ἀκτὰν καὶ ἀρχάν*)· *οὕτω γὰρ καὶ τὸ ὄρος ὅλον ὠνομάζετο, ὃ νῦν Κάνην καὶ Κάνας λέγουσιν — ὕστερον δὲ αὐτὸ τὸ ἀκρωτήριον Αἰγᾶ* (*αἶγα* DE) *κέκληται* (codd. *κεκλῆσθαι*), *ὡς Σαπφώ φησι, τὸ δὲ λοιπὸν Κάνη καὶ Κάναι.*

132. [124.]

Schol. Apoll. Rhod. III. 26: *Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ, Σαπφὼ δὲ Γῆς καὶ Οὐρανοῦ.* Cf. Eudoc. 158. at Arg. Theocr. XIII: *Σαπφὼ (Ἔρωτα) Ἀφροδίτης καὶ Οὐρανοῦ,* ubi Wüstemann *Γῆς* coniecit, sed cf. Pausan. IX. 27, 3: *Σαπφὼ δ' ἡ Λεσβία πολλά τε καὶ οὐχ ὁμολογοῦντα ἀλλήλοις ἐς Ἔρωτα ἦσεν.*

133.

Himer. Or. XIII. 9: *Ἀστὴρ οἶμαι σύ τις ἑσπέριος, ἀστέρων πάντων ὁ κάλλιστος· Σαπφοῦς τοῦτο δὴ τὸ εἰς Ἔσπερον ᾆσμα.* Cf. III. 17: *ἐφάνης τοίνυν οὗτος ἐκεῖνος ἀστέρων πάντων ὁ κάλλιστος· σὲ γὰρ Ἀθηναῖοι καλοῦσιν Ἔσπερον.* Videtur fuisse:

Ἀστέρων πάντων ὁ κάλιστος . .

Et ad Sapphus imitationem compositum videtur quod est ibid. I. 20: *Εἰ δὲ καὶ ᾠδῆς ἐδέησεν, ἔδωκα ἂν καὶ μέλος τοιόνδε· Νύμφα ῥοδέων ἐρώτων βρύουσα, Νύμφα Παφίης ἄγαλμα κάλλιστον, ἴθι πρὸς ἑνύῃ, ἴθι πρὸς λέχος, μείλιχα παίζουσα, γλυκεῖα νυμφίῳ· Ἑσπερὸς σ' ἐκοῦσαν ἄγοι, ἀργυρόθρονον ζυγίαν Ἥραν θαυμάζουσαν.*

134. [125.]

Schol. Apoll. Rhod. IV. 57: *Περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστορεῖ Σαπφὼ καὶ Νίκανδρος ἐν δευτέρῳ Εὐρώπης· λέγεται δὲ κατέρ-*

Digitized by Google

γεσθαι εἰς τοῦτο τὸ ἄντρον (*Λάτμιον*) τὴν *Σελήνην* πρὸς *Ἐνδυμίωνα* καθεύδοντα ἐν τῷ *Λάτμῳ* τῷ ὄρει. Cf. Eudoc. 148.

135. [126.]

Schol. Hesiod. Op. et D. 74: *Σαπφὼ δέ φησι τὴν Πειθὼ Ἀφροδίτης θυγατέρα.*

136. [28.]

Maxim. Tyr. XXIV. 9: *Ἀνθάπτεται Σωκράτης τῇ Ξανθίππῃ ὀδυρομένῃ, ὅτι ἀπέθνησκεν, ἡ δὲ Σαπφὼ τῇ θυγατρί· οὐ γὰρ θέμις ἐν μουσοπόλων οἰκίᾳ θρῆνον εἶναι. οὐκ ἄμμι πρέπει τάδε.* (Dübner *πρέποι.*) Neue coniecit:

Ἀλλ' οὐ γὰρ θέμις ἐν μοισοπόλῳ οἰκίᾳ
θρῆνον ἔμμεναι· οὐκ ἄμμι πρέπει τάδε.

Ahrens: *Οὐ γὰρ οἰκίᾳ ἐν μοισοπόλων θέμις κτλ.*

137. [10.]

Arist. Rhet. II. 23: *ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν.* Similia Gregor. in Hermog. VII. 1153. ed. Walz: *οἷόν φησιν ἡ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν, εἴπερ ἦν καλὸν τὸ ἀποθνήσκειν.* Haec in tetrametros ionicos redegit Hermann: *Ἀποθνάσκειν κακόν, οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· Ἀπέθνασκον γὰρ ἄν, αἴπερ ἦν καλὸν (δή μ') ἀποθνάσκειν.* Contra Ahrens haec Sapphus esse putat: . . . *Ἀπυθναίσκην κάκον· οἱ θέοι γὰρ | Τοῦτο κεκρίκαισ' · ἀπὺ γάρ κ' ἔθναισκον.*

138.

Athen. XIII. 596. B: *ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκε καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς, κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος, διὰ τῆς ποιήσεως διαβάλλει, ὡς πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς.* vid. Herod. II. 135: *Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο, Ξάνθεω τοῦ Σαμίου κομίσαντός μιν· ἀπικομένη δὲ κατ' ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου, τοῦ Σκαμανδρωνύμου παιδός, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσοποιοῦ. — Χάραξος δέ, ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν.* Strabo XVII. 808: *Λέγεται δὲ τῆς ἑταίρας τάφος γεγονὼς ὑπὸ τῶν ἐραστῶν, ἣν Σαπφὼ μὲν ἡ τῶν μελῶν ποιήτρια καλεῖ Δωρίχαν, ἐρωμένην τοῦ ἀδελφοῦ αὐτῆς Χαράξου γεγονυῖαν, οἶνον κατάγοντος εἰς Ναύκρατιν Λέσβιον κατ' ἐμπορίαν, ἄλλοι δ' ὀνομάζουσι Ῥοδῶπιν.* Adde Ovid. Heroid. XV. 63. et 117. Cf. etiam Phot. et Suid. v. *Ῥοδώπιδος ἀνάθημα.* Appendix Prov. IV. 51: *Πάνθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή· ἡ Ῥοδῶπις*

Digitized by Google

ἑταίρα ἦν περὶ Ναύκρατιν τῆς Αἰγύπτου, ἧς καὶ Σαπφὼ μνημονεύει καὶ Ἡρόδοτος. ib. interpr.

139.

Athen. X. 424. F: Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτανείῳ τοῖς Μυτιληναίοις. Cf. Eudoc. 96. Eust. Il. 1205, 19. Schol. Il. ν'. 234: Ἔθος γὰρ ἦν, ὡς καὶ Σαπφώ φησι, νέους εὐγενεῖς εὐπρεπεῖς οἰνοχοεῖν.

140.

Palaephat. de Incredib. c. 49: Τῷ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλασσαν· πορθμὸς ἦν θάλασσα· ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο, ἐπεὶ καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο· θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις· ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεὸς (Ἀφροδίτην λέγουσι τὴν θεὸν) καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας τῷ Φάωνι διαλέγεται περὶ πλοῦ, ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι. τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα. οὗτος ὁ Φάων ἐστίν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ἄσμα (ᾆσμα c, αἶμα reliqui) ἐποίησεν. Hinc repetunt eadem Eudoc. 414. Apostol. XX. 15. Arsen. 461. Adde Ovid. Heroid. XV. Cf. inprimis Welcker Opusc. II. 110 seqq.

141. [127.]

Pausan. I. 29, 2: Κατιοῦσι δ' ἐς αὐτὴν (Ἀκαδημίαν) περίβολός ἐστιν Ἀρτέμιδος καὶ ξόανα Ἀρίστης καὶ Καλλίστης, ὡς μὲν ἐγὼ δοκῶ καὶ ὁμολογεῖ τὰ ἔπη τὰ Σαπφοῦς, τῆς Ἀρτέμιδός εἰσιν ἐπικλήσεις αὗται. λεγόμενον δὲ καὶ ἄλλον ἐς αὐτὰς λόγον εἰδὼς ὑπερβήσομαι.

142. [131.]

Pausan. VIII. 18, 5: Καίτοι καθαρεύειν γε τὸν χρυσὸν ὑπὸ τοῦ ἰοῦ ἥ τε ποιήτρια μάρτυς ἐστὶν ἡ Λεσβία, καὶ αὐτὸς ὁ χρυσὸς ἐπιδείκνυσιν. Schol. Pind. Pyth. IV. 407: ὁ δὲ χρυσὸς ἄφθαρτος· καὶ ἡ Σαπφώ, ὅτι Διὸς παῖς ὁ χρυσός, κεῖνον οὐ σῆς οὐδὲ κὶς δάπτει, βροτέαν φρένα κράτιστον φρενῶν. At Pindari hoc est fragmentum 207.

143.

Gellius XX. 7: „Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos." Haud dubie in eo carmine, ex quo est Fr. 31.

144. [129.]

Serv. Virgil. Aen. VI. 21: „Quidam septem pueros et septem puellas accipi volunt, quod et Plato dicit in Phaedone et Sappho in

Digitized by Google

Lyricis et Bacchylides in dithyrambis et Euripides in Hercule, quos liberavit secum Theseus."

145. [130.]

Serv. Virgil. Ecl. VI. 42: „Prometheus Iapeti et Clymenes filius post factos a se homines dicitur auxilio Minervae coelum ascendisse, et adhibita facula ad rotam solis ignem furatus, quem hominibus indicavit. Ob quam causam irati dii duo mala immiserunt terris, febres et morbos, sicut et Sappho et Hesiodus memorant."

146. [132.]

Philostr. Epist. 71: *Ἡ Σαπφὼ τοῦ ῥόδου ἐρᾷ, καὶ στεφανοῖ αὐτὸ ἀεί τινι ἐγκωμίῳ, τὰς καλὰς τῶν παρθένων ἐκείνῳ ὁμοιοῦσα.* Cf. ad Fr. 65.

147. [134.]

Himer. Or. XIII. 7: *Τὰ δὲ σὰ νῦν ὀέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ τε χρυσῇ καὶ λύραις κοσμήσαντες, κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσιν, Μούσαις Χάρισί τε ὁμοῦ συγχορεύσαντα, ἢ οἷον τὸν Βακχειώτην, (οὕτω γὰρ αὐτὸν ἡ λύρα καλεῖ, τὸν Διόνυσον λέγουσα), ἥρως ἄρτι τὸ πρῶτον ἐκλάμψαντος, ἄνθεσί τ' ἠρινοῖσι καὶ κισσοῦ κορύμβοις Μούσαις κάτοχοι ποιηταὶ στέψαντες, νῦν μὲν ἐπ' ἄκρας κορυφὰς Καυκάσου, καὶ Λυδίας τέμπη, νῦν δὲ ἐπὶ Παρνασσοῦ σκοπέλους καὶ Δελφίδα πέτραν ἄγουσι, πηδῶντά τε αὐτὸν καὶ ταῖς Βάκχαις ἐνδιδόντα τὸν εὔϊον κτλ.*

148.

Eustath. Opusc. 345, 54: *Φιλία τις δηλαδὴ πολυρέμβαστος καὶ καλὸν δοκοῦσα, εἴποι ἂν ἡ Σαπφώ, δημόσιον (δαμόσιον)*, quod videtur dixisse in Rhodopin vid. Fr. 138.

149. [103.]

Bekk. An. I. 370, 14: *Ἄκακος, ὁ κακοῦ μὴ πεπειραμένος, οὐχ ὁ χρηστοήθης. οὕτω Σαπφώ.*

150. [112.]

Etym. M. 77, 1: *Ἀμαμαξύς, ἡ ἀναδενδράς — Σαπφὼ διὰ τοῦ δ ἀμαμάξυδες λέγει.* Choerob. I. 357. (Bekk. An. III. 1317.) *τὸ γὰρ παρὰ Σαπφοῖ ἀμαμαξύδος παράλογόν ἐστιν.* Suid. v. *Ἀμάμυξις* et *Ἀναδενδράδα.*

151. [118.]

Etym. M. 77, 13: *Ἄμαρα· — παρὰ τὸ τῇ ἄμῃ αἴρεσθαι, ἄμη δέ ἐστιν ἐργαλεῖον οἰκοδομικόν.* quo verbo Sappho videtur usa esse, vid. Orion. 3, 12: *ἀμάρα* (v. *Ὅμηρος*) *παρὰ τὸ τῇ ἄμῃ (ἄνευ) αἴρεσθαι καὶ ορύττεσθαι· οὕτως ἐν ὑπομνήματι Σαπφοῦς.*

Digitized by Google

152. [114].

Apollon. de adv. Bekk. An. II. 596, 14: *Ὃν τρόπον καὶ ἐπ' ὀνομάτων μεταπλασμοὶ γίνονται, καθάπερ τὸ ἐρυσάρματες, τὸ λῖτα, παρὰ Σαπφοῖ τὸ αὔα.* Cf. Etym. M. 174, 38: *εἴρηται παρὰ τὴν αὔαν Αἰολικῶς τὴν ἡμέραν· τὴν γὰρ ἠὼ οἱ Αἰολεῖς αὔον φασί* (ubi quid Gaisford habeat, non notavi.) et Gudian. 95, 21. Lobeck Paral. 179. *αὐόαν* coni.

153. [109.]

Etym. M. 174, 42: *Αὔως ἡ ἠώς, τουτέστιν ἡ ἡμέρα· οὕτω λέγεται παρὰ τοῖς Αἰολεῦσι· Σαπφώ· πότνια αὔως.*

154.

Athen. IV. 182. F: *Τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τα τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι.* Rectius infra XIV. 636. C *βάρμος* dici videtur.

155. [101.]

Pollux VII. 49: *βεῦδος, ὡς Σαπφώ, κιμβερικόν, ἔστι δὲ τὸ κιμβερικὸν διαφανής τις χιτωνίσκος.* fort. hoc quoque Sappho dixit.

156. [102.]

Phrynich. Bekk. An. I. 33, 2: *Σαπφὼ δὲ γρύτην καλεῖ τὴν μύρων καὶ γυναικείων τινῶν θήκην.*

157. [107.]

Hesych. *Ἕκτορες· πάσσαλοι ἐν ῥυμῷ, Σαπφὼ δὲ τὸν Δία, Λεωνίδης τὸν προκύφαντον.*

158.

Cram. An. Ox. IV. 325, 27: *Καὶ ἀνάπαλιν παρὰ τοῖς Αἰολεῦσιν ἀντὶ τοῦ δ,ζ παραλαμβάνεται, ὡς ὅταν τὸ διάβατον ἡ Σαπφὼ ζάβατον λέγει.*

159. [117.]

Schol. Hom. Il. ξ. 241: *Τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Σαπφοῖ καὶ τῷ πεπαγοίην παρὰ Εὐπόλιδι, εἰκότως ἐβαρυτονήθη τὸ ἐπισχοίης.*

160. [99.]

Eust. Il. 603, 30: *Λέγει (ὁ γραμματικὸς Ἀριστοφάνης) καὶ ὅτι τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ ἡ Σαπφώ, διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν.*

Digitized by Google

161. [115.]

Choerob. I. 282. (Bekk. An. T. III. 1389): *Κίνδυν, κίνδυνος, οὕτω δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον.* Cod. Marc. *κίνδυνα, ὡς καὶ Σαπφὼ ἔφη τὸν κίνδυνα.*

162. [121.]

Ioann. Alex. p. 4: *Ἡ ὀξεῖα ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο, πρὸ τριῶν δ' οὐκέτι· τὸ γὰρ Μήδεϊα παρὰ Σαπφοῖ πεπονθὸς παραιτούμεθα, ὅτι τὴν ει δίφθογγον διεῖλεν.*

163. [18.]

Antiatt. Bekk. An. I. 108, 22: *Μύῤῥαν τὴν σμύρναν, Σαπφὼ δευτέρῳ.*

164.

Cram. An. Ox. I. 278, 17: *Καὶ ἡ γενικὴ τῶν πληθυντικῶν Μωσάων παρὰ Λάκωσι, παρὰ δὲ Σαπφοῖ Μοισάων.*

165. [104.]

Phrynich. 305: *Νίτρον· τοῦτο Αἰολεὺς μὲν ἂν εἴποι, ὥςπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν̄, Ἀθηναῖος δὲ διὰ τοῦ λ, λίτρον.*

166. [111.]

Sch. Hom. Il. γ'. 219: *Ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη.* Cf. Et. M. 42, 40. Eusth. 407, 38.

167. [108.]

Phot. 81, 12: *Θάψος· ξύλον, ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς τρίχας, ὃ Σαπφὼ Σκυθικὸν ξύλον λέγει.* Cf. Sch. Theocr. II. 88.

168. [113.]

Etym. M. 759, 35: *Οἱ μέντοι Αἰολεῖς φασι· Τίοισιν ὀφθάλμοισιν, ὡς παρὰ Σαπφοῖ.* Cf. Choerob. Epim. I. 184. et 185. in Psalm. 65. et Apollon. de Synt. p. 106.

169.

Orion 28, 15: *Ὡς παρὰ Σαπφοῖ χελώνη χελύνη.*

170. [100.]

Pollux VI. 98: *Μεσόμφαλοι δὲ φιάλαι καὶ βαλανειόμφαλοι τὸ σχῆμα προσηγορίαν ἔχουσιν, χρυσόμφαλοι δὲ τὴν ὕλην, ὡς αἱ Σαπφοῦς χρυσαστράγαλοι.*

Digitized by Google

Fragmentis eximendum quod habet Suid. v. *Ἀηδὼν καὶ ἀηδοῦς, ὡς Σαπφώ, κατὰ Μιτυληναίους.* nam hoc dicere voluit, praeter *ἀηδών, ἀηδόνος* dictum etiam esse *ἀηδώ, ἀηδοῦς*, ut *Σαπφω, Σαπφοῦς*, et schol. Soph. Ai. v. 628. nihil nisi *ἡ ἀηδὼ δὲ κατὰ Μιτυληναίους.* — Sapphus carmen, quod latina lingua conversum exhibet Comes Natalis Mythol. p. 535. fictum est. — De Scolio in Admetum, quod nonnulli Grammatici Sapphoni tribuerunt, vid. Praxillae Fr. 3. Denique addo hic, quod Photius Bibl. 161., ubi fontes *Sopatri διαφόρων ἐκλογῶν* recenset, de libro II. dicit: *καὶ μὴν καὶ ἐξ ἄλλων διαφόρων, ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου τῆς Σαπφοῦς.* ut nihil praetermittatur.

V.

ERINNA.

ΗΛΑΚΑΤΗ.

1.

Πομπίλε, ναύταισιν πέμπων πλόον εὔπλοον ἰχθύ,
πομπεύσαις πρύμναθεν ἐμὰν ἀδεῖαν ἑταίραν.

2.

Παυρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς.

3.

Τοῦτό κεν εἰς Ἀΐδαν κενεὰ διανήχεται ἀχώ,
σιγᾷ δ' ἐν νεκύεσσι· τὸ δὲ σκότος ὅσσε κατέρρει.

Erinna. Fr. 1. Athen. VII. 283. D: *Μνημονεύει τῶν πομπίλων καὶ Τιμαχίδας — Ἠρίννά τε* (sic A, *κρίνα* B, *κορίννα* PVL, hoc vel *κρίννα* DQ), *ἣ ὁ πεποιηκὼς τὸ εἰς αὐτὴν ἀναφερόμενον ποιημάτιον· Πομπίλε κτλ.* V. 1. *ναύταισι*, v. *ναύτησι*. — *ἰχθύ* Dindorf, v. *ἰχθῦς*, AB *ἰχθῦν*. — V. 2. *πομπεύσαις* Stephanus, v. *πομπεύσας*.

Fr. 2. Stob. Flor. CXV. 13: *Ἱππυθόου*, quod ortum ex n. 14. *Ἱππυθόωντος*. Voss. *Εἰρήνης*, unde Meineke (Poet. Com. IV. p. 712.) *Ἠρίνης*. — *πολιαί, ταὶ γήραος* Voss., v. *πολιοὶ τὰς γήρας*, Meineke *πολιαὶ τῶ γήραος*.

Fr. 3. Stob. Flor. CXVIII. 4. *Εἰρήνης*. codd., Meineke *Ἠρίννης*. — V. 1. Meineke coniecit *τούτω κῆς . . . διανίσσεται*. — V. 2. *σιγᾷ* Ursin., v. *σιγά*. — *κατέρρει*, fort. *καταγρεῖ*. Fortasse autem continuo subiungendum quod sequitur Simonidis fragmentum (ita A, in Triclav. deest lemma), quod sic scribendum:

πάντα γὰρ εἰς μίαν ἱκνεῖται δασπλῆτα χάρυβδιν
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.

Digitized by Google

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Λέξ' ἀταλᾶν χειρῶν τάδε γράμματα, λῷστε Προμαθεῦ·
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
αἴκ' αὐδὰν ποτέθηκ', ἧς κ' Ἀγαθαρχὶς ὅλα.

5.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδίαν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
αἴτ' ἀστοὶ τελέθωντ', αἴθ' ἑτεροπτόλιες·
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤριν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

6.

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
„Βάσκανος ἔσσ', Ἀΐδα·" τὰ δέ τοι καλὰ σάμαθ' ὁρῶντι
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,

Fr. 4. Epigrammata. Anth. Pal. VI. 352. Ἠρίννης. V. 1. δέξ' ἀταλᾶν Iacobs, cod. P. δεξαταλαν, Plan. ἐξ ἀπαλῶν. — ib. Plan. Προμηθεῦ. — V. 2. Plan. ἔντι. — Iacobs transpos. τὶν σοφίαν ὁμαλοί. — V. 3. fort. χῶν. — V. 4. αὐδὰν Ursin., v. αὐγὰν. fort. καὐδὰν. — ἧς κ' cod. P., ἧς Plan.

Fr. 5. Anth. Pal. VII. 710. Ἠρίννης Μιτυληναίας εἰς βρυκίδα (Βαυκίδα) τὴν Μιτυληναίαν, Ἠρίννης δὲ συνεταιρίδα. V. 1. στᾶλαι, Schneidewin coni. στάλα, sed binis columnis binae Sirene simpositae, vid. Mnasalc. Anth. VII. 491. — V. 2. Ἀΐδα, Reisk. Ἀΐδᾳ. — cod. P. τᾶν ὀλ. σποδιᾶν. — V. 3. ἐμὸν Salmasius, cod. P. ἐμοῖς. — V. 4. Brunck τελέθωντ'. — ἑτεροπτόλιες Brunck, cod. ἑτερωι πόλιος, Iacobs ἑτέρας πόλιος, Hecker ἕτεροι πόλιος. — V. 5. Iacobs νυμφαν ἐοῖσαν, Brunck τάφος· εἴπατε καὶ τό, ὅττι. — V. 6. Βαυκίδα, cod. βρυκίδα. — V. 7. Τηνία, ὡς εἰδῶντι Pauw et Heringa, cod. τηνι δως ειδωντι, Welcker (Opusc. II. 146.) Τηλία mavult. — ib. in marg. γρ. ἁ συνεταιρίς.

Fr. 6. Anth. Pal. VII. 712: Εἰς Βαυκίδα τινὰ νύμφην ἐν τῷ θαλάμῳ τελευτήσασαν. Ἠρίννης. Leonidas vel Meleager in epigr. in Erinnam Anth. Pal. VII. 13: Ἦ ῥα τόδ' ἔμφρων Εἶπ' ἐτύμως ἁ παῖς· Βάσκανος ἔσσ', Ἀΐδα ex hoc carmine affert, verum non videtur epigramma ab Erinna profectum, sed serius ab alio ad similitudinem ep. 5. compositum. V. 1. ἐμμί, P εἰμί. — V. 2. Ἀΐδᾳ, P ἀΐδα. — V. 3. τὰ δέ τοι καλὰ σάμαθ' Iacobs, cod. τὰ δέ τοικαλὰ τὰ μεθ'. — V. 4. ὠμοτάταν Salmasius, cod. ὅμματα τά. — τύχαν Brunck, cod. τύχαι.

Digitized by Google

5 ὃς τὰν παῖδ', Ὑμέναιος ἐφ' αἷς *ἤδετο πεύκαις,
τὰν δ' ἐπὶ καδεντὰς ἔφλεγε πυρκαϊᾶς·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδάν
ἐς θρηνῶν γοερῶν φθέγμα μεθιρμόσαο.

VI.

ALCAEUS.

YMNOI.

1. [20.] *)

EIΣ ΑΠΟΛΛΩΝΑ.

Ὦ ναξ Ἄπολλον, παῖ μεγάλω Διός.

V. 5. cod. Pal. novam inscriptionem addit *Εἰς τὴν αὐτὴν βαυκ* ut nescias, an haec sit pars novi carminis. — ὃς cod. P, ὡς Brunck. — αἷς *ἤδετο, cod. P αἰσήδετο, Brunck coni. ὑφ' ἅς δόμον ἄγετο πεύκας τᾷδ' . . πυρκαϊᾷ, Iacobs ἐφ' αἷς καλὸς ἤδετο πεύκαις, ταῖσδ' . . . πυρκαϊᾷ, Schneidewin ἐφ' αἷς ἀείδετο. — V. 6. καδευτὰς, cod. P a m. sec. κηδευτὴς. — πυρκαϊᾶς, cod. P πυρκαΐας. Non possunt haec certo restitui et similiter v. 7. καὶ σὺ μέν aut corruptum est, aut excidit distichon. — V. 7. μολπαῖον scripsi, legebatur μολπαΐαν vel μολπαίαν. — V. 8. γοερῶν cod. P, γοερὸν Brunck. Ceterum cf. de hoc epigr. Welcker Syll. Epigr. Praef. XXX. seqq. — Fuerunt, qui Erinnae tribuerent epigramma, quod in Anthol. Pal. VII. 190. inscribitur: *Ἀνύτης, οἱ δὲ Λεωνίδου, εἰς ἀκρίδα καὶ τέττιγα ἐπιτάφιον*, propterea quod Plinius dicit XXXIV. 19, 57: „Fecisse (Myronem artificem) et cicadae monumentum et locustae carminibus suis Erinna significat.“ At Myronem statuarium Erinna non potuit commemorare, nisi statuas aliam recentiore aevo poetriam cognominem vixisse: at in illo epigrammate non Myro statuarius, sed virgo *Μυρώ* memoratur: *Ἀκρίδι τᾷ κατ' ἄρουραν ἀηδόνι καὶ δρυοκολάπτᾳ Τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ, Παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς Παίγνι' ὁ δυσπειθὴς ᾤχετ' ἔχων Ἀΐδας.* ut potuerit hoc Erinna scribere; sed Plinii in tam gravi errore non est tanta auctoritas, ut Anytae abiudicemus.

Alcaeus. Fr. 1. Hephaest. 79: *τὸ καλούμενον Ἀλκαϊκὸν ἐνδεκασύλλαβον — οἷον· ὦ᾽ναξ Ἄπολλον κτλ.* Fl. HB *ἄναξ* et *μεγάλοιο. Alcaei* hoc esse et quidem ex *primo* carmine ostendit Schol. Heph. 121., ubi Hephaest. dicit: *Λέγομεν τοίνυν ὅτι μικτὰ μέν ἐστι συστηματικά, ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ Ἀλκαίου, καὶ τὴν δευτέραν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας.* ubi Schol.: *Καὶ ἔστι τῆς μὲν πρώτης ᾠδῆς ἀρχή· Ὦναξ Ἄ. π. μ. Δ. ἐπιωνική, τῆς δὲ δευτέρας· χαῖρε Κυλλανας κτλ. ἐπιχοριαμβική.* Cf. etiam Attil. Fortunat. p. 355. ubi versus satis corruptus legitur.

---

*) Numeri uncis inclusi sunt editionis Matthiaeae.

Digitized by Google

2. 3. 4. [17. 18. 19.]

Himerius Or. XIV. 10: *Ἐθέλω δὲ ὑμῖν καὶ Ἀλκαίου τινὰ λόγον εἰπεῖν, ὃν ἐκεῖνος ᾖσεν ἐν μέλεσι παιᾶνα γράφων Ἀπόλλωνι. Ἐρῶ δὲ ὑμῖν οὐ κατὰ τα μέλη τὰ Λέσβια, ἐπεὶ μηδὲ ποιητικός τις ἐγώ, ἀλλὰ τὸ μέτρον αὐτὸ λύσας εἰς λόγον τῆς λύρας. Ὅτε Ἀπόλλων ἐγένετο, κοσμήσας αὐτὸν ὁ Ζεὺς μίτρα τε χρυσῇ καὶ λύρᾳ, δούς τε ἐπὶ τούτοις ἅρμα ἐλαύνειν, κύκνοι δὲ ἦσαν τὸ ἅρμα. εἰς Δελφοὺς πέμπει καὶ Κασταλίας νάματα, ἐκεῖθεν προφητεύσοντα δίκην καὶ Θέμιν τοῖς Ἕλλησιν· ὁ δὲ ἐπιβὰς ἐπὶ τῶν ἁρμάτων ἐφῆκε τοὺς κύκνους εἰς Ὑπερβορέους πέτεσθαι. Δελφοὶ μὲν οὖν, ὡς ᾔσθοντο, παιᾶνα συνθέντες καὶ μέλος, καὶ χοροὺς ἠϊθέων περὶ τὸν τρίποδα στήσαντες ἐκάλουν τὸν θεὸν ἐξ Ὑπερβορέων ἐλθεῖν· ὁ δὲ ἔτος ὅλον παρὰ τοῖς ἐκεῖ θεμιστεύσας, ἐπειδὴ καιρὸν ἐνόμιζε, καὶ τοὺς Δελφικοὺς ἠχῆσαι τρίποδας, αὖθις κελεύει τοῖς κύκνοις ἐξ Ὑπερβορέων ἀφίπτασθαι. Ἦν μὲν οὖν θέρος καὶ τοῦ θέρους τὸ μέσον αὐτό, ὅτε ἐξ Ὑπερβορέων Ἀλκαῖος ἄγει τὸν Ἀπόλλωνα, ὅθεν δὴ θέρους ἐκλάμποντος καὶ ἐπιδημοῦντος Ἀπόλλωνος θερινόν τι καὶ ἡ λύρα περὶ τὸν θεὸν ἁβρύνεται· ᾄδουσι μὲν ἀηδόνες αὐτῷ, ὁποῖον εἰκὸς ᾄσαι παρ' Ἀλκαίῳ τὰς ὄρνιθας· ᾄδουσι δὲ καὶ χελιδόνες καὶ τέττιγες, οὐ τὴν ἑαυτῶν τύχην τὴν ἐν ἀνθρώποις ἀγγέλλουσαι, ἀλλὰ πάντα τὰ μέλη κατὰ θεοῦ φθεγγόμεναι· ῥεῖ καὶ ἀργυροῖς ἡ Κασταλία κατὰ ποίησιν νάμασι καὶ Κηφισσὸς μέγας αἴρεται πορφύρων τοῖς κύμασι, τὸν Ἐνιπέα τοῦ Ὁμήρου μιμούμενος. βιάζεται μὲν γὰρ Ἀλκαῖος ὁμοίως Ὁμήρῳ καὶ ὕδωρ θεῶν ἐπιδημίαν αἰσθέσθαι δυνάμενον. —* (3) Idem hoc carmen respicere videtur Plutarch. de mus. c. 14: *οὐ μόνη δὲ κιθάρα Ἀπόλλωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς ὁ θεός. Δῆλον δὲ ἐκ τῶν χορῶν καὶ τῶν θυσιῶν, ἃς προσῆγον μετ' αὐλῶν τῷ θεῷ, καθάπερ ἄλλοι τε καὶ Ἀλκαῖος ἔν τινι τῶν Ὕμνων ἱστορεῖ. —* (4) Porro Pausan. X. 8, 9: *ἤκουσα δὲ καὶ ἄλλο τοιόνδε· το ὕδωρ τῇ Κασταλίᾳ ποταμοῦ δῶρον εἶναι τοῦ Κηφισσοῦ· τοῦτο ἐποίησε καὶ Ἀλκαῖος ἐν προοιμίῳ τῷ εἰς Ἀπόλλωνα.*

---

5. [22.]

ΕΙΣ ΕΡΜΗΝ.

Χαῖρε Κυλλάνας ὁ μέδεις, σὲ γάρ μοι.

Fr. 5. Hephaest. 79: *ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ, καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται, οἷον· χαῖρε κτλ.* Est autem hoc *secundum* carmen, vid. Schol. Hephaest. 121. *μέδεις* libri, *μεδέεις* Fl., *μέδων* Turnebus. cf. Apoll. Synt. 92: *Καὶ παρὰ Ἀλκαίῳ οἱ περὶ Ἀπίωνα τὸν μόχθον τὸ Κυλλάνας ὁ μεδεὶς ἐν ῥήματος συντάξει ἤκουον, οὐ παραδεχόμενοι μετοχὴν τοιαύτην ἐκ βαρυτόνου ῥήματος, εἴγε τῆς τοιαύτης λήξεως οὐκ ἔχονται [αἱ] κατὰ τὸ κοινὸν ἐκ βαρυτόνων ουσαι ῥημάτων. ἀλλὰ καὶ πρὸς τὸ τοιοῦτον ἐδείκνυτο, ὡς καὶ περισπώμενον εἴη ῥῆμα τὸ μεδῶ, ἔνθεν καὶ τὸ Λωδώνης μεδέων, ἀφ' οὗ τὸ μέδημι, ὡς οἶκημι, καὶ ἔτι ἡ μεδέουσα συνοῦσα μετοχὴ κατὰ τὸ ἀκόλουθον. κἀκ τῆς γραφῆς συνηλέγχοντο, οὐκ οὔσης ποτὲ διὰ τοῦ ε (ει) κατὰ πᾶν δεύτερον πρόσωπον παρ' Αἰολεῦσιν.*

Digitized by Google

6. [21.]

Pausan. VII. 20, 4: *βουσὶ γὰρ χαίρειν μάλιστα Ἀπόλλωνα Ἀλκαῖός τε ἐδήλωσεν ἐν Ὕμνῳ τῷ εἰς Ἑρμῆν, γράψας, ὡς ὁ Ἑρμῆς βοῦς ὑφέλοιτο τοῦ Ἀπόλλωνος.* Huc respicit Porphyrio, qui ad Horat. Od. I. 10, 9: „fabula haec autem ab Alcaeo facta," et supra ad v. 1: „Hymnus in Mercurium ab Alcaeo lyrico poeta."

7. [23.]

Athen. X. 425. C: *Ἀλκαῖος δὲ καὶ τὸν Ἑρμῆν εἰςάγει αὐτῶν (τῶν θεῶν) οἰνοχόον.* nisi est ex alio carmine.

8.

Menander de Encom. IX. 149. ed. Walz: *ἀλλ' ἐπεὶ εὕρηται καὶ τοῦτο τὸ εἶδος τῶν ὕμνων παρὰ τοῖς ἀρχαίοις καὶ ἤδη τινὲς καὶ Διονύσου γονὰς ὕμνησαν καὶ Ἀπόλλωνος γονὰς ἕτεροι, καὶ Ἀλκαῖος Ἡφαίστου καὶ πάλιν Ἑρμοῦ.*

---

9. [54.]

ΕΙΣ ΑΘΗΝΑΝ.

Ὤνασσ' Ἀθανάα πολεμαδόκος,
ἄ ποι Κορωνήας επιδεω
ναύω πάροιθεν ἀμφι . .
Κωραλίω ποτάμω παρ' ὄχθαις.

Fr. 9. Strabo IX. 411: *ἡ μὲν οὖν Κορώνεια ἐγγὺς τοῦ Ἑλικῶνός ἐστιν ἐφ' ὕψους ἱδρυμένη, κατελάβοντο δ' αὐτὴν ἐπανιόντες ἐκ τῆς Θετταλικῆς Ἄρνης οἱ Βοιωτοὶ μετὰ τὰ Τρωϊκά, ὅτε περ καὶ τὸν Ὀρχομενὸν ἔσχον· κρατήσαντες δὲ τῆς Κορωνείας ἐν τῷ πρὸ αὐτῆς πεδίῳ τὸ τῆς Ἰτωνίας Ἀθηνᾶς ἱερὸν ἱδρύσατο ὁμώνυμον τῷ Θετταλικῷ, καὶ τὸν παραῤῥέοντα ποταμὸν Κουάριον* (Palmerius *Κουράλιον*, sed repugnat ipse Strabo p. 412. et 436.) *προσηγόρευσαν ὁμοφώνως τῷ ἐκεῖ· Ἀλκαῖος δὲ καλεῖ Κωράδιον, λέγων· Ὤσσ' Ἀθάνα ἀπολε . . . . . ἀπὸ Κοιρωνίας ἐπιπεων ανω* (sic A, *ἐπιδέων ἄνω* c, *ἐπιδεύων ἄνω* g, *ἐπιδέω αὐτῷ* hi) *λάροιθεν ἀμφι . . . . . Κωραλίω ποταμῷ παρ' ὄχθαις.* Poetae locum om. Bkl, et no nihil nisi *ποτάμω π. ὄχ.* exhibent. V. 1. *Ὤνασσ'* Ahrens, *Ἀθανάα πολεμαδόκος* Welcker. — V. 2. *ἄ ποι* Ahrens, *ἄ ποι* Welcker. — *Κορωνήας* ego scripsi. Deinde Welcker coni. *ἐπὶ λαΐῳ* et v. 3. *ἀμφιβαίνεις* supplevit, sed fortasse hic potius verbum delitescit, coniicias *Κορωνήας ἐπὶ ἕσδεαι ναύω πάροιθεν ἀμφὶ βῶμον.* Cf. Callim. in Lav. Pall. v. 63: *Ἡ 'πὶ Κορωνείας, ἵνα οἱ τεθνωμένον ἄλσος καὶ βωμὸν ποταμῷ κεῖντ' ἐπὶ Κουραλιῷ.* — V. 3. *ναύω* Welcker. Longe aliter locum conformavit O. Müller: *Ἄνασσ' Ἀθαναία πολίων, ἀπὸ τᾶς σᾶς Κορωνείας ἐπὶ δεῦρ' ἴθι, Πάροιθεν ἐν ἱδρυσάμεσθα κτλ.*

Digitized by Google

10. [55.]

Strabo IX. 412: *Οὐκ εὖ δ' ὁ Ἀλκαῖος, ὥσπερ τὸ τοῦ ποταμοῦ ὄνομα παρέτρεψε τοῦ Κυναρίου, οὕτω καὶ τοῦ Ὀγχηστοῦ κατέψευσται, πρὸς ταῖς ἐσχατιαῖς τοῦ Ἑλικῶνος αὐτὸν τιθείς· ὁ δ' ἐστὶν ἄπωθεν ἱκανῶς τούτου τοῦ ὄρους.* quod videtur ex eodem hymno petitum.

---

11. [71.]

ΕΙΣ ΗΦΑΙΣΤΟΝ.

Ὥστε θέων μηδέν' Ὀλυμπίων λῦσαι ἄτερ Γέθεν.

12.

Menander de Encom. IX. 149. Walz: *Καὶ Ἀλκαῖος Ἡφαίστου καὶ πάλιν Ἑρμοῦ (γονὰς ὕμνησεν).*

---

* 13. [24.]

Δεινότατον θέων
ἐγείνατ' εὐπέδιλος Ἶρις
χρυσοκόμᾳ Ζεφύρῳ μίγεισα.

14. [81.]

Τὸ δ' ἔργον ἀγήσαιτο τέα κόρα.

Fr. 11. Apollon. Dysc. de Pron. 358. B: *Σαφὲς ὅτι καὶ τὸ Αἰολικὸν δίγαμμα ταῖς κατὰ τὸ τρίτον πρόσωπον προσγέμεται, καθὸ καὶ αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι δασύνονται. Ἀλκαῖος· Ὥστε κτλ.* Cod. *λυσεατερ γεθεν.* corr. Bekker. Ahrens *λῦσαί σ' ἄτερ* coniecit. Metrum tale fuisse existimo:

[x –] ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ –

Fr. 13. Plutarch. Amator. c. 20: *Τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοίκασι τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες, ὀλίγα δὲ εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ λογισμόν, εἴτε σὺν θεῷ τῆς ἀληθείας ἁψαμένοις· ὧν ἓν ἐστι καὶ τὸ περὶ τῆς γενέσεως· Δεινότατον κτλ. εἰ μή τι καὶ ὑμᾶς ἀναπεπείκασιν οἱ γραμματικοί, λέγοντες πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγονέναι τὴν εἰκασίαν.* Respicit huc Etym. Gud. 278, 17: *Τὰ γὰρ ἄνθη λέγεται ἴμερα, ἐπεὶ ἐν τῷ ἔαρι φύονται, ὅτε καὶ τὰ ἐρωτικὰ θερμότερα ἐστί. τούτου χάριν καὶ ὁ Ἀλκμαῖος Ζεφύρου καὶ Ἴριδος τὸν Ἔρωτα φησίν.* Cf. Et. M. 470, 28. Argum. Theocr. Id. XIII. (ubi *Ἐριδος.*) Eustath. Il. 391, 24. et 555, 30. — V. 1. *θεῶν, θειῶν* BE edd. vett. — V. 2. *ἐγείνατ'* Gaisford, *γείνατ'* libri, *ἐγέννατ'* Schneidewin. — *εὐπέδιλος*, Ahrens *εὐπέδιλλος.* — V. 3. *μίγεισα* Porson, libri *μιχθεῖσα.*

Fr. 14. Apollon. de Pron. 395. A: *Ἡ τεὸς Δωρικὴ τῇ σὸς ὁμωνυμεῖ — καὶ παρ' Αἰολεῦσιν· Ἀλκαῖος ἐν πρώτῳ· Τὸ δ' ἔργον κτλ. ἀγήσαιτο* Bast alii, cod. *ἀγήσατο.*

Digitized by Google

II. ΣΤΑΣΙΩΤΙΚΑ.

15. [1.]

Μαρμαίρει δὲ μέγας δόμος χάλκῳ· πᾶσα δ' Ἄρῃ κεκόσμη-
ται στέγα
λάμπραισιν κυνίαισι, κάττᾱν λευκοι καθύπερθεν ἵππιοι
λόφοι
νεύοισιν, κεφάλαισιν ἄνδρων ἀγάλματα, χάλκιαι δὲ πασσάλοις
κρύπτοισιν περικείμεναι λάμπραι κνάμιδες, ἄρκος ἰσχύρω
βέλευς,
Θώρακές τε νέοι λίνω κοΐλαί τε κατ' ἀσπιδες βεβλήμεναι·
παρ δὲ Χαλκίδικαι σπάθαι, παρ δὲ ζώματα πολλὰ καὶ
κυπάττιδες·
τῶν οὐκ ἔστι λάθεσθ', ἐπειδὴ πρώτισθ' ὑπὸ ἔργον ἔσταμεν τόδε.

* 16. [46.]

. . . . . Βλίχρων ἀνέμων ἀχείμαντοι πνόαι.

* 17. [52.]

. . . . . Γαίας καὶ νιφόεντος ὠράνω μέσοι.

Fr. 15. Athen. XIV. 627. A: *Ἀλκαῖος ὁ ποιητής, εἴ τις καὶ ἄλλος, μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος· διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενος φησίν· Μαρμαίρει κτλ. καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκείαν πλήρη εἶναι μουσικῶν ὀργάνων.* V. 1. init. affert Eust. 1320, 1. *Ἄρῃ* A, *ἄρῃ* BP, *Ἄρει* VL. — *στέγα* Blomfield, vulgo *στέγη*. — V. 2. *κυνίαισι* B, *κυνίαισιν* A, *κυνέαισιν* VL, *λαμπρᾶ σικυνίασιν* P. — *κάττᾱν*, P *κάτταν*. — *καθύπερθεν*, B *καθάπερ*. — V. 3. *νεύοισιν* Schneidewin alii, vulgo *νεύουσιν*. — *χάλκιαι* B, *χάλκειαι* PVL, vulgo *χάλκεαι*. — V. 4. *κρύπτοισιν* Welcker, vulgo *κρυπτοῖσιν*. — *κνάμιδες*, PL *κναμίδες*, V *κναμῖδες*. — *ἄρκος* APV, *ἔρκος* L. — *ἰσχύρω βέλευς*, *ἰσχυρῷ βέλευς* A, *ἰσχυροβελὲς* PVL. — V. 5. *νέοι λίνω* scripsi, *νέω λίνω* Casaubonus, vulgo *νέῳ λίνῳ*, Ursinus *νεώλινοι*, unde Schneidewin *νεόλλινοι*. — *κοΐλαί* scripsi, *κωΐλαι* Ahrens, *κόϊλαι* Seidler, vulgo *κοίλαι*. — *κατ' ἀσπιδες* Schweighaeuser, *κατασπίδες* PVL. — *βεβλημέναι* ABP, *βεβλημένον* VL. — V. 6. *κυπάττιδες* Blomfield alii, *κυππατίδες* PVL, *κυπάσσιδες* Ahrens. — V. 7. *λάθεσθ'* Iani, *λαθέσθαι* PVL. — *πρώτισθ'* A, *πρώτιστα* PVL, *πρώτιστ'* Schneidewin. Praeterea Ahrens v. 1. *παῖσα*, v. 2. *καθίπερθεν*, v. 6. *ζώμματα*, v. 7. *ὑπὰ*, Blomfield ib. *Fέργον* scripsit.

Fr. 16. Schol. Il. Σ', 178: *Ἄλλως δὲ ἤδη αὐτὸ τὸ βλιχρὸς σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος Σ'. Βλιχρῶν ἀ. ἀ. πνοιαί.* Idem legitur ap. Eustath. 705, 62. et Cram. An. Ox. I, 95. (sine p. nomine) ubi *πνοαί*. Resp. Et. M. 200, 13. Zonar. 393. Suid. v. *Βλιχρόν*. Videtur autem hoc Fr. sicut sequens ex allegorico carmine petitum.

Fr. 17. Apollon. de Adv. in Bekk. An. II. 613, 36: *Τῇδε γὰρ ἔχει καὶ τὸ ἐπίρρημα παρ' Αἰολεῦσι τὸ μέσοι· Γαίας κτλ.* Cf. idem 588, 27: *Τὸ γὰρ παρὰ τοῖς περὶ τὸν Ἀλκαῖον μέσσοι δῆλον ὅτι κατὰ τὴν*

Digitized by Google

18. [2.]

Ἀσυνέτημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον
νᾶϊ φορήμεθα σὺν μελαίνᾳ,
χείμωνι μοχθεῦντες μεγάλῳ μάλα·
περ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μέγαλαι κατ' αὐτο·
χόλαισι δ' ἄγκυραι.

19. [3.]

Τὸ δηὖτε κῦμα τῶν προτέρων ὄνω

ἰδίαν διάλεκτον ἀνὰ λόγον βαρυνθείη ἄν· οὐ γάρ ἐστιν ἑλλιπὴς τῇ ἐν προθέσει, συστελλομένων τοῦ ω εἰς τὸ ο, ὥς τινες ὑπενόησαν, ἐν μέσῳ, ἀλλ' ὃν τρόπον παρὰ τὸ οἶκος τὸ οἴκοι ἐγένετο, σημαῖνον τὸ ἐν οἴκῳ, παρά τε τὸ Πυθὼ τὸ Πυθοῖ, καὶ παρὰ τὸ Μέγαρα τὸ Μεγαροῖ, σημαῖνον τὸ ἐν Μεγάροις, τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ μέσος τὸ μέσσοι ἐγένετο, σημαῖνον τὸ ἐν μέσῳ. ὅπερ ἔφην κατὰ τὸ Αἰολικὸν ἔθος βαρύνεσθαι.

Fr. 18. Heraclid. Alleg. Homer. c. 5. ed. Mehler: *Ἐν ἰκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγορούντα. τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξίσου χειμερίῳ προσεικάζει καταστήματι θαλάσσης, ἀσυνέτην καὶ* (AB νὴ) *τῶν ἀνέμων στάσιν·* (olim male haec verba ad Heraclidis orationem referebantur.) *τὸ μὲν γὰρ ... ἄγκυραι. Τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει. Μυρσίλος γὰρ ὁ δηλούμενός ἐστι καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις.* cf. Matranga An. 299. Cocondrius *περὶ τρόπων* in Boisson. An. III. 294. (cf. Walz Rhet. VIII. 787): *Παρὰ Ἀλκαίῳ· Συνίημι τῶν ἀνέμων τὴν στάσιν· τὸ μὲν γὰρ κτλ.* V. 1. *ἀσυνέτημι* Ahrens, vid. Choerobosc. in Psalm. 26: *παρ' Αἰολεῦσι δὲ πολλὰ εὑρίσκονται, ἀσυνέτημι, ἐλευθέρωμι, δέδωμι* (fort. *δοκίμωμι.*) et Theodos. in Bekk. An. III. 1045: *τινὲς ἐνόμισαν τὰ εἰς μι πάντα τῆς Αἰολίδος εἶναι διαλέκτου· πολλὴ γάρ ἐστιν παρ' αὐτοῖς ἡ εἰς μι κατάληξις· γέλαιμι γὰρ καὶ ἀσυνέτημι φασί.* Nisi malis *ἀσυννέτημι.* — V. 3. Respicit huc Apoll. de pron. p. 379. B. — *ἂν*, Ahrens *ὀν.* — *μέσσον* Blomfield alii, libri *μέσον*, Cocond. *ἄμμε δὲ τὸ μέσον αἰεὶ φ. σ. μέλαγι.* — V. 5. *μοχθεῦντες* Heracl., *μογέοντες* Coc. — *μάλα* Coc., *καλὰν* Heracl. (AB *καλά*). — V. 6. *περ* Hermann, vulgo *παρὰ*, AB *περὰ*, Blomfield *πὰρ* vel *πᾶσαν μὲν ἄντλος.* — V. 7. *πὰν* Ahrens, v. *πᾶν.* — V. 8. *χόλαισι*, libri *χολαῖσι*, *χαλᾶσι* Ursinus. Praeterea Blomfield v. 6. *ἰστοπέδαν*, Ahrens v. 7. *ζάθαλον.*

Fr. 19. Heraclid. c. 5: *Ὁμοίως δὲ τὰ ὑπὸ τούτου* (*Μυρσίλου*) *αἰνιττόμενος ἑτέρωθί που λέγει· Τὸ δὲ εὖ γε κῦμα τῷ προτέρῳ νεομωστίχει παρέξει δὲ ἄμμι πόνων πολλὴν ἄντλην,* (quae sequuntur vulgo male ad Her. orationem referebant), *ἐπεὶ καὶ ναὸς ἐμβαλνει. Καταχόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγίοις χειμῶσιν εἰκάζει.* — V. 1. *δηὖτε* Seidler, *τῶν προτέρων* Seidler, *ὄνω* ego correxi, Seidler *ὄμω* coniecit, AB *τόδ' εὖτε κ. τω προτέρω νέμω*, Hermann *τῷ προτέρῳ νέον*, Gaisford *τῷ προτέρῳ 'νέμῳ.*

Digitized by Google

II. ΣΤΑΣΙΩΤΙΑ

15. [1.]

Μαρμαίρει δὲ μέγας δόμος χάλ
ται
λάμπραισιν κνίαισι, κάτ

νείοισιν, κεφάλαισιν ἄν
κρύπτοισιν περικείμε

5 Θώρακές τε νέοι
παρ δὲ Χαλκίδι

[11. 12.]

τῶν οὐκ ἔστ ργος ἀρεύϊοι.

.afield, στοιχεῖ Ahrens, libri στίχει. — πόνον πόλιν
.ii. — V. 3. κε, libri καὶ, antea κα scripsi. — ἐμβᾷ, nisi
ἐμβαίνει, ἔμβα Seidler. Huc fortasse respicit Schol. Pind.
. . . καὶ Ἀλκαῖος τὴν δυστυχίαν χειμῶνα καὶ τρεικυμίαν λέγει, ubi
corrigunt.

Athen. X. 430. A: Κατὰ γὰρ πᾶσαν ὥραν καὶ περίστασιν ποιητὴς οὗτος (Ἀλκαῖος) εὑρίσκεται. — ἐν δὲ ταῖς εὐφρόναις V. l. μεθύσθην libri ut videtur, vulgo μεθύσκειν. — V. 2. Ahrens, πίνειν Casaub., vulgo πονεῖν. Cf. Arcad. de Acc. 160, 4: νω παραληγόμενα φύσει μακρῷ φωνήεντι, ὁπότε μὴ εἴη κατ' ἀλο- διάλεκτον, περισπᾶται . . . τὸ πάνω (πώνω) βαρύνεται ὡς ἴδιον αἰ- σιον. Ceterum vir doctus coniecit: καὶ χθόνα πρὸς βίαν παλειν.

Fr. 21. Hephaest. 79: τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον — Μέ- ισχρος αἰδῶς κτλ. αἰδῶς ἄξιος hinc affert Cram. Gramm. An. Ox. I. p. 208, 17.

Fr. 22. Strabo XIV. 661: Τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὅχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους. ἅπαντα γὰρ λέγεται Καρικά. Ἀνακρέων μέν γε φησίν —, ὁ δ' Ἀλκαῖος· Δόρ. κτλ. Eadem Eust. Il. 367, 25. (τε om.)

Fr. 23. Schol. Aeschyl. Pers. 347: ἀνδρῶν γὰρ ὄντων ἔρκος ἐστὶν ἀσ- φαλές. Ἀλκαῖος· ἄνδρες γὰρ πόλεως πύργος ἀρήϊος, sed cod. Medic. (Gai- ford Et. M. Praef. p. VIII.) ἄνδρες πόλης πύργος ἀρεύϊοι. Schol. Soph. Oed. R. 56: Ἀλκαῖος· Ἄνδρες πόλεως πύργοι ἀρήϊοι, eademque Suid. v. Ἀρήϊος. Respicit hunc locum Aristid. I. 821: δι' ἃ πάντα χρὴ καὶ τὸ συμ- βεβηκὸς ἐνεγκεῖν ὡς προφότατα καὶ τῶν δευτέρων ἐρρωμένως ἀντέχεσθαι καὶ τὸν λόγον βεβαιῶσαι, ὅτι οὐκ οἰκίαι καλῶς ἐστεγασμέναι οὐδὲ λίθοι τειχῶν εὖ δεδομημέναι οὐδὲ στενωποί τε καὶ νεώρια ἡ πόλις, ἀλλ' ἄνδρες χρῆσθαι τοῖς ἀεὶ παροῦσι δυνα- μενοι. Alcaei hanc esse sententiam indicat idem II. 273. (Phot. Bibl. p. 430. A): Τὸν λόγον δν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄν- δρες αὐτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πόλεις. Cf. etiam I. 791: ἐὰν . . τοῦ θαυμάζειν τοὺς λίθους ἀνῆτε μικρόν τι καὶ νομίσητε πλείονος ἀξίους ὑμᾶς αὐτοὺς τῶν οἰκοδομημάτων καὶ πιστεύσητε ἀληθῆ εἶναι τὸ πάλαι τοῦτο, ὡς ἄρα οὐ τείχη οὐδὲ φιδεῖα οὐδὲ στοαὶ οὐδὲ ὁ τῶν ἀψύχων κόσμος αἱ πόλεις εἶεν, ἀλλ' ἄνδρες αἱ- τοῖς εἰδότες θαρρεῖν. Ad idem hoc carmen fort. referendum quod dicit Plato de Leg. VI. 778. D: περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἐγωγ' ἂν τῇ

Digitized by Google

24. [13.]

t. 398: Οὐδ' ἑλκοποιὰ γίνεται τὰ σήματα· ·οώσκει τὰ ἐπίσημα ὅπλα, οὐδὲ αὐτὰ καθ' ὁ φέρων αὐτά, ἐὰν γενναῖος ᾖ.

14.]

·γα κράτος
·χεται ῥόπας.

Ποσείδαν
ντον.

* 27.

ὥστ' ὄρνιθες ὠκυν
.τον ἐξαπίνας φάνεντα.

* 28.

Ἄρευ δαΐφοβος δαΐκτηρ.

Σπάρτῃ ξυμφεροίμην τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ τείχη καὶ μὴ ἐπανιστάναι, τῶνδε εἵνεκα· καλῶς μὲν καὶ ὁ ποιητικὸς ὑπὲρ αὐτῶν λόγος ὑμνεῖται τὸ χαλκᾶ καὶ σιδηρᾷ δεῖν εἶναι τὰ τείχη μᾶλλον ἢ γήϊνα. Nisi forte Tyrtaeus eandem sententiam carmine illustravit, quorsum referre possis quod est ap. Hephaest. p. 3.:

Τίρυνς, οὐδέ τι τεῖχος ἐπήρκεσε.

Adde huc Nicolaum Progymn. I. 277. Walz: πρὸς ἃ δὴ βλέπων Ἀλκαῖος ὁ ποιητὴς οὐ ξύλα καὶ λίθους, ἀλλ' ἄνδρας ἐφιλοσόφησε πόλεως σύστασιν. Cf. Philotheus ap. Mingarelli Codd. Nan. 533.

Fr. 25. Arist. Vesp. 1234: Ὤνθρωφ', οὗτος ὁ μαιόμενος (sic Rav., vulgo μαινόμενος) τὸ μέγα κράτος Ἀντρέψεις ἔτι τὰν πόλιν, ἁ δ' ἔχεται ῥοπᾶς· ubi Schol. παρὰ τὰ Ἀλκαίου· Ὤνησεν οὗτος καὶ μαινόμενος (cod. Ven. ὤνησαι οὗτος ὁ μαινόμενος et τρέψεις τάχα.) τὸ μ. κράτος τάχα τρέψεις τὴν π. ἁ δ' ἔ. ῥ., ἀντὶ τοῦ μέγα κράτος (ζητῶν addit Seidler)· οὕτως Αἰολεῖς et deinde: ἐκ τῶν Ἀλκαίου δὲ παρῳδεῖ εἰς Κλέωνα ὡς μαινόμενον. Rectius Schol. in Thesmoph. 162: Ἐν Σφηξὶν (παρῴδηται τό)· Ὠνὴρ οὗτος ὁ μαιόμενος τὸ μ. κράτος. V. 1. κράτος, κρέτος Seidler. — V. 2. ἀντρέψει Seidler, ὀντρέψει Ahrens.

Fr. 26. Herodian. περὶ μον. λέξ. 10, 25: Εἴρηται δὲ ὁ δαίμων παρ' Ἀλκαίῳ διὰ τοῦ ᾱ μένοντος τοῦ σ̄ Ποσειδᾶν· Οὐδέπω κτλ. Choerobosc. Epim. I. 277. Ποτείδαν Aeolicum dicit, sed 299. Ποτίδαν et Ποσείδαν iisdem tribuit.

Fr. 27. Herod. περὶ μον. λέξ. 23, 9: Παρητησάμεθα δὲ Αἰολίδα διάλεκτον διὰ τὸ Πτάζω, ἔπταζον· ὡς τό· Ὄρνιθες ὠκὺν αἰετὸν ἐξαπτήνας φανέντα. Poetae nomen quamvis sit omissum, probabiliter Alcaeo tribuas. Correxi codicis scripturam.

Fr. 28. Herodian. Cram. An. Ox. III. 237, 1: Ζητοῦμεν καὶ τὴν τοῦ Ἄρης, Ἄρεος γενικὴν πῶς εὕρηται διὰ διφθόγγου· λέγομεν Ἄρευος, Ἄρευϊ· — ἡ κλητική· Ἄρευ δι' ὁ φόβος διακτήρ· Scripsi δαΐφοβος, Cramer δαΐκτηρ. Alcaei haud dubie versus est.

Digitized by Google

* 29.

Ἄρευος στρατιωτέροις.

* 30.

Τὸ γάρ
Ἀρευϊ κατθάνην κάλον.

* 31.

Μῖξαν δ' ἐν ἀλλάλοις Ἄρευα.

---

32. [9.]

ΠΡΟΣ ΜΕΛΑΝΙΠΠΟΝ.

Herodotus V. 95: *Πολεμεόντων δέ σφεων παντοῖα καὶ ἄλλα ἐγένετο ἐν τῇσι μάχῃσι, ἐν δὲ δὴ καὶ Ἀλκαῖος ὁ ποιητὴς συμβολῆς γενομένης καὶ νικώντων Ἀθηναίων, αὐτὸς μὲν φεύγων ἐκφεύγει, τὰ δέ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι καί σφεα ἀνεκρέμασαν πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ· ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας ἐπιτιθεῖ ἐς Μιτυλήνην, ἐξαγγελλόμενος τὸ ἑωυτοῦ πάθος Μελανίππῳ ἀνδρὶ ἑταίρῳ.* Ipsum carminis initium servavit Strabo XIII. 600: *Πιττακὸς δ' ὁ Μιτυληναῖος πλεύσας ἐπὶ τὸν Φρύωνα στρατηγὸν (τῶν Ἀθηναίων) διεπολέμει τέως, διατιθεὶς καὶ πάσχων κακῶς· ὅτε καὶ Ἀλκαῖος φησὶν ὁ ποιητὴς ἑαυτὸν ἔν τινι ἀγῶνι κακῶς φερόμενον τὰ ὅπλα ῥίψαντα φυγεῖν· λέγει δὲ πρός τινα κήρυκα κελεύσας ἀγγεῖλαι τοῖς ἐν οἴκῳ· Ἀλκαῖος σόος Ἄρει ἐνθάδ' οὐκυτὸν ἀληκτορὶν ἐς γλαυκωπὸν ἱερὸν ὃν ἐκρέμασαν Ἀττικοί.* ubi σόος h a m. sec., σος F, σῶς rwx, om. i. — *Ἄρει.* ἄρει ho, ἄροι ceteri (F αροι). — *ἐνθάδ'* Dhz (*ἐνθαδ* F), *ἐνθάδε* x, *ἔνθα δ'* C. — *οὐκυτόν, οὐχυτον* h, *οὐχυ τὸν* i, *οὐκ αὐτὸν* C (ut videtur) moz, *οὐ κεῖται* rw. — *ἀληκτορὶν, ἀλυκτορὴν* oi, *τὸν ἀληκτορὶν* Ald. Welcker coni. *Ἀλκ. σῶος, ἀρήϊ' ἔντεα δ'* (hoc iam Wesseling) *οὐχί· τὰν ἀλκτῆρα ῥινὸν ἐς Γλαυκωποῦ* (hoc iam Wesseling) *ἱερὸν ἐκρ. Ἀ.*, Seidler *Ἀλκαῖος . . σῶος Ἄρει, Ἔντεα δ' οὐκί, τά οἱ τὸ ἀλίκτυπον ἐς Γλαυκωποῦ Ἵρον ὀνεκρέμασαν Ἀττικοί.* probante Schneidewino, nisi quod de Lindavii coniectura *ἁλίκροτον* scripsit. Ahrens *Ἄλκαος σῶος . . . Ἀρήϊ' ἔντεα δ' οὐκ (ἴσως)· αὐτὸν δ' ἀλυκτόριον εἰς Γλαυκώπιον Ἷρον ὀνεκρέμασσαν . . . Ἀττικοί.* vel si malis: *Ἄγγελλε κᾶρυξ οἴκαδις· Ἄλκαος Σάος γ', ἀρήϊ' ἔντεα δ'*

Fr. 29. 30. 31. Tria haec fragmenta Alcaeo tribuit Seidler, leguntur ap. Choerobosc. Epim. I. 210. (Bekk. An. T. III. 1340): *Ἀλλ' ἐπειδὴ τὰ εἰς ευς ἀποβάλλουσι τὸ ῡ κατὰ τὴν γενικὴν . . . χωρὶς τοῦ Ἄρευς, Ἄρευος· τοῦτο γὰρ ἐφύλαξε τὸ ῡ παρὰ τοῖς Αἰολεῦσιν, οἷον· Ἄρευος στρατιωτέροις κτλ.* — Fr. 30. *κατθάνην* Ahrens, *v. καταθανεῖν.* — Fr. 31. *μῖξαν δ' ἐν ἀλλάλοις* Schneidewin, *v. μίξαντες ἀλλήλοισιν*, sed Herodian. Cram. An. Ox. III. 237, 3: *μίξαν δὲ ἀλλήλοις.*

Digitized by Google

οὐ φύγον, Ἄ δὴ κτέρας Γλαυκώπιόνδε Ἄττικοι ἶρον ὀνεκρέμασσαν. Kramer ἔντεα δ' οὐκ εὕρυτο coni. et deinde de Ursini coni. ἀνεκρέμασαν edidit. Conieci aliquando ἔντεα δ' αὖ κατ' ἀνάκτορ' Ἀλέκτορος, cf. Eustath. 1479, 30.

---

33. [67. 8.]

ΠΡΟΣ ΑΝΤΙΜΕΝΙΔΑΝ.

Ἦλθες ἐκ περάτων γᾶς ἐλεφαντίναν
λάβαν τῶ ξίφεος χρυσοδέταν ἔχων,
(ἐπειδὴ μέγαν ἄθλον Βαβυλωνίοις
συμμάχεις τέλεσας, ῥύσαό τ' ἐκ πόνων,)
κτέννais ἄνδρα μαχαίταν βασιληΐων
παλαίσταν ἀπολείποντα μόνον μίαν
παχέων ἀπὺ πέμπων.

III. ΣΚΟΛΙΑ.

34. [27.]

Ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀράνω μέγας
χείμων, πεπάγασιν δ' ὑδάτων ῥόαι.

Fr. 33. V. 1. et 2. affert Hephaest. 58: Τὸ δὲ ἀκατάληκτον, τὸ μόνον τὴν τελευταίαν ἔχον ἰαμβικὴν καλεῖται Ἀσκληπιάδειον, οἷον τὸ Ἀλκαίου· ἦλθες (ἦλθεν Fl. H, ἦλθον B) κτλ. — γᾶς Libanius, (vulgo γῆς) qui carminis initium resp. I. 406. Reiske: Ἀρ' οὖν μοι καιρὸν ἔχει κατὰ τὸν Λέσβιον Ἀλκαῖον ποιήσασθαι τὴν ἀρχήν· Ἦλθες ἐκ περάτων γᾶς οὐκ ἐλεφαντίνῃ χρυσοδέτῳ καλλωπιζόμενος λαβῇ, καθάπερ ἐκεῖνος ἐποίησεν, ἀλλ' ἀτεχνῶς χρυσῇ ψυχῇ κατευθύνων τὴν οἰκουμένην. Carminis argumentum illustrat Strabo XIII. 617: ἄνδρας δ' ἔσχεν ἐνδόξους (Μιτυλήνη) τὸ παλαιὸν μὲν Πιττακόν, καὶ τὸν ποιητὴν Ἀλκαῖον καὶ τὸν ἀδελφὸν Ἀντιμενίδαν, ὃν φησὶν Ἀλκαῖος Βαβυλωνίοις συμμαχοῦντα τελέσαι μέγαν ἆθλον καὶ ἐκ πόνων αὐτοὺς ῥύσασθαι κτείναντα ἄνδρα μαχαίταν, ὥς φησι, βασιλήων παλαιστὰν (DFhi παλαστὰν)· ἀπολιπόντα μόνον ἀνίαν παχέων (moxz τ' ἀχέων) ἀπυπέμπων (sic F, reliqui ἀποπέμπων). Unde v. 3. et 4. restitui, cetera emendavit O. Müller, nisi quod v. 5. βασιλήιον scripsit, ego malui βασιληΐων. Contra Ahrens: Βαβυλωνίοις συμμάχεις ἐτέλεσάς τ' ἄεθλον μέγαν Κὴκ πόνων πόλεων ἄσφ' ὑπερύσαο, Κτέννας ἄνδρα μ. β. παλάσταν ἀπυλείποντα μόναν ἴαν Πάχεων ἀπὺ πέμπων. Meineke maluit τέλεσας μέγα ἆθλον, ἔκ τε πόνων σφετίας ἐρύσαο.

Fr. 34. Athen. X. 430. A: Κατὰ γὰρ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ ποιητὴς οὗτος (Ἀλκαῖος) εὑρίσκεται. χειμῶνος μὲν ἐν τούτοις· Ὕει κτλ. V. 1. ἐκ δ' ABP, ἐν δ' VL. — ὀράνω, ὁρανῶ cod. Farnes. ap. Ursinum, ὠρανῶ ABP, ἀρανῶ V, οὐρανῷ L. Cf. Herodian. περὶ μον. λεξ. 7, 27: Ἀλκαῖος δὲ καὶ εἰς ω ἀποφαίνεται τὸ ὄνομα καὶ ὠρανὸς λέγων κατὰ τροπὴν τὴν οῦ διφθόγγου εἰς τὴν ω καὶ ἄνευ τοῦ υ ὀρανός. — V. 2. πεπάγασιν, πεπάγασι PVL, πεπήγασι B, utrumque A. Ahrens πεπάγαισιν et deinde ὑδάτων.

Digitized by Google

— — — — —
— — — —

κάββαλλε τὸν χείμων', ἐπὶ μὲν τίθεις
πῦρ, ἐν δὲ κίρναις οἶνον ἀφειδέως
μέλιχρον, αὐτὰρ ἀμφὶ κόρσᾳ
μάλθακον ἀμφι . . γνόφαλλον.

35. [29.]

Οὐ χρὴ κάκοισι θῦμον ἐπιτρέπην·
προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

36. [33. 32.]

Ἀλλ' ἀνήτω μὲν περὶ ταῖς δέραισιν
περθέτω πλέκταις ὑποθυμιδάς τις,
καδ δὲ χευάτω μύρον ἆδυ κατ τῶ
στήθεος ἄμμι.

37. [5.]

Τὸν κακοπάτριδα

V. 3. Κάββαλλε VL, κάμβαλλε BP. — V. 4. κίρναις L, κιρναῖς V, περνὰς C, κιρναῖς AP. — V. 5. 6. om. C. — V. 5. ἀμφὶ κόρσᾳ, ἀμφικόρσαι P, ἀμφικέρσαι B. — V. 6. ἀμφι . . γνόφαλλον, B ἀμφιγνόφαλλον, PV ἀμφὶ γνόφαλλον, L ἀμφὶ γνάφαλλον. Supplent ἀμφιτίθη(τιθει), ἀμφιτίθεις, ἀμφιβαλών. Sed possunt multa alia coniici velut ἀμφίπολος γνόφαλλον θέτω.

Fr. 35. Athen. X. 430. B: Ἐν δὲ τοῖς συμπτώμασιν (Ἀλκαῖος)· Οὐ χρὴ κτλ. V. 1. θῦμον, θυμὸν Stephanus, vulgo μῦθον. — ἐπιτρέπην Ahrens, vulgo ἐπιτρέπειν. — ἀσάμενοι, B ἀσάμενος. — V. 3. Βύκχι Schweighaeuser, cf. Etymol. M. p. 216, 47., AP Βυκχί, B βυγχί, VL βαχί. — V. 4. μεθύσθην ABP, μεθυσθῆναι VL.

Fr. 36. Coniunxi duo fragmenta in unum; v. 1. et 2. leguntur ap. Athen. XV. 674. C: Ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας, ὡς Ἀλκαῖος ἐν τούτοις· Ἀλλ' ἀνήτω κτλ. V. 1. ἀλλ' ἀνήτω μὲν Casaubonus, B ἀλλὰ ἀννήτω μεν, Cant. L ἀλλὰ ἀννήτωμεν. Schneidewin ἀνήττω. — ταῖς δέραισι Ahrens, vulgo ταῖς δέραις, unde olim scripsi ταῖσι δέρραις. — V. 2. περθέτω Cant. L, παρθέτω Casaubonus. — πλέκταις ὑποθυμιδας Blomfield, vulgo πλεκτὰς (Cant. L πλέκτας) ὑποθυμιάδας. — V. 3. et 4. leguntur apud Athen. XV. p. 687. D: Ἀλκαῖος ἐγγ' Καδ δ' ἐχεύσατο (B καδδιεχεύσατο, C καδδεχεύατο) μύρον ἀδὺ (Ahrens ἆδυ) κτλ. quae emendavi. Praeterea resp. v. 1. Pollux VI. 107., v. 2. Schol. Theocr. VII. 63. Athen. XV. 678. D.

Fr. 37. Aristot. Polit. III. 9, 5: οἷον εἵλοντό ποτε Μιτυληναῖοι Πιττακὸν πρὸς τοὺς φυγάδας, ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ Ἀλκαῖος ὁ ποιητής. Ἀηλοῖ δ' Ἀλκαῖος, ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν· ἐπιτιμᾷ γὰρ ὅτι· Τὸν πλ.

Digitized by Google

Πίττακον πόλεως τᾶς ἀχόλω καὶ βαρυδαίμονος
ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀόλλεες.

38. [6.]

Diog. Laert. I. 81. (unde hausit sua Suidas v. *Σαράπους.*): *Τοῦτον (Πιττακὸν) Ἀλκαῖος σαράποδα μὲν καὶ* (lego *ἢ*) *σάραπον* (Cod. Cant. *σύραπον.*) *ἀποκαλεῖ διὰ τὸ πλατύπουν εἶναι καὶ ἐπισύρειν τὼ πόδε, χειροπόδην δὲ διὰ τὰς ἐν τοῖς ποσὶν ῥαγάδας, ἃς χειράδας ἐκάλουν,* (cf. Et. M. 810, 27: *Χεῖραι, αἱ ἐν τοῖς ποσὶν ῥαγάδες. καὶ χειρόποδες οἱ οὕτω τοὺς πόδας πατερρωγότες, οἷον ῥαγόποδες·* non tamen propterea *χειρόποδα* corrigendum) *γαύρικα* (Menage *γαύρηκα*, vid. Hesych. *γαύρηξ, ὁ γαυριῶν*) *δὲ ὡς εἰκῆ γαυριῶντα, φύσκωνα δὲ καὶ γάστρωνα,* (Pollux II. 173: *τὸν δὲ Πιττακὸν* [ABC *Ψιττακὸν*] *γάστρωνα ὁ Ἀλκαῖος καλεῖ*), *ὅτι παχὺς ἦν, ἀλλὰ μὲν καὶ ζοφοδορπίδαν,* (cod. Mon. *ζοφοδορπόδαν*, Suid. *ζοφοδορπίδα*, sed, *ζοφοδορπίδας* tuetur Plut. Quaest. Sympos. VIII. 6. 1. Ceterum cf. Hesych. *Ζοπαδασπίδας· λαθροφάγους*, ubi *Ζοποδαπτίδας* corrigunt, et *Ζοφοδερκίας· σκοτόδειπνος, λαθροφάγας*, ubi *Ζοφοδορπίας* corrigunt.) *ὡς ἄλιγχον, ἀγάσυρτον δὲ ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν.* quae haud dubie omnia ex eodem carmine, quo Fr. 37. petita sunt.

39. [28. a.]

Τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλέπα, πάντα δὲ δίψαισ' ὑπὸ καύματος.

V. 2. *πόλεως*, Schneidewin *πόλιος.* — *ἀχόλω* libri (B 2, 3. *ἀχόλῳ*), Camerarius et Schneider *ἀσχόλω*, ego conieci *ζαχόλω* vel *ἀβόλω.* — V. 3. *ἐπαινέοντες, ἐπαίνεντες* Ahrens. Resp. Plut. Erot. c. 18: *Κοινῇ τὸν Ἔρωτα συνεγγράφουσιν εἰς θεοὺς ποιητῶν οἱ κράτιστοι καὶ νομοθετῶν καὶ φιλοσόφων ἀθρόαι φωναὶ μέγα ἐπαινέοντες, ὥσπερ ἔφη τὸν Πιττακὸν ὁ Ἀλκαῖος αἱρεῖσθαι τοὺς Μιτυληναίους τύραννον.* ubi cum Reiske *ἀθρόᾳ φωνᾷ* coniecisset, illud ipsum Schneidewin Alcaeo tribuit.

Fr. 39. Carmen hoc ex variis fragmentis composui. V. 1. cum initio v. 2., et deinde v. 3. 6. 7. 8. servavit Proclus ad Hesiodi Op. 584: *Τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον ᾄδειν· οἴνῳ πνεύμονα τέγγε* (ita AB Trinc., sed Gaisford, *τέγγε πνεύμονας οἴνῳ*) *τὸ γ. ἄ. περιτέλλεται* (*περιστέλλεται* AB Trinc.) *ἁ δ' ὥρα χαλεπά· ἀχεῖ κτλ.* V. 1. et 2. leguntur ap. Athen. X. 430. B: *Φέρους δὲ* (*Ἀλκαῖος*)· *Τέγγε* (ubi *τέγγε* AC, *τέγγαι* B, *τέγγη* PVL) *πλεύμονας* (P *πλεύμωνας*) . . . . *ἁ δ'* (A a m. s. *ἡ δ'* et similiter deinde *χαλεπή*) . . . *δὲ δίψαις* (sic B, *δὲ διψαις* AP, *δέδιψαις* V, *δὲ διψᾷ* C, *δὲ δειψᾷ* L), *ὑπὸ καύματος.* iidemque duo versus ib. extant I. 22. E: *φησὶ δὲ καὶ Ἀλκαῖος ὁ Μυτιληναῖος ποιητής· Οἴνῳ πνεύμονα τέγγε . . . περιτέλλεται* (V *πυρὶ τέλλεται*) *ἡ δ' ὥρη χαλεπή· π. δὲ διψᾷ* (sic L, *δὲ δι.. V, δ' ἐδί . . B, δ' ἐδ . . D, δ' ἐδίψουν* C) *ὑπὸ κ.* Praeterea v. 1. affert Gellius XVII. 11. Macrob. Sat. VII. 15. Plutarch. Sympos. VII. 1, 1. respicit idem de Stoicor. repugn. c. 29. Denique Eustath. ad Od. 1612, 14. affert *οἴνῳ πνεύμονα τέγγε*, et ad Il. 643, 5. et 890, 47. *τέγγε πνεύμονας οἴνῳ.* — V. 1. *πνεύμονας οἴνῳ* edidi secutus Athen. loco priore et Plut., ap. Gell. *πνεύμονα οἴνῳ*, unde Grotefend alii *πνεύμονα Ϝοίνῳ.* Quod ceteri exhibent *οἴνῳ πνεύμονα τέγγε*, inde videtur repetendum, quod fuit antiquioris poetae didactici versus, *Οἴνῳ πνεύμονα τέγγε, φίλης δ' ἀπέχου Κυθερείης* (vid. Suid. v. *τέγγε*) quem imitatus est Alcaeus. — V. 2. *δίψαισ'* Seidler.

Digitized by Google

ἄχει δ' ἐκ πετάλων Ϝάδεα τέττιξ, πτερύγων δ' ὕπο
κακχέει λιγύραν (πύκνον) ἀοίδαν, ὅτι ποτ' ἂν
φλόγιον καθέταν ἐπιπτάμενον καταυδείη.
ἄνθει δὲ σκόλυμος· νῦν δὲ γύναικες μιαρώταται,
λέπτοι δ' ἄνδρες, ἐπεὶ καὶ κεφάλαν καὶ γόνα Σείριος
ἄζει.

40.

Πίνωμεν, τὸ γὰρ ἄστρον περιτέλλεται.

41. [31.]

Πίνωμεν· τί τὸ λύχνον μένομεν; δάκτυλος ἁμέρα.
καδ δ' ἄειρε κυλίχναις μεγάλαις αἰ τὰ ποικίλαις·

(– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏓)

Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς ἦρος ἐπερχομένου.

XII. *Orestia.* Confer Athen. XII. 513. A: *Πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.*

Fr. 32. Aristoph. Pac. v. 775: *Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ | τοῦ φίλου χόρευσον | κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας | καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.* ubi Schol.: *Μοῦσα σὺ μὲν πολέμου] τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου· αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν· σφόδρα δὲ γλαφυρὸν εἴρηται, καὶ ἔστι Στησιχόρειον.* Adde Schol. ad v. 777. *Κλείουσα] ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. σημειοῦται δὲ ταῦτα ὁ Μόχθος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν.* Et in primo quidem versu Aristophanis tantum Musae invocationem congruere cum Stesichoreo carmine existimo, at v. 777. cum dimidio v. 778. integer petitus ex Stesichoro videtur. Est autem haud dubie ipsum hoc exordium Orestiae, sive prima stropha, cui plane respondet Fr. 34. cf. etiam Fr. 35.

Fr. 33. Schol. Aristoph. Pac. v. 800. *ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν ἑζομένη κελαδῇ]: Καὶ αὕτη πλοκὴ Στησιχόρειος· φησὶ γὰρ οὕτως· ὅταν κτλ.* Haud dubie est ex eodem Orestiae exordio, referoque ad strophae versum tertium, ubi poeta cum Musam invocat, commode facere mentionem potuit verni temporis. Ceterum syllaba deest, coniicio *ὡραίᾳ.*

Fr. 34. Schol. Arist. Pac. v. 797: *Ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας· Τοιάδε κτλ.* V. 2. *ἐξευρόντας ἁβρῶς* Kleine, vulgo *ἐξευρόντα ἁβρῶς.* Est autem haec antistropha prima, Aristophanis parodia est: *Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων, | τὸν σοφὸν ποιητὴν | ὑμνεῖν ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν | ἑζομένη κελαδῇ.*

Digitized by Google

* 35. [74.]

Οὕνεκα Τυνδάρεως ῥέζων ποτὲ πᾶσι θεοῖς
μούνας λάθετ' ἠπιοδώρου Κύπριδος· κείνα δ' ἄρα Τυνδάρεω
κούραισι χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι
καὶ λιπεσάνορας *.

* 36. [20.]

Schol. Hom. Il. β'. 339: *Τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης παρόντων διὰ τὸ γένος καὶ τὸ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὥς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, κοινὸν αὐτῶν ἔλαβεν ὅρκον, ἦ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικουμένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν. Διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσι· καὶ μετ' οὐ πολὺ ἁρπασθείσης αὐτῆς ὑπὸ Ἀλεξάνδρου, ἐκοινώνησαν τῇ στρατείᾳ διὰ τοὺς γενομένους ὅρκους. Ἱστορεῖ Στησίχορος.* Referunt ad *Ἰλίου Πέρσιν*, ego malui sicut Fr. seqq. *Orestiae* adscribere.

* 37. [21.]

Pausan. II. 22, 6: *Πλησίον δὲ τῶν Ἀνάκων Εἰλειθυίας ἐστὶν ἱερόν, ἀνάθημα Ἑλένης, ὅτε σὺν Πειρίθῳ Θησέως ἀπελθόντος εἰς Θεσπρωτοὺς Ἄφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω καὶ ἤγετο εἰς Λακεδαίμονα Ἑλένη· ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν γαστρί, τεκοῦσαν δὲ ἐν Ἄργει καὶ τῆς Εἰλειθυίας ἱδρυσαμένην τὸ ἱερόν, τὴν μὲν παῖδα, ἣν ἔτεκε, Κλυταιμνήστρᾳ δοῦναι, συνοικεῖν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγαμέμνονι· αὐτὴν δὲ ὕστερον τούτων Μενελάῳ γήμασθαι. Καὶ ἐπὶ τῷδε Εὐφορίων Χαλκιδεὺς καὶ Πλευρώνιος Ἀλέξανδρος, πρότερον δὲ ἔτι Στησίχορος ὁ Ἱμεραῖος κατὰ ταὐτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν.*

* 38. [94.]

Ἑλένα ἑποῦσ' ἀπῆρεν.

Fr. 35. Schol. Eurip. Orest. 239: *Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν* (ita libri, nisi quod V *δι' ὃ ὀργισθεῖσα*)· *ἔχει δὲ ἡ χρῆσις οὕτως* (V hoc om.)· *Οὕνεκα κτλ.* Blomfield, Welcker alii hos versus ad *Ἰλίου πέρσιν* retulerunt, ego cum Geelio *Orestiae* tribuo. V. 1. *Τυνδάρεως*, non sum ausus *Τυνδάρεος* et v. 2. *Τυνδαρέου* scribere, velut Schneidewin v. 1. *Τυνδάρεος* et v. 2. *Τυνδάρηο* scripsit. *ποτὲ πᾶσι* scripsi, sive *ποθ' ἅπασι* malis, vulgo *ἅπασι* et sic R, *πᾶσι* V, sed iidem libri pro *οὕνεκα* exhibent *οὕνεκά ποτε*, quod hic inserui, Schoemann *ἅμα πᾶσι* coni. — V. 2. *μούνας* scripsi, R *μόνης*, V *μιᾶς* ut vulgo. — *λάθετ'*, vulgo *λάθετο*, R *ληθτ*, V *ἐπελάθετο*. — *δ' ἄρα* scripsi, vulgo *δὲ*. — V. 3. *κούραισι* scripsi, R *κόραισι*, V *κόρας*, *κούραις* vulgo. — *χολωσαμένα* Kleine, legebatur *χολωσαμένη*. — *λιπεσάνορας*, R *λειπεσάνορας*, V *λιπεσίορας*, unde Schneidewin *λιπεσάορας*. Ceterum in fine deest syllaba, poeta fort. dixerat *καὶ λιπεσάνορας καὶ Φᾶμιν χαλεπὰν κατέχευεν.*

Fr. 38. Ptolem. Hephaest. ap. Phot. Bibl. CXX: *Ἀρχέλαος δὲ ὁ Κύπριος Στησιχόρου φησὶ τοῦ ποιητοῦ Ἑλένην Ἱμεραίαν ἐρωμένην γενέσθαι, Μονόθου*

Digitized by Google

39. [40.]

Schol. Eurip. Orest. 46: *Φανερὸν ὅτι ἐν Ἄργει ὑπόκειται ἡ σκηνὴ τοῦ δράματος· Ὅμηρος δὲ ἐν Μυκήναις φησὶ τὰ βασίλεια Ἀγαμέμνονος· Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαιμονίᾳ.*

40. [41.]

Schol. Eurip. Orest. 258: *Στησιχόρῳ* (codd. *Στησίχορος*) *ἑπόμενος* (*Εὐριπίδης*) *τόξα φησὶν αὐτὸν* (*τὸν Ὀρέστην*) *εἰληφέναι παρὰ Ἀπόλλωνος.*

41. [42.]

Schol. Aesch. Choeph. 733: *Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος δὲ Λαοδάμειαν.*

42. [43.]

⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Τᾷ δὲ δράκων ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον· ἐκ δ' ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἔφάνη.

XIII. *Κ Α Λ Υ Κ Α.*

43. [54.]

Athen. XIV. 619. D: *Ἀριστόξενος δὲ ἐν τετάρτῳ περὶ μουσικῆς, ἥδον, φησίν, αἱ ἀρχαῖαι γυναῖκες Καλύκην τινὰ ᾠδήν. Στησιχόρου δ' ἦν ποίημα, ἐν ᾧ Καλύκη τις ὄνομα, ἐρῶσα Εὐάθλου νεανίσκου, σωφρόνως εἶχεται τῇ Ἀφροδίτῃ γαμηθῆναι αὐτῷ· ἐπεὶ δὲ ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν· ἐγένετο δὲ τὸ πάθος περὶ Λευκάδα. Σωφρονικὸν δὲ πάνυ κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς παρθένου ἦθος, οὐκ ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανίσκῳ, ἀλλ' εὐχομένης, εἰ δύναιτο, γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία, ἢ, εἰ τοῦτο μὴ δυνατόν, ἀπαλλαγῆναι τοῦ βίου.* Cf. Eust. Il. 1236, 62.

θυγατέρα· ἀποστᾶσαν δὲ Στησιχόρου καὶ πρὸς Βούπαλον πορευθεῖσαν ἀμυνόμενον τῆς ὑπεροψίας τὸν ποιητὴν γράψαι· Ἑλένη ἐκοῦσ' ἀπῆρε. Ψευδῆ δὲ τὸν περὶ τῆς πηρώσεως εἶναι λόγον. Aperte haec ficta sunt, et fortasse ipsa illa verba item abiudicanda sunt Stesichoro.

Fr. 42. **Ælat.** de sera numin. vind. c. 10: *ὥστε πρὸς τὰ γενόμενα καὶ πρὸς τὴν ἀλήθειαν ἀποπλάττεσθαι τὸ τῆς Κλυταιμνήστρας ἐνύπνιον τὸν Στησίχορον, οὑτωσί πως λέγοντα τάδε·* (*τᾷ δὲ* recte Reiske, ad poetae verba referens) *Δράκων κτλ.* V. 1. possis *ἐδόκησεν μολεῖν* scribere numero satis apto. Valckenaer coni. *τᾷδε δράκων μὲν ἔδοξε.* Numeri alterius versus insolentiores sunt, sed nihil ausus sum mutare.

Digitized by Google

XIV. *ΡΑΔΙΝΑ.*

44. [55.]

x ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ –
x ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ –

Ἄγε Μοῦσα λίγει', ἄρξον ἀοιδᾶς, ἐρατῶν ὕμνους
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ.

XV. *ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.*

45. [78.]

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑

Δεῦρ' ἄγε Καλλιόπεια λίγεια.

46.

... ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑

Μέτειμι δ' ἐφ' ἕτερον προοίμιον.

47.

Μάτας εἰπών.

Fr. 44. Strabo VIII. 347. in *Ehiacis*: *Οὐ πάνυ δὲ ὑπὸ τῶν τοὺς περίπλους γραψάντων ἡ Σάμος μνημονεύεται. — καὶ πεδίον δ' αὐτόθι καλεῖται Σαμικόν, ἐξ οὗ πλέον ἄν τις τεκμαίροιτο ὑπάρξαι ποτὲ πόλιν τὴν Σάμον καὶ ἡ Ῥαδινὴ δέ, ἣν Στησίχορος ποιῆσαι δοκεῖ, ἧς ἀρχή· Ἄγε κτλ. ἐντεῦθεν λέγει τοὺς παῖδας· ἐκδοθεῖσαν γὰρ τὴν Ῥαδινὴν ἐς Κόρινθον τυράννῳ φησὶν ἐκ τῆς Σάμου πλεῦσαι πνέοντος ζεφύρου, οὐ δήπουθεν τῆς Ἰωνικῆς Σάμου· τῷ δ', αὐτῷ ἀνέμῳ καὶ ἀρχιθέωρον εἰς Δελφοὺς τὸν ἀδελφὸν αὐτῆς ἐλθεῖν· καὶ τὸν ἀνεψιὸν ἐρῶντα αὐτῆς ἅρματι εἰς Κόρινθον ἐξορμῆσαι παρ' αὐτήν· ὅτε τύραννος κτείνας ἀμφοτέρους ἅρματι ἀποπέμπει τὰ σώματα, μεταγνοὺς δ' ἀνακαλεῖ καὶ θάπτει.* At Paus. VII. 5, 13. ad Ionicam Samon refert: *Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀπομένοις εὔχεσθαι καθέστηκεν ἐοῦσιν ἐπὶ τὸ μνῆμα.* V. 1. *λίγει'*, codd. *λιγεῖα*, sed cf. Lehrs Quaest. Ep. 169. — *ὕμνους*, Heyne coni. *νόμους*, ego suspicor *ἄρξον ἀοιδᾶς ἐρατωνύμου*, alii fort. coniicient *Ἐρατοὶ νόμους.*

Fr. 45. Eustath. Π. 10, 1: *Οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται. ... Στησίχορος δὲ τὸ κύριον ἐκφωνεῖ ἐν τῷ Δεῦρ' κτλ.* Fortasse exordium *Ἰλίου πέρσιδος.*

Fr. 46. Aristid. II. 572: *Μέτειμι δ' ἐφ' ἕτερον προοίμιον κατὰ Στησίχορον· σκιαμαχεῖν μὲν οὖν πως οἶδ' ὅτι δεῖ· πρὸς οὓς γὰρ εἰρήσεται τὰ λεγόμενα, οὐχ ἥκουσιν, ὥστε συμβαίνει ἅμα μὲν σχεδὸν ὥσπερ ἂν εἰς μάτην γίγνεσθαι τοὺς λόγους, ἅμα δ' εἶναι σαφέστατον, ὡς ὀρθῶς καὶ προσηκόντως εἰρήσονται.* Videtur plura ex hoc Stesichori loco petiisse, et fort. huc pertinet Fr. 47.

Fr. 47. Zonar. 1338: *Μάτην, ἀντὶ τοῦ ματαίως· ἀπὸ τοῦ θηλυποῦ εἰς ἐπίρρημα· Στησίχορος· μάτας εἰπών. Lyrici* poetae haud dubie est, quod exhibet Hesych.: *Ἄτας κελαδεῖν· μάταια εἰπεῖν ἢ ἠχεῖν.*

Digitized by Google

48. [71.]

– ⏑ ⏑ – ⏑ ⏑ ⏑ ⏑ –

Αὐτόν σε Πυλαμάχε πρῶτον.

49. [84.]

– ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ – –

Κοιλωνύχων ἵππων πρύτανις, Ποσειδάν.

50. [68.]

. . . . ⏑ ⏑ – ⏑ – ⏑
⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – –
⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

. . . . *Μάλα τοι μάλιστα*
παιγμοσύνας φιλέει μολπάς τ' Ἀπόλλων·
κάδεα δὲ στοναχάς τ' Ἄϊδας ἔλαχεν.

51. [79.]

⏑ ⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ ⏑ – ⏑ – ⏑
– ⏑ . . . .

Ἀτελέστατα γὰρ καὶ ἀμάχανα τοὺς θανόντας
κλαίειν.

52. [80.]

⏑ ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ ⏑

Θανόντος ἀνδρὸς πᾶσ' ἀπολείπεται ἀνθρώπων χάρις.

Fr. 48. Athen. IV. 154. F: *Ὀπότε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει· ὡς ἐν τῷ πυγμάχος, ναυμάχος· Αὐτόνκτλ. παρὰ Στησιχόρῳ.* ubi *πυλαμάχε* AB, *πυλομάχε* P, *πυγμάχε* VL. Schol. Il. ε'. 31: *Ἄρεως δὲ τοῖς τείχεσι προσπελάζειν, καὶ ἔστιν ἐπίθετον (τειχεσιπλῆτα) ἀνάλογον τῷ παρὰ Στησιχόρῳ πυλεμάχῳ* unde *πυλαιμάχε* possis coniicere.

Fr. 49. Schol. Il. ζ'. 507: *Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν.*

Fr. 50. Plut. de *EI* ap. Delph. c. 21: *Καὶ πρότερος ἔτι τούτου ὁ Στησίχορος. Μάλα κτλ.* V. 1. *μάλιστα* ex dittographia ortum videtur, fort. scrib. *μάλιστα τοι.* — V. 2. *φιλέει* et V. 3. *κάδεα* Schneidewin, vulgo *φιλεῖ* et *κήδεα.*

Fr. 51. Stob. Floril. CXXIV. 15. *Στησιχόρου.* V. 1. *ἀτελέστατα,* B *ἀτέλεστα. καὶ* om. Trinc. — *ἀμάχανα* Schneidewin, vulgo *ἀμήχανα.*

Fr. 52. Stob. Floril. CXXVI. 5. *Στησιχόρου· Θανόντος ἀνδρὸς πᾶσ' ὄλυτ' ἀνθρ. χ.*, ita vulgo, et sic Apostol. VIII. 83, d., contra cod. Vind. marg. Gesn. *Θαν. ἀνδρ. πᾶσα πολιά ποτ' ἀ. χ.* hinc correxi *πᾶσ' ἀπολείπεται ἀν. χ.*, Scaliger coni. *Θανόντος ἀνδρὸς πᾶσ' ἀπόλλυται χάρις.* Kleine *πᾶσ' ἀπολλυται ποτ' ἀνθρ. χάρις.*

Digitized by Google

53. [77.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

---

54. [4.]

Schol. Apoll. Rhod. I. 230: *Ὁ γὰρ Μινύας πολλὰς εἶχε θυγατέρας· καὶ γὰρ ὁ Ἰάσων Ἀλκμήνης ἐστὶ τῆς Κλυμένης τῆς Μινύου θυγατρός, Στησίχορος Ἐτεοκλυμένης φησίν.* ' .

55.

Schol. Eurip. Rhes. 5: *Ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα — Στησίχορον δὲ ὁ Σιμωνίδης πενταφύλακον φησὶν ὑποτίθεσθαι τὴν νύκτα.* Ita correxi, similiterque Vater, vulgo *Στησίχορος* et *πάντα φύλ . . .* (sed cod. *στησιχρ.* et *πενταφυλ.*), ut Simonides in carmine aliquo Stesichori sententiam retulerit. Sed fortasse rectius Cobet: *Στησίχορον δὲ καὶ Σιμωνίδην* correxit, ut *φησί* ad grammaticum pertineat, quem scholiasta in epitomen redegit.

56. [61.]

Aristot. Hist. An. V. 9: *Πάντων δὲ σπανιώτατον ἰδεῖν ἀλκυόνα ἐστί· σχεδὸν γὰρ περὶ πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις πρῶτον ὅσον περιιπταμένη περὶ τὸ πλοῖον ἀφανίζεται εὐθύς· διὸ καὶ Στησίχορος τοῦτον τὸν τρόπον ἐμνήσθη περὶ αὐτῆς.*

57. [62.]

Athen. XII. 512. F: *Τοῦτον οὖν (τὸν Ἡρακλέα) φησὶν (Μεγακλείδης) οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν ληστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἰμεραῖον· καὶ Ξάνθος δ' ὁ μελοποιός, πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολήν, ἀλλὰ τὴν Ὁμηρικήν. Πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.* Cf. Eust. 1279, 8.

58. [63.]

Pausan. IX. 11, 1: *Ἐπιδεικνύουσι δὲ (οἱ Θηβαῖοι) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ὁμοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἰμεραῖος καὶ Πανύασις ἐν τοῖς ἔπεσιν ἐποίησαν.*

Fr. 53. Schol. Ap. Rh. III. 108: *Ῥαδινῆς, τρυφερῆς. — Στησίχορος ἐπὶ τοῦ εὐτόνου· Ῥαδινοὺς κτλ.* cod. P *ἔπεμπον.*

Digitized by Google

59. [64.]

Plutarch. de Herod. malign. c. 14: *Καί τοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμάν, οὐ Πίνδαρος Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.*

60. [69.]

Et. M. 772, 49: *Τυφωεύς· Ἡσίοδος αὐτὸν Γῆς γενεαλογεῖ, Στησίχορος δέ, Ἥρας μόνης κατὰ μνησικακίαν Διὸς τεκούσης αὐτόν.* cf. Eudoc. 406.

61. [73.]

Apollodor. III. 10, 3: *Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην την Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον.* Cf. Tzetz. ad Lycophr. 511.

62. [76.]

Schol. Apoll. Rhod. IV. 1310: *Πρῶτος Στησίχορος ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.*

63. [51.]

Aelian. Var. H. X. 18. postquam famam de *Daphnide* exposuit: *Ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ἤσθη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος, τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ Στησίχορόν γε τὸν Ἱμεραῖον τῆς τοιαύτης μελοποιΐας ἀπάρξασθαι.* Ex his sane coniicias iam Stesichorum famam de Daphnide carmine aliquo persecutum esse, et Welcker quidem existimat Aelianum Hist. Anim. XI. 13. secundum Stesichorum haec exposuisse.

64. [94.]

Strabo I. 42: *Ἡσίοδος δ' ἐν καταλόγῳ φησί· Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα γείνατο καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος. οὕτω δὲ καὶ Στησίχορος λέγει.*

65. [57.]

Vibius Seq. de Flumin. p. 11. ed. Oberl.: „Himera oppido Thermitanorum dedit nomen Himerae. Hoc flumen in duas findi partes ait Stesichorus, unam in Tyrrhenum mare, alteram in Libycum decurrere." Stesichorum patriam urbem laudibus prosecutum esse indicat Himer. Or. XXIX., qui locus sic videtur redintegrandus: (*Κοσμεῖ ο μὲν Ἀνακρέων τὴν Τ)ηΐων πόλιν τοῖς μέλεσι κἀκεῖθεν ἄγει τοὺς ἔρωτας, κοσμεῖ δὲ . . . . . καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ ἡ πόλις ἐσπούδασται· τὴν δὲ Χ(ον . . . . Ἱμέραν) δὲ ἀλ(?)..ον καὶ λόγοις κοσμεῖ Στησίχορος.*

Digitized by Google

66. [59.]

Aelian. Hist. Anim. XVII. 37: *Ἁλοῶντες ἄνθρωποι τοῦ ἡλίου καταφλέγοντος δίψῃ πιεζόμενοι τὸν ἀριθμὸν ἑκκαίδεκα ἕνα ἑαυτῶν ἀπέστειλαν ἐκ πηγῆς γειτνιώσης κομίσαι ὕδωρ. οὐκοῦν ὁ ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν· ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος ἀποπνιγόμενον ἤδη. Ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετός, οὐ μὴν κρείττων γενόμενος οὐδὲ τῆς ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο, οὐδὲ τοῦτο δὴ τὸ Ὁμηρικὸν τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἕρμασιν ἔμελλεν οὐ μὰ Δι' ἀπολεῖν, ἀλλ' ἀπολεῖσθαι. Εἰδὼς οὖν ὁ γεωργὸς ἢ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον καὶ ὑπηρέτην, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ τῷ προειρημένῳ διακόπτει τὸν θῆρα, καὶ μέντοι καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν καὶ δεσμῶν τὸν ἀετὸν ἀπολύει. Ὁδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο, ἀρυσάμενος δὲ τὸ ὕδωρ ἦκε καὶ πρὸς τὸν οἶνον κερασάμενος ἔμιξε πᾶσιν, οἱ δὲ ἄρα ἐξέπιον, καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ· ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε γὰρ ὑπηρέτης κατ' ἐκεῖνό πως τοῦ καιροῦ, ἀλλ' οὐ συμπότης ὤν. Ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγε, ὁ σωθεὶς ἀετὸς ζωάγρια ἐκτίνων οἱ καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκταράττει αὐτὴν καὶ ἐκχεῖ τὸ ποτόν. Ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν, καὶ λέγει· εἶτα μέντοι σὺ μὲν ἐκεῖνος ὢν (καὶ γὰρ καὶ τὸν ὄρνιν ἐγνώρισε) τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν καὶ ἄλλος σπουδὴν καταθέσθαι θελήσει εἴς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε καὶ ἐπόπτου; καὶ τῷ μὲν ταῦτα εἴρητο καὶ ἐφρύγετο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας. Ἦν δὲ ἄρα, ὡς συμβάλλειν, ἐμημεκὼς εἰς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν τῷ ἴῳ. Ὁ μὲν ἀετὸς τῷ σώσαντι ἀμοιβὴν τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν. Λέγει δὲ Κράτης ὁ Περγαμηνὸς ὑπὲρ τούτων καὶ τὸν Στησίχορον ᾄδειν ἔν τινι ποιήματι οὐκ εἰσφοιτήσαντί που εἰς πολλούς, σεμνόν τε καὶ ἀρχαῖον, ὥς γε κρίνειν ἐμέ, τὸν μάρτυρα εἰσάγων.* Cf. etiam Tzetz. Chil. IV. 302. Welckero ea, quae de Stesichoro fabulae auctore prodidit Crates vel Aelianus, ficta esse videntur.

67. [13.]

Argum. Hesiod. Scut. Herc.: *ὡσαύτως δὲ καὶ Στησίχορός φησιν Ἡσιόδου εἶναι τὸ ποίημα (Scutum).* Fort. in *Cycno* Stesichorus memoravit.

68. [17.]

Pausan. IX. 2, 3: *Στησίχορος δὲ ὁ Ἱμεραῖος ἔγραψεν ἐλάφου περιβαλεῖν δέρμα Ἀκταίωνι τὴν θεόν, παρασκευάζουσάν οἱ τὸν ἐκ τῶν κυνῶν θάνατον, ἵνα δὴ μὴ γυναῖκα Σεμέλην λάβοι.* Fabulam hanc peculiari carmine, quod fortasse Ἀκταιωνίς inscriptum, poeta persecutus videtur.

Digitized by Google

69. [29.]

Tzetz. ad Lycophr. 266: *Στησίχορος γὰρ καὶ Εὐφορίων καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς ποιητής φασι τὸν Ἕκτορα υἱὸν εἶναι Ἀπόλλωνος.* Eadem Schol. Lycophr. a Bachmanno editus et Schol. Hom. Il. ω'. 259.

70. [22.]

Plutarch. de Sollert. Anim. c. 36: *Ἡ δὲ Ὀδυσσέως ἀσπὶς ὅτι μὲν ἐπίσημον εἶχε δελφῖνα καὶ Στησίχορος ἱστόρηκεν.* Cf. Tzetz. ad Lycophr. 658: *Δελφινόσημον. Στησίχορός φησιν Ὀδυσσέα ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον καὶ Εὐφορίων ὁμοίως τούτῳ συμφθέγγεται.* Pertinet. fort. ad *Ἰλίου πέρσιν.*

71.

Philodem. de Mus. col. XX., ubi dicit improbabile esse a Thaleta et Terpandro Lacedaemoniorum dissidia composita esse: *τοὺς ἐ(πὶ τῶν) ἀγώνων ἔ(τ)ερπεν ὁ Τέρ(παν)δρος· τοὺς δὲ Λάκωνας ἀ(π)ειθεῖν προα(ι)ρουμένους (τῷ) μαντείῳ κα(ὶ) (λ)όγῳ δ' ἴσω(ς) προαχθέν-(τ)α(ς) ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κα(τὰ) Στησίχορ(ο)ν οὐκ ἀκρι(βῶς) ἱστο(ρεῖ)τ(αι), τ(ὸ δὲ) Π(ι)νδ(ά)ρειον, εἰ τῆς διχ(ον)οίας ἔπεισεν, οὐκ οἴδαμεν.* Stesichori memoria utrum ad Thaletam solum, an simul ad Terpandrum pertineat, incertum. Cf. ad Pindari Fr. 250.

72. [25.]

Schol. Il. ψ'. 92: *Διόνυσος Ἥφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα· διαχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου καὶ καταφυγὼν εἰς θάλασσαν φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος ἔδωκεν αὐτῇ τὸν Ἡφαιστότευκτον ἀμφορέα· ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ αὐτοῦ ἀποτεθῇ τὰ ὀστᾶ. Ἱστορεῖ Στησίχορος.*

73. [53.]

Plin. Hist. Nat. II. 12, 54: „Misera hominum mente — in defectibus scelera aut mortem aliquam siderum pavente, quo in metu fuisse Stesichori et Pindari vatum sublimia ora palam est deliquio solis." adde Plutarch. de fac. in orbe lunae c. 19: *εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις Στησίχορον καὶ τὸν Πίνδαρον ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν φανερώτατον κλεπτόμενον καὶ μέσῳ ἄματι νύκτα γινομένην καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν φάσκοντας.* Ex Stesichoro fort. sunt verba *μέσῳ ἄματι νύκτα γινομένην*, quamquam etiam ad Cydiam referri possunt.

74.

Etymol. Vindob. cod. CLVIII: *Αἴος· ὄνομα παρὰ Στησιχόρῳ.* Fuit fortasse nomen canis (*Mutus*).

Digitized by Google

75. [92.]

Ptolem. Hephaest. c. 120: *Περὶ δὲ τῶν παρὰ Στησιχόρῳ ζητουμένων ἀκεσταλίων ὀρνίθων.* ubi Roulez *ἀλκυόνων ὀρν.* tentavit.

76.

Cram. An. Ox. I. 205, 11: *Ἴαπτω, παρὰ τὸ ἴπτω, ἐξ οὗ καὶ το· Μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. Ἀνίψαλον παῖδα ἔφη ὁ Στησίχορος.* Cf. ib. 369, 19. Contra Etym. M. p. 110, 46: *Ἀνίψαλλον·* (VbD *ἀνίψανον*, quemadmodum etiam Hesychius) *τὸν ἀβλαβῆ . . . . ἀδιάφθορον, οἱ δὲ ἡλικίας τάξιν.*

77. [83.]

Athen. V. 180. E: *Καλεῖ δὲ Στησίχορος μὲν τὴν Μοῦσαν ἀρχεσίμολπον.* Cf. Eust. 1480, 22.

78.

Etym. Gud. 89, 31: *Ἄτερπνος· οὕτως ὁ ἄγρυπνος παρὰ Ῥηγίνοις, ὡς καὶ παρὰ Ἰβύκῳ καὶ Στησιχόρῳ.* Cf. Cram. An. Par. IV. 61, 22. Etym. M. 163, 8. not.

79. [93.]

Hesych.: *Βρυαλίκται· πολεμικοί, ὀρχησταὶ μὲν αἰδοίκου· Ἴβυκος καὶ Στησίχορος.* ubi cod. *ὥρχηται μεν.* O. Müller (Dor. II. 342.) *βρυαλλίκται* scribit, Hermann coni.: *Βρυαλίκται· πολεμικοὶ ὀρχησταί· Βρυαλίκται μενέδουποι. Ἴβυκος* ntl. similiter Haupt: *Βρυαλλίκται μενέδουποι· πολεμικοὶ ὀρχησταί.* Ego conieci *Βρυαλίκται· πολεμικοὶ ὀρχησταὶ μετὰ προσώπου* (vel *προσωπείου*), cum antea tentassem *πολεμικοὶ ἢ ὀρχησταὶ αἰσχροποιοί.*

80. [87.]

Hesych.: *Ναυκληρώσιμοι στέγαι· τὰ πανδοκεῖα, ἐπεὶ ἔνιοι ἐμπορεῖα λέγουσιν· ὡς καὶ Στησίχορος ἐμπορικὸν οἶκον φησίν.*

81.

Schol. ad Dionys. Thrac. in Bekk. An. II. 945, 25: *Οἷον ἔνδοθεν, ἔξοθεν παρὰ Στησιχόρῳ, πρόσσοθεν παρ' Ὁμήρῳ.*

82. [65.]

Etym. M. p. 100, 47: *Σφῆλον γὰρ τὸ ἰσχυρόν· Στησίχορος ἐρίσφηλον ἔφη τὸν Ἡρακλέα, ἴσον τῷ ἐρισθενεῖ.* (Va ὃ σημαίνει τὸ ἰσχυρὸν παρὰ Στησιχόρῳ) cf. Et. Gud. 53, 12.

Digitized by Google

83. [67.]

Et. M. 427, 48: *Στησίχορος δὲ Τάρταρον ἠλίβατον τὸν βαθὺν λέγει.* Eadem Hesych. v. *ἠλίβατον*, Phot. 66, 15. Schol. Lucian. pro merc. cond. 10. Schol. Victor. ad Arist. Av. 1739.

84. [23.]

Schol. Il. *ο'*. 333: *Τὸν Ὀϊλέα Ζηνόδοτος ἑπόμενος Ἡσιόδῳ καὶ Στησιχόρῳ χωρὶς τοῦ ο ὀνομάζει Ἰλέα.* Eust. 277, 2: *Τὸ δὲ Ὀϊλεὺς ψιλωτέον κατὰ τὴν ἄρχουσαν, ὡς ἓν μέρος λόγου κατὰ τὸν Ὅμηρον· Ἡσίοδος δέ, φασί, καὶ Στησίχορος διχῶς αὐτὸ προάγει. οὐ γὰρ μόνον τρισυλλάβως Ὀϊλεύς, ἀλλὰ καὶ δισυλλάβως Ἰλεύς.* Cf. idem 1018, 58.

85. [66.]

Schol. Hom. Il. *φ'*. 575: *Ἐπεί κεν ὕλαγμὸν ἀκούσῃ· Ἀρίσταρχός φησί τινας γράφειν κυνυλαγμόν. οὕτω καὶ Ζηνόδοτος· καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι, φησὶ γοῦν ἀπειρεσίοιο κυνυλαγμοῖο.* Eust. 1251, 61: *ἀπειρεσίου κυνυλαγμοῦ.* Possis *ἀπειρεσίῳ κυνυλαγμῷ* coniicere.

86. [91.]

Eust. 524, 28: *Καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς.* Cf. Ibyc. Fr. 16. v. 1.

87. [85.]

Choerob. I. 82. (Bekk. An. III. 1397): *Μεσόνυξ· μεσόνυχος, εἷς τῶν ἑπτὰ πλανήτων παρὰ τοῖς Πυθαγορείοις ὀνομάζεται· μέμνηται Στησίχορος.* si recte se habet poetae nomen.

88. [86.]

Schol. Apoll. Rhod. IV. 973: *Ὀρείχαλκος εἶδος χαλκοῦ. — μνημονεύει καὶ Στησίχορος καὶ Βακχυλίδης.*

89. [88.]

Phot. 412, 21: *Πέποσχα, Δωριέων τινὲς τούτῳ κέχρηνται, ὧν καὶ Στησίχορός ἐστιν.*

90. [70.]

Strabo VIII. 356: *Στησίχορον δὲ καλεῖν πόλιν τὴν χώραν Πίσαν λεγομένην, ὡς ὁ ποιητὴς τὴν Λέσβον Μάκαρος πόλιν.*

91. [90.]

Schol. Arist. Av. 1302: *Πηνέλοψ νήττῃ μέν ἐστιν ὅμοιον, περιστερᾶς δὲ μέγεθος· μέμνηται δὲ αὐτοῦ Στησίχορος καὶ Ἴβυκος.*

Digitized by Google

92.

Cram. An. Ox. I. 192, 1: *Ὁ γοῦν Στησίχορος φησὶ ποταύδη, ὃ λέγει ὁ ποιητὴς προσηύδα.*

93. [82.]

Eust. 772, 3: *Ἡ δὲ παροιμία τοὺς φθονεροὺς καὶ ψογεροὺς τελχῖνας, ὡς ἐκ τῶν εἰρημένων, καλεῖ· Στησίχορος δέ, φασί, τὰς κῆρας καὶ τὰς σκοτώσεις τελχῖνας προσηγόρευσε.*

94. [89.]

Schol. Pind. Ol. IX. 128: *Χάρμα, νῦν ἀντὶ τοῦ χαρά. Ὅμηρος δὲ ἐπὶ τῆς μάχης· οἱ δὲ περὶ Ἴβυκον καὶ Στησίχορον χάρμην τὴν ἐπιδορατίδα φασίν.*

95. [81.]

Eust. Od. p. 1441, 16: *Στησίχορος δέ, ὑπερθυμέστατον ἀνδρῶν.*

Paeanem Stesichori commemorat Athen. VI. 250. B; de *Hymno in Minervam*, quem nonnulli Stesichoro tribuunt, vid. ad Lamprocl. Fr. 1. — De *Elegiis* similibusque carminibus, quae Stesichoro tribuuntur in epistolis Phalarideis 19. seqq., nihil addam, cum omnia haec commenticia esse satis constet. — Stesichori nomen saepius ex errore ortum, veluti in Append. Phot. 676, 7. scribitur *Στησίχορος* pro *Φιλόχορος*, et in Et. M. 465, 33. V male *Στησίχορος ἐν τῷ περὶ τελετῶν* pro *Στησιμβροτος*. sed fortasse alibi Stesichori potius nomen oblitteratum, velut ap Schol. Apoll. Rhod. I. 1304: *Στησιμβροτος δέ φησιν, ὅτι διαφορὰν ἔσχον (οἱ Βορεάδαι) πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσιν.* Poterat hoc Stesichorus in *ἄθλοις ἐπὶ Πελίᾳ* commemorare. Porro fortasse ap. Phot. et Suidam v. *Τυφλότερος σπάλακος* (cf. Paroemiogr. I. 309.) ... *τοῦτο τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς· φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι, διὰ τὸ φθείρειν τοὺς καρπούς* scribendum *Στησίχορος*. — Quod est ap. Arist. Rhet. II. 21: *Ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἴ τις λέγοι, ὅπερ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν.* aperte *apophthegma* est, quod magis etiam confirmat Aristot. Rhet. III. 11. ubi repetit. (cf. etiam Demetr. de elocut. 99. et 234. et Rhett. Gr. ed. Walz VII. 1154.) — Item carminum reliquiis eximendum est, quod adhibet Aristot. Rhet. II. 20: *Λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φάλαριν καὶ Αἰσώπου περὶ τοῦ δημαγωγοῦ. Στησίχορος μὲν γὰρ ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος τἄλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον, ὡς ἵππος κατεῖχε λειμῶνα μόνος· ἐλθόντος δὲ ἐλάφου καὶ διαφθείροντος τὴν νομήν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ πολάσαι τὸν ἔλαφον. ὁ δὲ ἔφησεν, ἐὰν λάβῃ χαλινόν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια· συνομολογήσαντος δὲ καὶ ἀναβάντος, ἀντὶ τοῦ*

Digitized by Google

τιμωρήσασθαι αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ· οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε, μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι. Similia refert Conon Narr. XLII. cf. etiam Rhett. Walz. I. 424.

XVI.

I B Y C U S.

1. [1.] *)

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ –
– – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – –

Ἦρι μὲν αἵ τε Κυδώνιαι στρ.
μηλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κῆπος ἀκήρατος, αἵ τ' οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑφ' ἕρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ' ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν, ἄϑ' ὑπὸ στεροπᾶς φλέγων
Θρηΐκιος βορέας,

Ibycus. De Ibyci carminibus vid. Hermann in Iahnii Annal. IX. 371. seqq. et Welcker Opusc. I. 226. Fr. 1. Athen. XIII. 601. B: Καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος βοᾷ καὶ κέκραγεν· Ἦρι κτλ. — V. 2. μηλίδες, A μολίδες, Ursin. μαλίδες. — ῥοᾶν VL, ῥοὰν AP. — V. 3. παρθένων, Boissonade Παρθένων. — V. 4. κῆπος, Naeke κᾶπος. — οἰνανθίδες, B οἰναθίδος — V. 5. ὑφ' ἕρνεσιν, Stephanus ὑπ' ἔρνεσιν. — V. 6. θαλέθοισιν AB, θαλέθουσιν PVL. — ἔρος A, ἔρως PVL. — V. 7. κατάκοιτος VL, κατάκητος ABP. — ἄϑ' Iacobs, itaque olim Hermann, qui post τὶς, libri τε. — V. 8. Θρηΐκιος Fiorillo, θρηΐκοις AB, θρηϊκίοις PVL.

*) Numeri adiecti sunt editionis Schneidewinianae.

Digitized by Google

ἄσσων παρὰ Κύπριδος ἀζαλέαις μανίαισιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως παιδόθεν φυλάσσει

ἡμετέρας φρένας. ἀντ.

2. [2.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακέρ' ὄμμασι δερκόμενος
κηλήμασι παντοδαποῖς ἐς ἄπειρα δίκτυα Κύπριδι βάλλει·
ἢ μὰν τρομέω νιν ἐπερχόμενον,
ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀέκων
σὺν ὄχεσφι θοοῖς ἐς ἅμιλλαν ἔβα.

3.

⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –

Φλεγέθων, ἅπερ κατὰ νύκτα μακρὰν σείρια παμφανόωντα.

V. 9. ἄσσων scripsi, libri ἀΐσσων. — μανίαισιν B, μανίαις PVL. — ἀθαμβὴς ἐγκρατέως Hermann (sed idem nuper ἀθαμβέσιν ἄρδισιν et deinde ἔφλασεν, quorum primum et postremum ego conieci, cum olim ἐρυμνὸς ἀθαμβείῃσι κραταιῶς scripsisset), A ἀθάμβησε κραταιῶς, P ἀθάμβησεν (hoc etiam B) κραταιῶς, VL ἀθάμβησε κραταιός, Schneidewin ἀταρβὴς κραταιῶς. — V. 10. παιδόθεν, Naeke πεδόθεν, Mehlhorn παῖς ὄθεν. — φυλάσσει, P φυλάξου, Naeke τινάσσει, ego olim ἔφλασεν. — V. 11. ἡμετέρας, Hermann alii ἀμετέρας.

Fr. 2. Plato Parmenid. 137. A: Καίτοι δοκῶ μοι τὸ τοῦ Ἰβυκείου ἵππου πεπονθέναι, ᾧ ἐκεῖνος ἀθλητῇ ὄντι καὶ πρεσβυτέρῳ ὑφ' ἅρματι μέλλοντι ἀγωνιεῖσθαι καὶ δι' ἐμπειρίαν τρέμοντι τὸ μέλλον, ἑαυτὸν ἀπεικάζων. ἄκων ἔγη καὶ αὐτὸς οὕτω πρεσβύτης ὢν εἰς τὸν ἔρωτα ἀναγκάζεσθαι ἰέναι. ubi Schol. p. 329: Τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρως κτλ. Eadem Proclus V. 316. ed. Cousin: λέγει δέ πως οὕτως ὁ μελοποιὸς (Ἴβυκος)· Ἔρως κτλ. V. 1. Ἔρος cod. Darmst. (Schol. Plat.) a. m. s., ceteri Ἔρως. — αὖτε, Procl. αὖ τε, Hermann δαῦτε. — βλεφάροις, cod. Darm. βλεφάροισιν. — τακέρ', libri τακερὰ, Siebenkees τακεροῖς. — ὄμμασι, cod. Darm. ὄμματα. — V. 2. ἐς, libri εἰς. — ἄπειρα, Schneidewin coni. ἀπείρονα. — Κύπριδι Schoemann emendavit, libri Κύπριδος. — βάλλει, Hermann βάλεν, Schneidewin olim εἰςέβαλεν, post βάλλησιν. — V. 3. τρομέω νιν, Darmst. τρομέων ἴν', Procl. τρομέω ἐπερχόμενος. — V. 4. ὥστε, Procl. ὥστις. — γήραϊ, Melhorn γήρᾳ, hoc verbo versum terminans. — ἀέκων, Darmst. Procl. ἀσκῶν. — V. 5. ὄχεσφι, Ursin. ὄχεσι. — θοοῖς, Darmst. a. m. pr. Procl. θεοῖς. — ἔβα, ἔβαν cod. B Procli et Vat. Ursin.

Fr. 3. Theon Smyrn. de Astronom. 202. ed. Martin: Κοινῶς τε γάρ, φησὶν ὁ Ἀδραστος, πάντας τοὺς ἀστέρας οἱ ποιηταὶ σειρίους καλοῦσιν, ὡς Ἴβυκος· φλεγέθων κτλ. — ἅπερ Martin, cod. ἄπερ. — κατὰ scripsi, cod. τὰ, Martin τὰν, Schneidewin ἅπερ τ' ἀν. Huc pertinet Hesych.: Σείριος· ὁ ἥλιος — Ἴβυκος δὲ πάντα τὰ ἄστρα. Similiter Suid. v. Σείριον et Phot. 513, 10: Ἴβυκος δὲ πάντα τὰ ἄστρα σείρια λέγει.

Digitized by Google

4. [3.]

x – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑

Λἰεί μ', ὦ φίλε θυμέ, τανύπτερος ὡς ὅκα πορφυρίς.

5. [4.]

⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑

Εὐρύαλε, γλαυκέων Χαρίτων θάλος,

καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις
ἄ τ' ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν.

6. [7.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑

Μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα.

7. [8.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Τᾶμος ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρησιν ἀηδόνας.

Fr. 4. Athen. IX. 388. E: *Ἐν ἄλλοις δέ φησιν (Ἴβυκος*, v. fr. 8.)· *Λἰεί κτλ.* — *αἰεί*, Valckenaer coniecit *αἴρεις μ'*. Fort. *ἄημ'* activa forma pro media. — *θυμέ* Valckenaer emendavit, codd. *οὔ με*. — *ὅκα*, B *ὁκηπορφυρίς*.

Fr. 5. Athen. XIII. 564. F: *Ὁ δὲ τοῦ Κυθηρίου Φιλοξένου Κύκλωψ ἐρῶν τῆς Γαλατείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευόμενος τὴν τύφλωσιν, πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ τῶν ὀφθαλμῶν μνημονεύει λέγων ὧδε· Ὦ καλλιπρόσωπε, χρυσεοβόστρυχε Γαλάτεια, χαριτόφωνε κάλλος ἐρώτων. Τυφλὸς ὁ ἔπαινος καὶ κατ' οὐδὲν ὅμοιος τῷ Ἴβυκείῳ ἐκείνῳ· Εὐρύαλε κτλ.* Cf. Eustath. p. 1558, 17. V. 1. *γλαυκέων*, Iacobs *γλυκέων*, Schneidewin *γλυκεᾶν*. — *θάλος* ABC, *θάλλος* PVL, *θάλαμος* Eust. Deinde coni. Bothe *καλλίκομον μελέδημα*, Iacobs *καλλικόμων μελέδημ' Ἐρώτων*, sed potius post hunc versum alius excidit, quod vel metrum arguit, et Athenaei locus suadet, nam oculorum venustas praeconio ornanda fuit: versus qui intercidit fort. terminabatur voce *ὀφθαλμός*, — V. 3. B *πειθωδωρέοισιν*. — *ἐν* om. C Eust.

Fr. 6. Athen. XV. 681. A: *Καὶ Ἴβυκος (μνημονεύει τοῦ ἑλιχρύσου)· Μύρτα τε καὶ ἴα κτλ.* V. 2. *τέρεινα* Canter, vulgo *τέρινα*.

Fr. 7. Herodian. *περὶ σχημ.* 60, 24: *τὸ δὲ (σχῆμα) Ἰβύκειον καὶ λέξεως καὶ συντάξεώς ἐστιν, γίνεται δὲ ἐν τοῖς ὑποτακτικοῖς τρίτοις προσώποις τῶν ῥημάτων κατὰ πρόσθεσιν τῆς σι συλλαβῆς. — καλεῖται δὲ*

Digitized by Google

8. [13.]

Τοῦ μὲν πετάλοισιν ἐπ' ἀκροτάτοισι ξανθοῖσι ποικίλαι πανέλοπες, αἰολόδειροι λαθιπορφυρίδες, καὶ ἀλκυόνες ταν-σίπτεροι.

9. [15.]

– ⏑ ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑
⏑ ⏑ ⏑ – ⏑ ⏑ –

Γλαυκώπιδα Κασσάνδραν, ἐρασιπλόκαμον κούραν Πριάμοιο φᾶμις ἔχησι βροτῶν.

10. [22.]

⏑ ⏑ ⏑ ⏑ ⏑ – –

Ὀνομακλυτὸν Ὀρφην.

Ἰβύκειον, οὐχ ὅτι Ἴβυκος πρῶτος ἐχρήσατο· δέδεικται γὰρ καὶ παρ' Ὁμήρῳ πρότερον· ἀλλ' ἐπεὶ πολὺ καὶ κατακορὲς παρ' αὐτῷ. Καὶ γὰρ γλαυκώπιδα — καὶ δι' ἑτέρων· Τᾶμος (A ταμὸς) *κτλ., ἀντὶ τοῦ ἐγείρῃ. — ἄϋπνος*, Schneidewin *ἀΰπνους*, nisi forte hoc loco lectum fuit *ἀτερπνος*, vid. Fr. 51. — *ἐγείρησιν*, vulgo *ἐγείρησιν*. — *ἀηδόνας*, A *ἀειδονὰς*. — Ceterum *κλυτὸς ὄρθρος* respicinnt Plutarch. Sympos. Quaest. VII. 3, 5. Etym. M. 440, 53. Schol. Hom. Od. *ι'*. 364.

Fr. 8. Athen. IX. 388. D: *Πορφυρίς· Καλλίμαχος ἐν τῷ περὶ ὀρνίθων διεστάναι φησὶν πορφυρίωνα πυρφυρίδος, ἰδίᾳ ἑκάτερον καταριθμούμενος· τὴν τροφὴν τε λαμβάνειν τὸν πορφυρίωνα ἐν σκότῳ καταδυόμενον, ἵνα μή τις αὐτὸν θεάσηται· ἐχθραίνει γὰρ τοὺς προσιόντας αὐτοῦ τῇ τροφῇ. τῆς δὲ πορφυρίδος καὶ Ἀριστοφάνης ἐν Ὄρνισι μνημονεύει· Ἴβυκος δέ τινας λαθιπορφυρίδας* (sic Schweighaeuser, libri *λαθιπόρφυρας*) *ὀνομάζει διὰ τούτων. τοῦ μὲν π. ἐπ' ἀ.* (P *ἐπακροτάτοισι*) *ξανθοῖσι* (B *ξανθίαι*) *αδοπορφυρίδες* (sic ABP, nisi quod B *ἀδ.*) *καὶ ἀλ. τ.* Recte videtur Schweighaeuser *λαθιπορφυρίδες*, restituisse, nam secundum Callimachum videtur Ibycus hoc nomine eam avem dixisse, quae alias *πορφυρίων* vocabatur. Schneidewin, cum olim coniecisset *πανέλοπες παμποικίλοι αἰολόδειροι ἀλκυόνες θ' ἁλιπορφυρίδες τε τανύπτεροι*, postea probavit Hermanni coni.: *ξανθαὶ ποικίλαι αἰολόδειροι πανέλοπές θ' ἁλιπορφυρίδες τε καὶ ἀλκυόνες ταν-σύπτεροι*. Conieci *ξὺν ἀκανθίσι ποικίλαις* (vel *ξὺν ἀκανθίδι ποικίλᾳ*) *πανέλοπές τ' αἰολόδειροι λαθιπορφυρίδες τε καὶ ἀλκυόνες ταν-σίπτεροι*. Quamquam fort. aliud quid latet, nescioque an Hesychii et Photii glossa *Ξάνθοισιν· ὀρνέοις* huc pertineat. — Ceterum Schol. Arist. Av. 1302: *ὁ πηνέλοψ νήττῃ μέν ἐστιν ὅμοιον, περισσοτέρᾳ δὲ μέγεθος· μέμνηται δὲ αὐτοῦ Στησίχορος καὶ Ἴβυκος.* ut coniicias haec ex ambiguo carmine petita esse.

Fr. 9. Herodian. *περὶ σχημ.* 60, 31: *Καλεῖται δὲ Ἰβύκειον, οὐχ ὅτι Ἴβυκος πρῶτος ἐχρήσατο, — ἀλλ' ἐπεὶ πολὺ καὶ κατακορὲς παρ' αὐτῷ· Καὶ γὰρ Γλαυκώπιδα κτλ. — καὶ γὰρ*, quod Grammatici est, poetae tribuit Schneidewin. V. 1. A *λευκὰ πίδακας ἀνδρανέρασι πλόκαμον κόρην· πριάμου*, CD *γλαυκώπιδι κασάνδρα ἐρασιπλόκαμον κόραν πριάμοιο*, B *γλαυκώπιδα κασσάνδρα πριάμου*. — *κούραν* cum Schneidewino scripsi. — V. 2. *φᾶμις*, A *ϕαμῆς*, D *ϕάτις*.

Fr. 10. Priscian. I. 283. Krehl. *„In eus Graeca sunt et us in i mutantia faciunt genitivum, ut hic Tydeus, Tydei. In huiuscemodi tamen terminatione quaedam inveniuntur mutatione eus diphthongi in es longum prolata, ut*

Digitized by Google

11. [17.]

Diomed. I. 307. Putsch.: „Ut est Ulyssi agnomen Polytlas. Nam praenomen est, ut ait Ibycus, Ulysses, nomen Acrisiades, cognomen Odysseus. Et ordinantur sic: *Ulysses Acrisiades Odysseus Polytlas.*" cod. Gott. *Olixes* (ed. Ven. *Ulixes*) *Arcisiades . . . polilas.* Ibycus fort. dixit: ... *ἐκαλεῖτο δ' Ὀλυσσεὺς* (vel *Ὀλιξεὺς*) *Ἀρκεισιάδας Ὀδυσεὺς ὁ πολύτλας.*

12. [19.]

Οὐ γὰρ ἄὗσιον παῖς Τυδέως.

* 13.

⏑ ⏑ – ⏑ ⏑ – ⏑

Ἑλένα Μενελαΐς.

14. [24.]

x
– – ⏑ ⏑ ⏑ – ⏑

Ἀλθαία Μελεαγρίς.

15.

⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – –

Παρελέξατο Καδμίδι κούρᾳ.

Ἀχιλλεὺς Achilles, Περσεὺς Perses, Ὀδυσσεὺς Ulixes. In quo Dores sequimur, qui pro Φιλεὺς Φίλης, pro Ὀρφεὺς Ὄρφης et Ὄρφην dicunt, pro Τυδεὺς Τύδης. Sic Antimachus in primo Thebaidos Τύδης τ' Οἰνείδης. Et vocativum in e productum Τὸν καὶ φωνήσας προσέφης Οἰνήϊε Τύδη, teste Herodiano, qui hoc ponit in primo Catholicorum. Similiter Ibycus Ὄνομα κλυτὸν Ὄρφην, ubi cod. Halberst. *ὀνομα και τον Ορφην,* codd. Gud. et Helmst. *ορφη,* unde Schneidewin *Ὀνομάκλυτος Ὄρφη,* ut sit vocativus, sed Priscianus potius nominativum adhibuisse videtur, itaque coniicio

Ὀνομάκλυτος Ὀρφήν.

nam oxytonon esse *Ὀρφὴν* docet Arcadius 8, 15.

Fr. 12. Et. M. 171, 7: *Ἄὗσιον· καὶ ὁ μὲν Ἴβυκος ἄὗσιον λέγει, οἷον· οὐ γὰρ ἄὗσιον παῖς Τυδέως. Τυδέος* Schneidewin, sed possis etiam *Τυδέω* (*Τύδεω*, a nomin. *Τύδης*) coniicere.

Fr. 13. et 14. Diomed. I. 310. ed. Putsch.: „Aut a maritis, ut Helena Menelais, aut a filiis, ut Althea Meleagris, sicut Ibycus Graecus retulit." Utrumque exemplum Ibyci videtur esse.

Fr. 15. Cram. An. Ox. I. 255, 7: *Καδμηΐδι γαίῃ. Ὥσπερ παρὰ τὸ Ἀάρδανος ἐκπίπτει πατρωνυμικὸν εἰς ις Ἀαρδανὶς καὶ παρὰ τὸ Πρίαμος Πριαμίς, οὕτως ἔδει καὶ παρὰ τὸ Κάδμος Καδμίς· τὸ ἄρα Καδμηὶς ἐπλεόνασε τὸ η̄· ὅτε οὖν φησὶν ὁ Ἴβυκος· Παρελ. κτλ., τὸ ὀφειλόμενον ἀπέδωκεν.*

Digitized by Google

16. [27.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ –

Τούς τε λευκίππους κόρους
τέκνα Μολιόνας κτάνον,
ἅλικας ἰσοκεφάλους, ἐνιγυίους,
ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ ἀργυρέῳ.

17. [43.]

Πυκινὰς πέμφιγας πιόμενοι.

18. [44.]

⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Οὔτι κατὰ σφετερὰν ἐέλδωρ.

19. [45.]

Ἐσθλὸν προδεδεγμένον ἐέλδωρ.

20. [37.]

Οὐδὲ Κυάρης ὁ Μήδων στρατηγός.

Fr. 16. Athen. II. 57: *Ἴβυκος δ' ἐν πέμπτῳ μελῶν περὶ Μολιονιδῶν φησί· Τούς τε κτλ.* Cf. Eustath. 1686, 47. V. 1. *κόρους* Dindorf, vulgo *κούρους*. — V. 2. *κτάνον* BCD, L *κτανόντα*, V *κτάνονταν*. — V. 3. *ἰσοκεφάλους*, fort. cum Schneidewino *ἰσοκεφαλλους*, Hermann *ἰσοκαράνους* coniecit, *ἰσοπάλους* Meineke. — *ἐνιγυίους* Schneider Saxo, libri *ἐνιγύους*. — V. 4. *ὠέῳ* Eustath., vulgo *ᾠεῷ*.

Fr. 17. Galen. VXII. P. I. 881: *Ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι (πέμφιξ) — παρ' Ἰβύκῳ· Πυκ. κτλ. λέλεκται δ' οὗτος ὁ λόγος αὐτῷ κατά τινα παραβολὴν ἐπὶ χειμαζομένων εἰρημένην. διὸ καὶ τῶν προγνωστικῶν οἱ πλεῖστοι ἐπὶ τῶν κατὰ τοὺς ὄμβρους σταγόνων εἰρῆσθαί φασι τὰς πέμφιγας.*

Fr. 18. Herodian. *περὶ μον.* p. 32, 20: *οὐδὲν εἰς ωρ λῆγον οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἔχει συμπλοκὴν δύο συμφώνων πρὸ τοῦ ω̄. — Ἔλδωρ, οὐ γὰρ συμπλοκὴ ἐνθάδε, ἀλλὰ διάστασις. Ὁ δὲ Ἴβυκος ἔσθ' ὅτε καὶ θηλυκῶς προφέρεται· Οὔτι κτλ.* Mirum sane *ἐέλδωρ* dictum *θηλυκῶς*, nam ap. Hesych. *Ἔλπωρ· ἡ ἐλπίς* recte videntur *ἐλπωρή* corrigere. Itaque Schneidewin *ἐελδώ* coniecit.

Fr. 19. Herodian. *π. μον. λέξ.* p. 32, 25: *Καὶ ἐσθλὸν προδεδεγμένον ἐέλδωρ,* (*Ἴβυκος*) ubi fort. *προδεδειγμένον ἐλδωρ* scribendum. Schneidewin hic quoque vult *ἐσθλὰν ποτιδεγμένων ἐελδώ* legere, at ipse Herodianus indicat Ibycum etiam altero genere usum esse.

Fr. 20. Et. M. 542, 51: *Κυάρης· Ἴβυκος· οὐδὲ Κυάρης* (D *καρύας*, M *Κυάρας*) *ὁ Μήδων* (DM *Μηδεῖ*) *στ. — τινὲς λέγουσιν ἀπὸ τοῦ Κυαξάρης γέγονε κατὰ συγκοπήν· ἄλλοι δὲ ἀπὸ τοῦ κυρὰ* (*Κῦρος*) *κατὰ πλεονασμόν.* Fort. leg. *οὐδὲ Κυάρας ὁ Μηδείων στραταγός.*

Digitized by Google

21. [52.]

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Δαρὸν δ' ἄνεω χρόνον ἦστο τάφει πεπηγώς.

22. [32. 33. 34.]

. . ⏑ ⏑ – ⏑

⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –

⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑

. . *Παρὰ χέρσον*
λίθινον ἔκλεκτον παλάμαισι βροτῶν·
πρόσθε δέ νιν πεδ' ἀναριτᾶν
ἰχθύες ὠμοφάγοι νέμοντο.

23. [31.]

Schol. Theocr. I. 115: *Ἀρέθουσα κρήνη ἐν Συρακούσαις ἢ ἐν Σικελίᾳ, ἧ φασὶ διὰ πελάγους Ἀλφειὸν ἥκειν, ὡς φησιν Ἴβυκος, παρ-ιστορῶν περὶ τῆς Ὀλυμπίας* (fort. *Ὀλυμπίασι*) *φιάλης.* Ex eodem ut videtur carmine petitum, ex quo est Fr. 22.

24. [51].

⏑ – ⏑ – ⏑ – ⏑ –

– ⏑ – – ⏑ – – – ⏑ – –

Fr. 21. Herodian. *περὶ μον. λέξ.* 36, 2: *τάφος, — ὁπότε δὲ ἐπὶ τῆς ἐκπλήξεως παραλαμβάνεται, γένος ἐπιδέχεται τὸ οὐδέτερον· Ἡ δ' ἄνεω δὴν ἦστο, τάφος δέ οἱ ἦτορ ἵκανε. Ἀλλ' ἴσως τοῦτο ἀμφίβολον· ὁ μέντοι Ἴβυκος διέστειλε τὸ γένος ἐν τῷ πρώτῳ, σχεδὸν τὸ Ὁμηρικὸν μεταβαλών· Δαρὸν δάρθοι χρ. ἡ. τάφειες πεπηγώς.* Schneidewin *δαρὸν δαρὸν χρόν. ἡ. τάφει πεπαγώς*, Hermann *δαρὸν παρὰ οἷ*, ego in proecdosi *δαρὸν δαρῷ χρ.*, nunc malui *δ' ἄνεω* scribere, ut Ibycus prorsus cum Homero consentiat, quemadmodum etiam Nauck coniecit. Lehrs *δάρθοι* ex dittographia ortum existimat.

Fr. 22. Schol. Pind. Nem. I. 1: *Ἡ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος εἶτα προσχωσθεῖσα χερρόνησος γέγονεν, ὡς καὶ Ἴβυκος ἱστορεῖ· Παρὰ χέρσον λίθινον τὸν παλάμαις βρ. πρόσθενιν παῖδα νήριτον* (Ursinus *πέδον νήριτον*, Casaubonus *πέδα Νηρήδων*, egregie Boeckh *πεδ' ἀναριτᾶν*·vel *πέδα νηριτᾶν*) *ἰχθύες ὠμ. ν.* Resp. Strabo I. 59: *Ἐπὶ τῆς πρὸς Συρακούσας νήσου νῦν μὲν γέφυρά ἐστιν ἡ συνάπτουσα αὐτὴν πρὸς τὴν ἤπειρον, πρότερον δὲ χῶμα, ὥς φησιν Ἴβυκος, λογαίου λίθου, ὃν καλεῖ ἔκλεκτον.* Cf. Athen. III. 86. B: *Τοῦ δ' ἀναρίτου* (*μέμνηται*) *Ἴβυκος.* V. 1. *παρὰ*, Boeckh *πὰρ.* — V. 2. *ἔκλεκτον* pro *τὸν* Boeckh ex Strabone restituit. *παλάμαισι* scripsi, v. *παλάμαις.* — V. 3. *πρόσθε δέ* scripsi, vulgo *πρόσθε*, Casaubonus et Boeckh *πρόσθεν.* — *πεδ' ἀναριτᾶν*, fort. *πεδ' ἀναριτᾶν*, siquidem Athen. addit: *καλεῖται δ' ὁ ἀναρίτης καὶ ἀνάρτας* (B *ἀνάρτης*).

Digitized by Google

Δέδοικα, μή τι παρ θεοῖς
ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων αμείψω.

25. [38.]

Aelian. Hist. Anim. VI. 51. de dipsade: *Δεῖ δὲ καὶ μῦθον τῷδε τῷ ζῴῳ ἐπᾷσαί με, ὁςπεροῦν ἀκούσας οἶδα, οὐ σιωπήσομαι τοῦτον, ὡς ἂν μὴ δοκοίην ἀμαθῶς ἔχειν αὐτοῦ. Τὸν Προμηθέα κλέψαι τὸ πῦρ Ἡφαίστῳ φησὶ καὶ τὸν Δία ἀγανακτῆσαι ὁ μῦθος λέγει, καὶ τοῖς καταμνηνύσασι τὴν κλοπὴν δοῦναι φάρμακον γήρως ἀμυντήριον· τοῦτο οὖν ἐπὶ τῷ ὄνῳ θεῖναι τοὺς λαβόντας πέπυσμαι, καὶ τὸν μὲν προϊέναι τὸ ἄχθος φέροντα, εἶναι δὲ ὥραν θέρειον, καὶ διψῶντα τὸν ὄνον ἐπί τινα κρήνην κατὰ τὴν τοῦ ποτοῦ χρείαν ἐλθεῖν· τὸν οὖν ὄφιν τὸν φυλάττοντα ἀναστέλλειν αὐτὸν καὶ ἀπελαύνειν, καὶ ἐκεῖνον στρεβλούμενον μισθόν οἱ τῆς φιλοτησίας δοῦναι, ὁπεροῦν ἔτυχε φέρων φάρμακον. οὐκοῦν ἀντίδοσις γίνεται, καὶ ὁ μὲν πίνει, ὁ δὲ τὸ γῆρας ἀποδύεται, προςεπιλαβών, ὡς ὁ μῦθος, τὸ τοῦ ὄνου δίψος. Τί οὖν, ἐγὼ τοῦ μύθου ποιητής; ἀλλ' οὐκ ἂν εἴποιμι, εἰ καὶ πρὸ ἐμοῦ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς καὶ Δεινόλοχος ὁ ἀνταγωνιστὴς Ἐπιχάρμου καὶ Ἴβυκος ὁ Ῥηγῖνος καὶ Ἀριστέας καὶ Ἀπολλοφάνης ποιηταὶ κωμῳδίας ᾄδουσιν αὐτόν.*

26. [39].

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Ἔριδος ποτὶ μάργον ἔχων στόμ' ἀντία δῆριν ἐμοὶ κορύσσοι.

27.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Οὐκ ἔστιν ἀποφθιμένοις ζωᾶς ἔτι φάρμακον εὑρεῖν.

Fr. 24. Plut. Quaest. Symp. IX. 15, 2: *Διὸ καὶ πέπονθεν, ὃ φοβηθεὶς Ἴβυκος ἐποίησε· Δέδοικα κτλ.* Plato Phaedro 242. C: *ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον, καί πως ἐδυσωπούμην κατ' Ἴβυκον, μή τι κτλ.* Inde a *μή τι* affert Suid. v. *ἀμπλακὼν* et *Ἰβύκειον ῥησείδιον* et v. *μή τι*. Resp. Synes. Epist. 115: *οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον, τὸ μή τι περὶ θεὸν ἀ. τ. π. ἀ. ἐφεύρω*, ubi cod. Gud. ap. Schneidewin *δέδοικα μή τι* et in marg. *Ἰβύκου τινὸς παλαιοῦ. ἔστιν πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ ῥησείδιον* et Marin. vit. Procli c. 1. V. 1. *παρ* Schneidewin et Dübner in Plut. (fort. ex codd.), vulgo *παρὰ*. — V. 2. *ἀμβλακὼν* 𝔄*ΛΙΙGT* apud Plat., ceteri omnes *ἀμπλακὼν*. — *τιμὰν*, 𝔄 ap. Plat. *τιμᾶν*. — *ἀμείψω*, Suid. tertio loco *ἀμείψῃ*.

Fr. 26. Porphyr. in Ptolem. Harmon. in Vallis. Opp. T. III. p. 255: *Ταχέως γὰρ ἄν τις τῶν ἀπείρων μὲν μουσικῆς καὶ τῶν τοιούτων θεωρημάτων, ἃ νῦν ψηλαφῶμεν ἡμεῖς, ἐν δὲ τοῖς σοφιστικοῖς λόγοις καλινδουμένων Ἔριδος ποτὲ* (Stephanus *ποτὶ*) *μ. ἔ. στ., φησίν που Ἴβυκος, ἀντία δῆριν ἐνίοις* (ita Stephanus) *κορύσσοι*. Codd. ME *νενοοινορύσσοι*, D *ἐνιοικορύσσοι*, Gud. *δηρϊ νενόοι νορύσσοι*. Emendavit Nauck. *ὄνῳ κορύσσοι* Schneidewin, *ἂν ὗς κορύσσοι* Lobeck. Ceterum post *στόμ'* quaedam excidisse videntur.

Fr. 27. Chrysippus *περὶ ἀποφατ.* c. 14: *Εἰ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ Οὐκ ἔστιν κτλ. Ἴβυκος ὁ ποιητὴς οὕτως ἀπεφαίνετο· οὐκ ἔστιν κτλ.* et quater repetit, ubi primo loco cod. *ἔτι φθιμένοις*, sed supra *ἀπο* scriptum.

Digitized by Google

28. [41.]

. . ⏑ – –̄ ⏑ –́ ⏑ ⏑ – ⏑ –

. . *Ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει.*

29.

Κλάδον Ἐνυαλίου.

30. [5.]

Schol. Apoll. Rh. III. 158: *Διὰ τούτων στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν ἐν τῇ εἰς Γοργίαν ᾠδῇ· καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν.*

31. [10.]

Schol. Apoll. Rh. III. 26: *Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ Χάους λέγει γενέσθαι τὸν Ἔρωτα.* Cf. Eudoc. 158.

32. [11.]

Athen. XIII. 603. D: *Ῥαδαμάνθυος δὲ τοῦ δικαίου Ἴβυκος ἐραστήν φησι γενέσθαι Τάλων.*

33. [12.]

Athen. II. 39. B: *Ἴβυκος δέ φησι τὴν ἀμβροσίαν τοῦ μέλιτος κατ' ἐπίτασιν ἐνναπλασίαν ἔχειν γλυκύτητα, τὸ μέλι λέγων ἔνατον εἶναι μέρος τῆς ἀμβροσίας κατὰ τὴν ἡδονήν.* Cf. Eust. 1633, 11. Pro *ἔνατον* Meineke coni. *δέκατον*, collato Schol. Pind. Pyth. IX. 113: *ἔστι δὲ καὶ τοῦ μέλιτος εὑρητὴς ὁ Ἀρισταῖος, ὃ δὴ τῆς ἀθανασίας δέκατον μέρος ᾠήθησαν εἶναι.*

34. [14.]

Schol. Hom. Il. γ'. 114: *Πορφύριος ἐν τοῖς παραλελειμμένοις φησίν, ὅτι τὸν Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδίδωσιν Ἴβυκος, Ἀλέξανδρος, Εὐφορίων, Λυκόφρων.*

35. [16.]

Schol. Arist. Vesp. 714: *Καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν·] ὥςπερ ὁ Μενέλαος· τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην απο-*

Fr. 28. Schol. Aristoph. Av. 192: *Χάους ἀντὶ τοῦ ἀέρος νῦν, ὡς Ἴβυβος, ποτᾶται δὲ ἐν κτλ.* Eadem Suidas v. *Χάος*, ubi A *πωτᾶται*. Sed *ἀλλοτρίῳ* videtur temere ex Aristophanis loco ortum, poeta scripserat opinor:

Πωτᾶται δ' ἐν ἀπείρῳ χάει.

Ruhnken non diversum censet locum a Bacchylidis versu ap. Schol. Hesiod. Theog. 116. (Fr. 47.), qui sane simillimus est.

Fr. 29. Schol. Pind. Isthm. VIII. v. 43. quod edidit T. Mommsen (Diar. Antiq. 1848. p. 131): *Νεικέων πέταλα] ἀντὶ τοῦ φιλονεικιῶν τὰ φύλλα, τροπικώτερον δὲ τῶν φιλονεικιῶν τὰς στάσεις ἢ τὰ νείκη· ὡς Ἴβυκος· κλάδον Ἐνυαλίου. καὶ Ὅμηρος ὄζον Ἄρηος.* Fortasse Ascalaphum dixit.

Digitized by Google

βαλεῖν τὸ ξίφος· ἡ δὲ ἱστορία παρὰ Ἴβύκῳ καὶ Εὐριπίδῃ. Similia Sch. Lysistr. 155.

36.

Sch. Eurip. Hec. 41: Ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν (Πολυξένην) σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος.

37. [18.]

Sch. Apoll. Rh. IV. 815: Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε, μεθ' ὃν Σιμωνίδης. Cf. Eudoc. 85.

38. [20.]

Sch. Pind. Nem. X. 12: Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·] Καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ᾗ τιμᾶται ὡς θεός· καὶ Ἴβυκος οὕτω· (hic lacunam statuit Boeckh.) τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς· καὶ Πολέμων ἱστορεῖ· ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιον ἐστὶν αὐτοῦ ἱερόν, καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν αἱρεσθαι τιμῆς ὡς θεὸν καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ.

39. [21.]

Sch. Apoll. Rh. I. 287: Εἶχε καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην, ὥς φησιν Ἴβυκος.

40. [23.]

Zenob. Prov. II. 45: Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὔτε φιλία· ὁ Μίλων ὁ παροιμιογράφος Ἰβύκειον τὴν παροιμίαν ταύτην φησὶν ὡς πρώτου χρησαμένου τοῦ Ἰβύκου. ibique interpr.

41. [25.]

Schol. Apoll. Rh. I. 146: Ὁ δὲ Ἴβυκος Πλευρωνίαν (Λήδαν) φησίν, Ἑλλάνικος δὲ Καλυδωνίαν.

42.

Cram. An. Ox. III. 413, 16: Ὁ δὲ αὐτὸς ἑωσφόρος καὶ ἕσπερος· καίτοι γε τὸ παλαιὸν ἄλλος ἐδόκει εἶναι ὁ ἑωσφόρος καὶ ἄλλος ὁ ἕσπερος· πρῶτος δὲ Ἴβυκος ὁ Ῥηγῖνος συνήγαγε τὰς προσηγορίας.

43. [26.]

Sch. Apoll. Rh. IV. 57: Ἴβυκος δ' ἐν πρώτῳ Ἤλιδος αὐτὸν (Ἐνδυμίωνα) βασιλεῦσαι φησί. Cf. Eudoc. 148.

44.

Sch. Il. ν'. 517: ὡς ἀντεραστὴς Ἑλένης· (de Deiphobo et Idomeneo dicit.) ὡσμαρτυρεῖ Ἴβυκος καὶ Σιμωνίδης· ἀλλ' οὔτε ἥρα μεσαι-

Digitized by Google

πόλιος, οὔτε τὸ παρὰ Ἰβύκῳ ἀληθές, ἀλλὰ διὰ τοὺς πεσόντας. Eust. 944, 43: ἕτεροι δὲ ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ φασὶν ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηΐφοβος ὡς ἀντεραστῇ. ἦρα γάρ, φασί, καὶ αὐτὸς τῆς Ἑλένης.

45. [28.]

Sch. Apoll. Rh. II. 778: Πολλοὶ λόγοι περὶ τοῦ τῆς Ἱππολύτης ζωστῆρος εἰσίν· τινὲς μὲν γὰρ Ἱππολύτης, ἄλλοι δὲ Διϊλύκης, Ἴβυκος δὲ ἰδίως ἱστορῶν Οἰολύκης τῆς Βριάρεω θυγατρός φησιν. Ibycus videtur dixisse: Οἰολύκα, Βριάρηο κόρα, vid. Et. M. 213, 23.

46. [30.]

Sch. Arist. Nub. 1050: Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων, ἐξ ὧν τὰ θερμὰ τινές φασιν Ἡράκλεια λέγεσθαι.

47. [35.]

Strabo VI. 271: Ἀλφειὸν δὲ Ζωΐλος ὁ ῥήτωρ ἐν τῷ Τενεδίων ἐγκωμίῳ φησὶν ἐκ Τενέδου ῥεῖν, ὁ τὸν Ὅμηρον ψέγων ὡς μυθογράφον. Ἴβυκος δὲ τὸν ἐν Σικυῶνι Ἀσωπὸν ἐκ Φρυγίας ῥεῖν φησί.

48. [36.]

Pausan. II. 6, 5: Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν· ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός τε καὶ Ἴβυκος ὁ μὲν ἐποίησεν, ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ εἶναι Πέλοπός φησιν αὐτόν.

49.

Choerobosc. I. 279: Αὕτη ἡ αἰτιατική, φημὶ δὲ ἡ ἴκτινον κατὰ μεταπλασμὸν γέγονε ἴκτινα, — ὥσπερ ἀλίτροχον ἄλιτροχα παρ' Ἰβύκῳ. (cod. Marc. παρίβυκον παριβυκα.) Cf. Cram. An. Ox. I. 271, 2.

50.

Et. Sorb. ap. Gaisf. Et. M. 387, 42: Ὁ δὲ Ἡρωδιανὸς συντίθεται πρώτῳ ἐτυμολογιῶν οὕτως λέγων· Τὸ παρ' Ὁμήρῳ ἐτώσιον τινὲς οἴονται παρὰ τὸ ἐτῶν ἐτώσιον, ἀλλὰ μάχεται ὁ νοῦς· οἱ δὲ οὕτως· ἀήτων, ἀητώσιος, συστολῇ ἀετώσιον παρ' Ἰβύκῳ· τοῦτο ἀφαιρέσει ἐτήσιον (ἐτώσιον). ἢ οὕτως· ἔτος, ἀετός, ἄετων, ἀετώσιος, ὁ μὴ ἀληθὴς ἀλλὰ μάταιος. Cf. etiam Et. M. 20, 13., Hesych. v. ἀετώσιον. Et. Gud. 215, 26. — Quae leguntur Cram. An. Ox. IV. 329, 22: Ὁ μὲν διὰ τοῦ ωσιος Ῥηγίνων ἐστίν, ἐπεὶ συνεχὴς παρ' αὐτοῖς ἀπὸ γενικῆς γίνεται· ἀνάκων, ἀνακώσιος (Lobeck Ἀκακώσιος) χαρίτων, χαριτώσιος. (Cf. etiam ib. I. 162, 15.) Schneidewin probabiliter ad Ibycum refert.

Digitized by Google

51. [9.]

Et. Gud. 89, 31: *Ἄτερπνος· οὕτως ὁ ἄγρυπνος, παρὰ Ῥηγίνοις, ὡς καὶ παρ' Ἰβύκῳ καὶ Στησιχόρῳ.* Cf. Et. M, 163, 8. ubi Gaisf. codd. Ibyci et Stesichori nomen addunt, Cram. An. Par. IV. 61, 22.

52. [50.]

Hesych.: *Βρυαλίκται· πολεμικοὶ ὄρχηται μὲν αἰδοίπου. Ἴβυκος καὶ Στησίχορος.* Vid. ad Stesich. Fr. 78.

53. [54.]

Et. M. 273, 24: *Διέφρασαι· παρὰ Ἰβύκῳ.* (v. *Ἴβυκι*, M σιμ.) *ἔστιν ἔφθαρσαι καὶ κατὰ πάθος ἔφαρσαι καὶ κατ' ὑπέρθεσιν ἔφρασαι καὶ διέφρασαι.*

54. [29.]

Et. M. 428, 28: *Ἤλσατο βοῦς, Ἴβυκος παρὰ τὸ ἠλάσατο.*

55.

Cram. An. Ox. I. 65, 15: *Καὶ τῇ κλαγγῇ δοτικῇ εἶπεν ὁ Ἴβυκος κλαγγίι.* Leg. *κλαγγί.*

56. [56.]

Herod. π. μ. λέξ. 38, 13: *Λεβυαφιγενής· ἢ διὰ τοῦ φι ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηπολούθησεν ἐν ἐπιῤῥήματι τῷ φι τὸ τοιοῦτον, Ἰφιγένεια, Ἰφικλῆς, Ἰφιάνασσα, καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι· πεπλάνηται οὖν Ἴβυκος εἰκὼν Λεβυαφιγενής.* Bloch *Λιβυαφιγενής.*

57. [6.]

Schol. Apoll. Rh. III. 106: *Ἴβυκος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει.*

58. [48.]

Et. M. 703, 28: *Ῥῆγος· τὸ πορφυροῦν περιβόλαιον· — ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα, σαφὲς Ἀνακρέων ποιεῖ — καὶ παρ' Ἰβύκῳ· Ποικίλα ῥέγματα.*

59. [55.]

Schol. Apoll. Rh. IV. 1348: *Στέρφεσιν αἰγείοις· τοῖς δέρμασιν, ἔνθεν καὶ στερφῶσαι· Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα.*

Digitized by Google

60. [40.]

Ξανθίππη, Γλαύκη τ' ἐνσχερὼ ἐρχομένη,
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.

109. [Ep. 3.]

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

110. [Ep. 4.]

Πρόφρων, Ἀργυρότοξε δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

111. [Ep. 10.]

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι·
ἥπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

Epigr. 106. Anth. Pal. VI. 140: *ἀνάθημα παρὰ Μελάνθου τῇ Σεμέλῃ τοῦ αὐτοῦ (Ἀναχρέοντος).* V. 1. *φιλοστεφάνῳ* Barnes, vulgo *φιλοστεφάνου.*

Epigr. 107. Anth. Pal. VI, 141: *ἀνάθημα τῇ Ἀθηνᾷ τοῦ αὐτοῦ (Ἀνακρέοντος).* Affert Epigramma s. poetae n. Suidas v. *δυσηχής*, unde *ῥυσαμένη* et *δυσηχέος* restitui, cod. P *ῥυσαμένα* et *δυσαχέος.* — V. 2. *κρέμαται*, malim *κρέμαμαι.*

Epigr. 108. Anth. Pal. VI. 134: *Ἀνάθημα Ἀνακρέοντος.* V. 1. *ἥ τε* cod. P, *ἡ δὲ* Plan., Iacobs scripsit *αἵ τε ... ἐρχόμεναι.* — V. 2. *ἐνσχερὼ* scripsi, cod. P *ἐς χορὸν*, Plan. *Γλαύκη ἡ σχεδὸν.*

Epigr. 109. Anth. Pal. VI. 136: *ἀνάθημα τοῦ αὐτοῦ (Ἀνακρέοντος).* Affert Suidas v. *εἷμα*, ubi *Πρηξιδίκη* legitur et v. 2. *ἀμφοτέροις*, sed A *ξυνὰ δ' ἀμφοτέρων.*

Epigr. 110. Anth. Pal. VI. 137: *τοῦ αὐτοῦ (Ἀνακρέοντος) ἀνάθημα τῷ Ἀπόλλωνι παρὰ Ναυκράτους.*

Epigr. 111. Anth. Pal. VI. 143: *ἀνάθημα τῷ Ἑρμῇ παρὰ Τιμώνακτος. τοῦ αὐτοῦ (Ἀνακρέοντος).* V. 3. *κρείοντι* Brunck, cod. *κρειόεντι.*

Digitized by Google

112. [Ep. 13.]

Τέλλιδι ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

113. [Ep. 16.]

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

114. [Ep. 19.]

Ἀλκίμων σ', ὠριστοκλείδη, πρῶτον οἰκτείρω φίλων,
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.

115. [Ep. 17.]

Βοικόλε τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

116. [Ep. 18.]

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθέν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

117. [130.]

Strabo XIV. 633: *Τέω δὲ Ἀθάμας μὲν πρότερον (ἔκτισεν), διόπερ Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων.* Eadem Steph. Byz. v. *Τέως.*

Epigr. 112. Anth. Pal. VI. 346. *Ἀνακρέοντος.* V. 1. *Τέλλιδι* scripsi, *Τελλίᾳ ἱμερόεντα* Reiske, cod. *Τελαιαι ἡμερόεντα.* V. 4. *ἀγαθήν*, Barnes *ἀγαθῆς.*

Epigr. 113. Anth. Pal. VII. 263. *εἰς Κλεηνορίδην ναυαγήσαντα Ἀνακρέοντος Τηΐου.* (Mirum quod sequens Leonidae epigramma in naufragum anonymum sic inscribitur *εἰς Κλεηνορα· εἰς τὸν αὐτὸν κλέ Λεωνίδου.* nec tamen his utar, ut Anacreonti epigramma abiudicem.) V. 2. *θαρσήσαντα* Plan., cod. P *θαρσήσαντι.* — V. 3. *ἀνέγγυος* Plan., cod. P *ἀνέγγυος.* — V. 4. *ἀφ'*, Plan. *ἀμφ'.* — *ἔκλυσεν*, malim *ἔκλασεν.*

Epigr. 114. Anth. Pal. XIII. 4. *Ἀνακρέοντος τετράμετρον.* V. 2. *δουληΐην* Iacobs, cod. P *δουλείην.* Videtur non tam epigramma, quam maioris alicuius carminis exordium esse.

Epigr. 115. Anth. Pal. IX. 715. *Ἀνακρέοντος.* Et hoc et subsequens epigramma Anacreonti abiudicandum, nisi forte iunioris fuit Anacreontis.

Epigr. 116. Anth. Pal. IX. 716: *τοῦ αὐτοῦ (Ἀνακρέοντος).*

Digitized by Google

118. [133.]

Plato Theag. 125. D: *ΣΩ. Ταῦτ' ἔστιν, ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην* (sic u, vulgo *Καλλικρήτην*) *ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ἄσμα; ΘΕ. ἔγωγε. ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ ξυνουσίας ἐπιθυμεῖς ἀνδρός, ὅστις τυγχάνει ὁμότεχνος ὢν Καλλικρίτῃ τῇ Κυάνης* (sic A, vulgo *Κυανῆς*, cf. Arcad. 110.), *καὶ ἐπίσταται τυραννικά, ὥςπερ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει.*

119. [134.]

Schol. Apoll. Rhod. I. 789: *Καλῆς δι' ἀναστάδος]· καλῆς δέ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα ἢ ὅτι ἐρωτικά· τοιαῦτα γὰρ τὰ τῶν ἐρωμένων· ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν.* Anacreontis locus excidisse videtur.

120. [135.]

Maxim. Tyr. XXIV. 9: *Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας — καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια φησι.*

121. [136.]

Athen. I. 12. A: *Παρ' ὅλην δὲ τὴν συνουσίαν παρέκειντο αἱ τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρβάρων ἔτι καὶ νῦν ἔθος ἐστί, κατηρεφέες παντοίων ἀγαθῶν κατὰ Ἀνακρέοντα.*

122. [137.]

Gregor. in Hermog. Rhett. VII. 1236: *Αἰσχρῶς μὲν κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα εἰσὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς· οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδων ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα, χρυσοῦ τιμιωτέρα.*

123. [138.]

Pollux VI. 107: *Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι καὶ κοριάννοις καὶ αὐτῷ* (legas *καὶ λύγῳ*, om. A. vid. Fr. 42.) *καὶ Ναυκρατίτῃ στεφάνῳ, (σάμψυχος οὗτος ἦν)* (vid. Fr. 83.) *καὶ ἀνήτῳ, ὡς καὶ Σαπφὼ καὶ Ἀλκαῖος.*

124. [139.]

Himer. Or. III. 3: *Χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσάσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. Ἐπεὶ δὲ ἀγέρωχοί*

Digitized by Google

τε ὄντες καὶ ὑψαυχένες ἄφετοί τε καὶ ἔξω μέτρων ἀθύρουσιν, ὀλίγα παρακαλέσας τὴν ποίησιν δοῦναί μοί τι μέλος Τήϊον· ταύτην γὰρ φιλῶ τὴν Μοῦσαν· ἐκ τῶν ἀποθέτων τῶν Ἀνακρέοντος τοῦτόν σοι φέρων τὸν ὕμνον ἔρχομαι, καί τι καὶ αὐτὸς προσθεὶς τῷ ᾄσματι· Ὦ φάος Ἑλλήνων καὶ τῶν ὅσοι Παλλάδος ἱερὸν δάπεδον Μουσάων τε ἅλση νεμόμεθα.

125. [140.]

Himer. Or. IV. 3: Φέρε οὖν, ἐπειδὴ καὶ ἡμᾶς, ὦ παῖδες, ὥςπερ τις θεός, ὅδε ὁ ἀνὴρ φαίνει, οἵους ποιηταὶ πολλάκις εἰς ἀνθρώπων εἴδη μορφάς τε ποικίλας ἀμείβοντες πόλεις τε εἰς μέσας καὶ δήμους ἄγουσιν, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφέποντας, οἷαν Ὅμηρος μὲν Ἀθηνᾶν, Διόνυσον δὲ Ἀνακρέων Εὐριπίδης τε ἔδειξαν.

126.

Himer. Or. V. 3: (Ἔσπευδε) μὲν Ἀνακρέων εἰς Πολυκράτους στελλόμενος τὸν μέγαν Ξάνθιππον προσφθέγξασθαι, ἡδὺ δ' ἦν καὶ Πινδάρῳ προσειπεῖν πρὸ τοῦ Διὸς τὸν Ἱέρωνα.

127. [143.]

Photius 570, 13: Ταντάλου τάλαντα· πλούσιος ὁ Φρὺξ Τάνταλος διαβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ'. γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται· Τὰ Ταντάλου τάλαντα τανταλίζεται. Cf. Apostol. XVI. 16. Suidas v. Τὰ Ταντάλου (τάλαντα) τανταλίζεται. Arsen. 443.

128. [144.]

Zenob. V. 20: Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ· Μέμνηται ταύτης Ἀνακρέων· καὶ Πίνδαρος ἐν Νεμεονικαῖς (IV. 95.)· φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα παρὰ τῶν θεῶν δοθῆναι· ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις. Cf. ibi interpr. Arsen. 351.

129. [12.]

Himer. Or. XIV. 4: Νῦν ἔδει μοι Τηΐων μελῶν, νῦν ἔδει μοι τῆς Ἀνακρέοντος λύρας, ἣν ὅταν ὑπὸ παιδικῶν ἐκεῖνος ὑπερφθῇ ποτε, καὶ κατ' αὐτῶν Ἐρώτων οἶδεν ἁρμόσασθαι· εἶπον ἂν πρὸς αὐτοὺς τὰ ἐκείνου ῥήματα· Τβρισταὶ καὶ ἀτάσθαλοι καὶ οὐκ εἰδότες, ἐφ' οὓς τὰ βέλη κυκλώσεσθε· (pluralem numerum sophista substituisse videtur). τάχα δ' ἂν καὶ ἠπείλησα τὴν ἀπειλήν, ἣν ἀπειλεῖ τοῖς Ἔρωσιν· (haec haud dubie referenda sunt ad t 25.) ἐκεῖνος γάρ ποτε ἐρασθεὶς ἐφήβου καλοῦ, ἐπειδήπερ ἔφηβον ὀλίγον αὐτοῦ φροντίζοντα, λύραν ἁρμόσας ἠπείλει

τοῖς Ἔρωσιν, εἰ μὴ αὐτῷ τιτρώσκοιεν αὐτίκα τὸν ἔφηβον, μηκέτι μέλος εὔφημον εἰς αὐτοὺς ἀνακρούσασθαι.

130. [132.]

Schol. Hom. Od. Θ'. 294: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν ὅπλων τεχνίτας (Σίντιας) μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκίμεως καὶ Σκυθῶν μέλει; Aliquanto rectius Cram. An. Par. III. 455, 29: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκιμέρων καὶ Σκυθῶν μέλλει. ubi Cramer Σιντίων τῶν ἀγκυλοτόξων coniecit, Schneidewin τί μοι τῶν ἀγκυλοτόξων Ὦ φίλε Κιμμερίων Σιντιέων τε μέλει. Locus certo corrigi nequit, fort.:

Τί μοι τῶν ἀγκυλοτόξων
Σιντέων φυλόπιδος Κιμμερίων τε μέλει;

131. [13.]

Schol. Hom. Il. τ'. 21: Ἐν ἑαυτῷ τι πρᾶγμα τὴν ὑποβολὴν ἔχον, ὑπεροχὴν (Schneidewin bis ὑπερβολὴν requirit) οὐκ ἐπιδέχεται μείζονα· καὶ Ἀνακρέων· κωμάζει δέ, ὡς δεῖ, Διόνυσος, αὐτὸν αὐτῷ συγκρίνας. Schneidewin ὡς ἂν δὴ coni. vel ὡς ἂν εἰ. Scrib. videtur:

. . . κωμάσει δ',
ὡς ἂν δῇ Διόνυσος.

132. [145.]

Mythogr. Vat. III. 4 (Fulgent. Myth. I. 25.): Iuppiter enim, ut Anacreon antiquissimus auctorum scribit, rex extitit Cretae, qui dum adversus Titanas, id est Titani filios, qui frater Saturni fuerat, bellum suscepisset, et sacrificium Coelo fecisset, in victoriae auspicium aquilae sibi adesse prosperum vidit volatum, cuius cum vicisset augurio, in signis bellicis sibi auream fecit.

133.

Schol. Hor. Carm. IV. 9, 9. „Anacreon satyram scripsit, amicus Lysandri. Alii dicunt, quod scripsit Circen et Penelopen in uno laborantes." quae postrema ex Hor. Carm. I. 17, 18. petita sunt: *Et fide Teia Dices laborantes in uno Penelopen vitreamque Circen;* nec minus suspecta sunt priora.

134. [109.]

Orion 3, 11: Ἀβρός, ὁ κούφως βαίνων, κατὰ στέρησιν τοῦ βάρους· οὕτως ἐν ὑπομνήματι Ἀνακρέοντος εὗρον.

Digitized by Google

135. [96.]

Hesych.: *Αἰθιόπαιδα· τὸν Διόνυσον. Ἀνακρέων.* ἄλλοι τὸν οἶνον, ἄλλοι τὴν Ἄρτεμιν· cod. *Αἰθιοπεῖς παῖδα.* Corrigas: *Αἰθιπίης παῖδα.*

136. [125.]

Et. M. 514, 28: *Κινάκη, ὁ ἀκινάκης κινάκης παρὰ Σοφοκλεῖ· τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ ἰῶτα γράφεται καὶ γέγονεν ἐκθλίψις τοῦ ἰῶτα, καὶ κράσει τοῦ ωα τὠκινάκη, ὥςπερ ὠ Ἄπολλον Ὦπολλον.* Fortasse quod ibidem legitur *σὺν τῇδε τἠστραπῇ* (vel *τῇ στραπῇ*), item Anacreontis est.

137. [110.]

Bekk. An. I. 373, 18: *Ἀπταινῶσαι· ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι· πεποίηται δὲ οὕτως· ἔστι δένδρον, ὃ καλεῖται ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια τέμνεται· οὕτως Ἀνακρέων.*

138. [97.]

Et. M. 703, 28: *Ῥῆγος, τὸ πορφυροῦν περιβόλαιον. — ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα σαφὲς Ἀνακρέων ποιεῖ· Ἀλιπόρφυρον ῥέγος.* Similia Et. Gud. 492, 18. (ubi *ῥῆγος* scribitur) et Zonar. 1608.

139. [111.]

Hesych.: *Ἄμιθα· ἔδεσμα ποιὸν καὶ ἄρτυμα, ὡς Ἀνακρέων.* Exspectes *Ἀμίθη*. cf. ib. *Σαμίθη*.

140.

Eust. Od. 1538, 50: *Ὅθεν ἀνήλατός φησι παρὰ Ἀνακρέοντι ὁ ἀπειθής, ἀπὸ ὑποζυγίων.*

141.

Et. Sorb. (vid. Et. M. 159, 50. not.) *Ἀστράβη· — εἰς Ἀνακρέοντα εἴρηται καὶ ἀστραφὴ καὶ ἐπὶ ὀχήματος, ἐφ' οὗ ἀσφαλῶς κάθηνται.* Fuit fortasse etiam forma *στράβη* in usu, vid. Hesych.: *Ἐπιστραβής* (cod. *πιστράβη . .*)· *ὄχημα, ἀκινδύνως φέρων.* ubi scribendum:

Ἐπὶ στράβης, ὄχημ' ἀκινδύνως φέρων.

explicatio enim excidit, estque fortasse Anacreontis versus. (Similiter locum correxit Pierson, nisi quod *ἐπ' ἀστράβης* scripsit.)

142. [112.]

Hesych.: *Αὐτάγητοι· ἀγάμενοι ἑαυτὰς καὶ θαυμαστῶς ἔχουσαι ἑαυτῶν· Ἴων Ἀλκμήνῃ· ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων οὕτω κέχρηται.*

Digitized by Google

143. [113.]

Athen. IV. 182. F: *Τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι.* Cf. ib. 175. D.

144. [114.]

Eust. 932, 1: *Καὶ ὅτι τοὺς οὕτως ἔχοντας ἐπ' ἀμφοτέρους πόδας καὶ γονυκρότους τηνικαῦτα δριμέως ἐστὶ προσειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασίν, ὅτι γονύκροτοι οἱ βλαισοί· Ἀνακρέων δὲ κέχρηται ἐπὶ δειλῶν.*

145. [115.]

Pollux III. 49: *Ἀνακρέων δὲ δίτοκον* (sic Bekker, v. διτόκον) *τὴν δὶς τεκοῦσαν.*

146. [116.]

Et. M. 385, 91: *Ἔσυνῆκεν· Ἀλκαῖος ἐσυνῆκε καὶ Ἀνακρέων ἐξυνῆκεν πλεονασμῷ.*

147. [117.]

Schol. Arist. Acharn. 1133: *Διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσιν τὸ μεθύειν καὶ ἀκροθώρακας* (vulgo *θώρακας*) *τοὺς ἀκρομεθύσους ἐκάλουν· κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων· ἐστὶ δὲ Ἀττική.* Cf. Suidas v. *θωρῆξασθαι* et Zonar. 1068., ubi Anacreonti tribui videntur verba *ὥστε θωρακισθῆναι*, quae etiam apud Schol. leguntur, sed tanquam grammatici verba: fortasse tamen Anacreon dixit: *ὥστε θωρηκισθῆναι* in tetrametro claudo.

148. [141.]

Pollux III. 98: *Τὸ γὰρ ἥδω Ἰωνικὸν καὶ τὸ ἤδε* (AC *ἧσεν*) *σπάνιον μὲν παρ' ἡμῖν, Ἀνακρέων δ' αὐτὸ εἴρηκεν, Ἴων καὶ ποιητὴς ἀνήρ.*

149. [118.]

Apollon. Dysc. in Bekk. An. II. 572, 14: *Τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱρωστὶ* (cod. *ἱερωστί*, sed infra *ἱρωστί*) *παρὰ Ἀνακρέοντι.* Cf. Schol. Il. σ'. 26. ubi *ἡρωιστί.* et Favorin. 103., qui *δίκην ἱερέως* interpretatur.

150. [119.]

Pollux V. 96: *Σὺ δ' ἂν προσθείης — καὶ κάλυκας παρ' Ὁμήρου τε καὶ Ἀνακρέοντος.*

Digitized by Google

135. [96.]

Hesych.: *Αἰθιόπαιδα· τὸν Διόνυσον, οἶνον, ἄλλοι τὴν Ἄρτεμιν·* cod. *Αἰθιοπεῖς πτ πίης παῖδα.*

136. [125.]

Et. M. 514, 28: *Κινάκη, ὁ ἀκι τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ θλιψις τοῦ ἰῶτα, καὶ κράσει τοῦ ω Ὤπολλον.* Fortasse quod ibidem τῇ στραπῇ), item Anacreontis e

1'

Bekk. An. I. 373, 18 *ἐξᾶραι καὶ μετεωρίσαι· πετ ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια*

μίνει ἡδέα λέγουσ παρὰ Ἀνακρέοντι· κ

Et. M. 703, 28 *φαγεῖς ἔλεγον τοὺς Ἀλιπόρφυρον* bitur) et Zonar.

100.]

Ἄβροδίαιτοι δὲ οὗτοι (Λυδοί), ὅθε Λυδοπαθεῖς τινες ἀντὶ τοῦ ἡδυπαθεῖς J. C. Eust. 1144, 14.

Hesych.: Exspectes

156. 157. 158. 159. [142.]

υσάχνη ἡ πόρνη παρὰ Ἀρχιλόχῳ — Ἀνακρέων δὲ παν λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον.

Eu 1329, 34. qui his quartum convicium addit: *Καὶ μὴν ὁ ὁ ἀπει ων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς, ἀλλὰ περιεσκεμμένως σίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον.* id. 1921. quatuor haec convicia sine poetae nomine interpretatur, sed 38. ex Anacreonte affert *πανδοσία* et *λεωφόρος*, quae iam 41. s. p. n. adscripserat, rursus 862, 45. s. p. n. adhibet πανδοσία, et similiter 536, 22. et 1516, 22. s. p. n. *μανιόκηπος*, quod ipsum 1572, 13. *comici poetae* esse dicit.

160. [124.]

Schol. Apoll. Rhod. II. 127: *Παμφαλᾶν γὰρ τὸ μετὰ ποιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν, κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων.*

161 [101.]

Pollux VI. 23: *Καὶ οἰνηρὸς θεράπων παρὰ Ἀνακρέοντι.*

Digitized by Google

162. [102.]

...της καὶ οἰνοπότις γυνὴ ὡς Ἀνα-

...em. Allusit ad convi-

...κελῶν καὶ πλο-
...ξαντες μηροῖσι

...]

...: ῥαδινῆς· τρυφερῆς, Ἀνακρέων δὲ Ῥαδινοὺς πώλους.

166. [105.]

...ι. 555: Σημειούμεθα παρὰ τῷ ποιητῇ τό· τά μοι ...αι — καὶ τὸ ῥεραπισμένω νώτω παρὰ τῷ Ἀνα-...od. Bar., sed Par. ap. Bekk. An. III. 1287. ῥεραπισμένα ...ω. unde coniicias ῥεραπισμένα νῶτα. Cf. Schol. Hom. ... 59: Ἐστὶ δὲ καὶ παρὰ Ἀνακρέοντι ὁ ῥεραπισμένῳ νώτῳ et ...ι. An. Ox. IV. 415, 4: ῥεραπισμένω νῶτον. Herodianus in Aldi ...ornu cop. 194: ῥεραπισμένων ὤτων. Adde Cram. An. Ox. IV. 185, 17. (ubi ῥεραπισμένω) et An. Par. IV. 226, 17., ubi ῥεραπισμένῳ νώτῳ, quae vera videtur scriptura.

167. [126.]

Et. M. 707, 50: Καὶ σαλαΐζειν (V supra σαλαμβίζειν), Ἀνακρέων ἐπὶ τοῦ θρηνεῖν. Cf. Orion 148, 5., ubi σηλάζειν.

168. [106.]

Clem. Alex. Paedag. III. 294: Τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαῦλα βαίνειν. ὡς φησὶν Ἀνακρέων, κομιδῆ ἑταιρικά. Schneidewin opinatur Clementem vel confudisse cum Fr. 151. vel intellexisse Simonidis Amorgini Fr. 18.

169. [107.]

Schol. Apoll. Rhod. III. 120: Μάργος Ἔρως· κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν — καὶ Ἀνακρέων Τακερὸς δ' Ἔρως.

Digitized by Google

151.

Et. Gud. 339, 22: *Κορώνη — παρὰ τὸ καῦρον, ὃ σημαίνει τὸ κακόν· Ἀνακρέων κόρωνα βαίνων φησί.* Cf. cod. Havn. ad Et. M. 530, 17.

152. [120.]

Pollux II. 103: *Πτύσμα — τὰ δὲ ἀπ' αὐτοῦ ὀνόματα πτύειν, ἀποπτύειν, καταπτύειν, κατάπτυστον, ἀπόπτυστον· Ἀνακρέων* δὲ καὶ *καταπτύστην εἴρηκε.*

153. [121.]

Eust. 1654, 17: *Ὥςπερ καὶ κλάς φησι (Ἡρακλείδης) παρὰ Ἀνακρέοντι.* Favorin. 443. Nisi est Fr. 17, 1.

154. [121.]

Proclus Hesiod. Op. 371: *Κατίλλουσα δὲ σημαίνει ἡδέα λέγουσα· καὶ γὰρ τὴν χελιδόνα κατίλλειν λέγει, ὡς ἔστι παρὰ Ἀνακρέοντι· κατίλη χελιδών.* Cf. Tzetz. ibid.

155. [100.]

Schol. Aesch. Pers. 41: *Ἀβροδίαιτοι δὲ οὗτοι (Λυδοί), ὅθεν καὶ τὸ παρὰ Ἀνακρέοντι· Λυδοπαθεῖς τινες ἀντὶ τοῦ ἡδυπαθεῖς.* Respicit Athen. XV. 690. C. Eust. 1144, 14.

156. 157. 158. 159. [142.]

Suid.: *Μυσάχνη ἡ πόρνη παρὰ Ἀρχιλόχῳ — Ἀνακρέων* δὲ *πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον.* Adde Eust. 1329, 34. qui his quartum convicium addit: *Καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς, ἀλλὰ περιεσκεμμένως πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον.* id. 1921. 61. quatuor haec convicia sine poetae nomine interpretatur, sed 1088, 38. ex Anacreonte affert *πανδοσία* et *λεωφόρος*, quae ita 1084, 41. s. p. n. adscripserat, rursus 862, 45. s. p. n. addidit *πανδοσία*, et similiter 536, 22. et 1516, 22. s. p. n. *μανιόκηπος*, quod ipsum 1572, 13. *comici poetae* esse dicit.

160. [124.]

Schol. Apoll. Rhod. II. 127: *Παμφαλᾶν γὰρ τὸ μετὰ πτοήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν, κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων.*

161 [101.]

Pollux VI. 23: *Καὶ οἰνηρὸς θεράπων παρὰ Ἀνακρέοντι.*

Digitized by Google

162. [102.]

Pollux VI. 21: *Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνὴ ὡς Ἀνακρέων.*

163.

Serv. Virg. Aen. I. 749: „Bibebat amorem. Allusit ad convivium. Sic Anacreon: *Ἔρωτα πίνων.*“

164. [103.]

Hesych.: *Γυναῖκες εἰλίποδες· διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν· καὶ Ἀνακρέων· Πλέξαντες μηροῖσι παρὰ* (cod. *πὲ*) *μηρούς.* Scribendum puto:

Πλέξαντες μηροῖς πέρι μηρούς * *

165. [104.]

Schol. Apoll. Rhod. III. 106: *ῥαδινῆς· τρυφερῆς, Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν· Ῥαδινοὺς πώλους.*

166. [105.]

Choerobosc. II. 555: *Σημειούμεθα παρὰ τῷ ποιητῇ τό· τά μοι ῥερυπωμένα κεῖται — καὶ τὸ ῥεραπισμένω νώτω παρὰ τῷ Ἀνακρέοντι.* ita cod. Bar., sed Par. ap. Bekk. An. III. 1287. *ῥεραπισμένα* (*μένος*) *νῶ.* unde coniicias *ῥεραπισμένα νῶτα.* Cf. Schol. Hom. Od. ζ. 59: *Ἐστὶ δὲ καὶ παρὰ Ἀνακρέοντι ὁ ῥεραπισμένῳ νώτῳ* et Cram. An. Ox. IV. 415, 4: *ῥεραπισμένω νῶτον.* Herodianus in Aldi Cornu cop. 194: *ῥεραπισμένων ὤτων.* Adde Cram. An. Ox. IV. 185, 17. (ubi *ῥεραπισμένω*) et An. Par. IV. 226, 17., ubi *ῥεραπισμένῳ νώτῳ*, quae vera videtur scriptura.

167. [126.]

Et. M. 707, 50: *Καὶ σαλαΐζειν* (V supra σαλαμβίζειν), *Ἀνακρέων ἐπὶ τοῦ θρηνεῖν.* Cf. Orion 148, 5., ubi *σηλάζειν.*

168. [106.]

Clem. Alex. Paedag. III. 294: *Τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαῦλα βαίνειν. ὡς φησὶν Ἀνακρέων, κομιδῇ ἑταιρικά.* Schneidewin opinatur Clementem vel confudisse cum Fr. 151. vel intellexisse Simonidis Amorgini Fr. 18.

169. [107.]

Schol. Apoll. Rhod. III. 120: *Μάργος Ἔρως· κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν — καὶ Ἀνακρέων Ταχερὸς δ' Ἔρως.*

Digitized by Google

170. [108.]

Serv. Virg. Aen. XI. 550: „*Caroque oneri timet*] Anacreon φορτίον ἔρωτος id est onus amoris." Scribend. videtur φόρτον Ἔρωτος.

171. [127.]

Schol. Hom. Il. ν'. 227: Τμνον γὰρ καὶ Ἀνακρέων τὸν θρῆνόν φησιν. Cf. Eust. 928, 63.

172. [128.]

Herodian. περὶ μον. λέξ. 11, 26: Φίλλος, παρὰ Ἀνακρέοντι τὸ ὄνομα. Dindorf vel Βίλλος vel βίλλος coniecit, (Arcad. 53, 1. βίλλος τὸ ἀνδρεῖον αἰδοῖον παρὰ Ἐφεσίοις.)

Digitized by Google

XVIII.

ANACREONTEA.

1. [65.] *)

Ἀνακρέων ἰδών με,
ὁ Τήϊος μελῳδός,
ὄναρ λέγων προσεῖπεν·
κἀγὼ δραμὼν πρὸς αὐτόν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δέ,
καλός γε καὶ φίλευνος·
τὸ χεῖλος ὤζεν οἴνου·
τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ' ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσιν·
τὸ δ' ὤζ' Ἀνακρέοντος.
ἐγὼ δ' ὁ μωρὸς ἄρας
ἐδησάμην μετώπῳ.
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

Anacreontea. De originibus horum carminum accurate et docte disputavit C. G. Stark (Quaestiones Anacreonticae Lips. 1846.): neque tamen, quod ille existimat, germanum ullum Anacreontis carmen in his inest, sed recentioris originis sunt omnia, diversis illa quidem aetatibus composita et temporis decursu identidem immutata: quae quas subierint vicissitudines, ostendi ad carmen 3: et hinc potissimum intelligitur, quanta sit adhibenda cautio in his carminibus ad criticae artis leges corrigendis. Carmina eo ordine exhibeo, quo in codice leguntur, vulgari ordine insuper significato. Ceterum non recepi neque carmen *εἰς νεκρὸν Ἄδωνιν*, quod *Theocrito* vulgo tribuitur, neque *Theodori Prodromi* carmen, quod est editum in Notitiis et Exc. Codd. Paris. VIII. 2. p. 125. neque denique *Pauli Silentiarii* carmen *εἰς τὰ ἐν Πυθίοις θερμά*. Contra alia quaedam carmina in Appendice subieci, de quibus dicetur suo loco. — Cod. Pal. secundum Levesquium: *Ἀνακρέοντος Τηΐου συμποσιακὰ ἡμιάμβια*, sec. Spalettium: *Ἀ. τ. σ. ἡ. καὶ ἀνακρέοντια καὶ τρίμετρα.* atque index Anthol. Palat. T. III. p. 4: *ἀνακρεόντια: καὶ τρίμετρα: τοῦ ἁγίου γρηγορίου τοῦ θεολόγου ἐκ τῶν ἐπῶν ἐκλογαὶ διάφοροι.*

1. Brunck *Βασιλίου* praemisit, quoniam 2 inscribitur *τοῦ αὐτοῦ Βασιλίου*. — V. 3. *λέγων*, Baxter *λέγω*. — *προσεῖπεν*, cod. *προεῖπεν*. — V. 5. *περιπλάκην*, cod. *περὶ πλάκην*. — V. 7. *γε* cod., vulgo *τε*. — *φίλευνος*, Brossius *φίλοινος*. Totus versus commode abiici potest. — V. 15. *ἐδησάμην*, cod. *ἐδησάμεν*. — V. 16. *καὶ δῆθεν*, Mehlhorn *κἀντεῦθεν*.

*) Numeri adiecti sunt editionum vulgarium.

Digitized by Google

2. [48.]

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΙΟΥ.

Δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς·
φέρε μοι κύπελλα θεσμῶν,
φέρε μοι· νόμους κεράσσω,
μεθύων ὅπως χορεύσω,
ὑπὸ σώφρονος δὲ λύσσης
μετὰ βαρβίτων ἀείδων
τὸ παροίνιον βοήσω.
δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.

2. B. [49.]

(ΑΛΛΟ.)

Ἄγε ζωγράφων ἄριστε,
λυρικῆς ἄκουε μούσης·
φιλοπαίγμονες δὲ Βάκχαι
. . . . . .
γράφε τὰς πόλεις τὸ πρῶτον
ἱλαράς τε καὶ γελώσας.
. . . . . .
ἑτεροπνόους ἐναύλους·
ὁ δὲ κηρὸς ἂν δύναιτο,
γράφε καὶ νόμους φιλούντων.

3. [17.]

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας.
ποίει δέ μοι κατ' αὐτοῦ
μήτ' ἄστρα μήτ' ἄμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι;
τί γὰρ καλοῦ Βοώτου;
ποίησον ἀμπέλους μοι,

2. τοῦ αὐτοῦ *Βασιλίου* Spaletti ex cod., Stephanus ἄλλο. V. 9. et 10. om. Steph.

2. B. In cod. non est disiunctum a carm. 2. Melhorn post 24. inseruit. — V. 4. et 5. vulgo inserunt post v. 2., sed ea traiectione nequaquam integrum restituitur carmen, itaque satius duxi post v. 3. et post v. 5. lacunam indicare. — V. 6. ἑτεροπνόους, in marg. ἑτεροπιρ., Stephanus ἑτεροπνόοις ἐναύλοις, corrigunt ἑτέρᾳ πνόους ἐναύλους.

3. Exhibui hoc carmen secundum cod., nisi quod v. 10. *Πλειάδων* pro *πληάδων* scripsi. Commode autem accidit, ut hoc carmen etiam legatur in Anthol. P. XI. 48. τοῦ αὐτοῦ (i. e. *Ἀνακρέοντος*), sed cod. P om. lemma, et inde, Cram. An. Par. IV. 376., et rursus apud Gellium N. A. XIX. 9: in Oblectati autem sumus praeter multa alia versiculis lepidissimis *Anacreontis senis*, quos equidem scripsi, ut interea labor hic vigiliarum et inquies suavitate paulisper vocum atque modulorum acquiesceret: *τὸν ἄργυρον κτλ.*" Intelligitur hic luculento exemplo per quos gradus corruptio harum cantilenarum sensim serpere solita sit et quam longe a germana forma ea species recedat, quam codex exhibet. Est enim carmen

Digitized by Google

καὶ βότρυας κατ᾽ αὐτῶν,
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας,
τοὺς Σατύρους γελῶντας,
καὶ χρυσοῦς τοὺς Ἔρωτας,
καὶ Κυθήρην γελῶσαν,
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.

sec. Anthologiam:

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον
[πανοπλίαν μὲν οὐχί·]
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ βάθυνον.
ποίει δέ μοι κατ᾽ αὐτοῦ
μηδ᾽ ἄστρα μηδ᾽ ἀμάξας,
μὴ στυγνὸν Ὠρίωνα,
ἀλλ᾽ ἀμπέλους χλοώσας
καὶ βότρυας γελῶντας
σὺν τῷ καλῷ Λυαίῳ.

V. 3. om. Cod. P. et Cram., sed habet Planudes. — V. 7. μηδ᾽ ἀμάξας. Cod. P. μὴ ἀμάξας.

sec. Gellium:

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κάμοι;
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ βάθυνον.
ποίει δέ μοι κατ᾽ αὐτὸ
μήτ᾽ ἄστρα μήθ᾽ ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα.
τί Πλειάδεσσι κάμοι,
τί δ᾽ ἀστράσιν Βοώτεω;
ποίησον ἀμπέλους μοι.
καὶ βότρυας κατ᾽ αὐτό,
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

V. 3. edd. vett. πανοπλίας. — V. 7. cod. Fr. edd. vett. καὶ μὴ ποίει, ibidem v. 9. omissus, et deinde exhibent τί πλειάδων μέλλει μοι τί δ᾽ ἀστέρος B.

Ex his aparet, *antiquissimam* formam esse, quam Anthol. exhibet, ubi tenuis cantilena versibus 11. constat, hanc postea alius quis amplificavit additis versibus 5. (4. 10. 11. 14. 16.) et immutata paululum oratione, maxime, ut fieri solet, sub finem carminis: hoc autem factum est aliquanto ante Gellii aetatem, quare ille poetarum recentium idyllia ab his cantilenis distinguit. Neque tamen ex hac forma continuo ea orta, quam cod. Pal. exhibet, sed primum tertius aliquis rursus exitum cantilenae exornavisse videtur in hunc modum:

Ποίησον ἀμπέλους μοι
καὶ βότρυας κατ᾽ αὐτῶν,
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου,
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην

Tum denique alius tribus his ultimis versibus substituit:

ληνοβάτας πατοῦντας
τοὺς Σατύρους γελῶντας
καὶ χρυσοῦς τοὺς Ἔρωτας
καὶ Κυθήρην γελῶσαν.

Haec autem omnia in codice Pal. coniuncta videmus. Hoc exemplo satis edocemur, qualis sit conditio reliquorum carminum.

Digitized by Google

4. [18.]

ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΟΤΗΡΙΟΝ.

Καλλιτέχνα τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ πρῶτ' ἡμῖν τὰ τερπνά
ῥόδα φέρουσαν Ὥρην.
τὸν ἄργυρον δ' ἁπλώσας
ποίει πότον μοι τερπνόν,
μὴ τῶν, παραινῶ, τελετῶν
μὴ ξένον μοι τορεύσῃς,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον ποίει Διὸς γόνον
Βάκχον Εὔϊον ἡμῖν·
μύστις νάματος ἡ Κύπρις
ὑμεναίοις κροτῶσα.
χάρασσ' Ἔρωτας ἀνόπλους
καὶ Χάριτας γελώσας
ὑπ' ἄμπελον εὐπέταλον,
εὐβότρυον, κομῶσαν·
σύναπτε κούρους εὐπρεπεῖς·
ἅμα Φοῖβος ἀθύροι.

5. [59.]

(ΙΟΥΛΙΑΝΟΥ) ΕΙΣ ΕΡΩΤΑ.

Στέφος πλέκων ποθ' εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ' εἰς τὸν οἶνον,
λαβὼν δ' ἔπιον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

6. [11.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,

4. Spaletti addit τοῦ αὐτοῦ Ἀνακρέοντος. Mehlhorn binos versiculos coniungit, ut sint tetrametri politici, ideoque v. 9. subditicium censet et alia quoque mutavit. V. 1. καλλιτέχνα cod. in marg., ipse cod. καλητέχνα, vulgo καλὴ τέχνα. — V. 4. cod. ῥοδα φέρουσαν. Scribendum φέρουσιν Ὧραι, nam veris adventantis descriptio requiritur, tum demum simulacra poculi describuntur. — V. 5. ἄργυρον Barnes, cod. ἀργύρεον vel ἀργύριον, in m. ἀργυρέων μοι δ'. — V. 7. παραινῶ, cod. παρ' αἰνῶ, Salmasius παρ' οἶνῳ. — V. 9. cod. εστορημα, sed corr. ϊ. — V. 13. κροτῶσα, Stephanus alii κροτοῦσα. — V. 19. ἅμα Medenbach, cod. ἀμμη. — ἀθύροι Mehlhorn alii, cod. ἀθύρει.

5. εἰς Ἔρωτα, Spaletti τοῦ αὐτοῦ εἰς Ἔρωτα. Legitur etiam in Anth. Plan. 388. ubi inscribitur Ἰουλιανοῦ ἀπὸ ὑπάρχων Αἰγυπτίου. V. 1. ποθ' Pl., ποτ' cod. — V. 5. ἔπιον, Brunck ἔπινον.

6. εἰς ἑαυτόν, Spal. add. ἄλλο sed in m. om. V. 2. cod. Ἀναχρεων.

Digitized by Google

εἴτ᾽ εἰσίν, εἴτ᾽ ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ᾽ οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν
ὅσῳ πέλας τὰ Μοίρης.

7. [15.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ᾽ εἶλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ᾽ αὔριον τίς οἶδεν;
ὡς οὖν ἔτ᾽ ἐνδὶ ἐστιν
καὶ πῖνε καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἢν τις ἔλθῃ,
λέγῃ σε μὴ δεῖ πίνειν.

8. [31.]

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΜΕΘΥΣΜΕΝΟΝ.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·
θέλω θέλω μανῆναι.
ἐμαίνετ᾽ Ἀλκμαίων τε
χὠ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ᾽ ἐρυθρὸν οἶνον
θέλω θέλω μανῆναι.
ἐμαίνετ᾽ Ἡρακλῆς πρίν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.

V. 8. τοῦτο δ᾽, cod. τὸ δέ.

7. εἰς ἑαυτόν, Spal. in marg. εἰς τὸ ἀφθόνως ζῆν. Composita est haec cantilena ad similitudinem Archilochi Fr. 24. Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει, Οὐδ᾽ εἰλέ πώ με ζῆλος, οὐδ᾽ ἀγαίομαι Θεῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρῶ τυραννίδος. quod documento est etiam aliorum lyricorum praeter Anacreontem carmina in usum suum convertisse auctores harum cantilenarum. Legitur in Anthol. Pal. XI. 47. Ἀνακρέοντος et in Cram. An. Par. IV. 376. pars prior huius carminis usque ad v. 10. quod rursus documento est, quo pacto haec carmina sensim amplificata et corrupta sint. Etiam varietas lectionis deprehenditur in Anth. et Cram. An., v. 1. μέλει Γύγεω om. τά, unde Plan. Γύγαο, v. 3. οὐδ᾽ αἱρέει με χρυσός, v. 4. Anth. οὐδ᾽ αἰνέω (vel ἀρνέω) τυράννους, sed Cram. οὐ φθονέω τυράννους, v. 5. et 7. Cram. ἐμοῦ. — V. 1. Γύγεω, cod. γύγου, sed in m. γύγεο. — V. 11—15. satis novicia sunt, ut coniecturis abstinendum sit, quamquam Hermann v. 11. ἐνδὶ᾽ ἐστὶν scripsit (poterat etiam εὐδία ἐστίν), v. 15. Stephanus et Scaliger μηδὲ πίνειν, Barnes μὴ πιεῖν δεῖ. Scripsi tamen ib. λέγῃ cum Stephano, cod. λέγει.

8. V. 5. χὠ, cod. χὸ. — λευκόπους, Arnaldus ἀελλόπους, Pauw λευκόνους, alii λειπόνους, λευκόχρους vel λευκόφρυς. — V. 8. ἐρυθρόν, cod. in marg. δὲ λεύκον. — V. 10. ἐμαίνετ᾽, Stephanus ἐμαίνεθ᾽.

Digitized by Google

ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν·
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω θέλω μανῆναι.

9. [12.]

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
τί σοι, λάλη χελιδόν;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεύς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίαισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

10. [77.]

ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστάς,
πόσου θέλεις, ἔφην, σοί
τὸ τυχθὲν ἐκπρίωμαι;
ὁ δ' εἶπε δωριάζων,
λάβ' αὐτὸν ὁππόσου λῇς·
ὅπως δ' ἂν ἐκμάθῃς πᾶν,
οὐκ εἰμὶ καροτέχνας·
ἀλλ' οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτᾳ.
δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
πύρωσον· εἰ δὲ μή, σύ
κατὰ φλογὸς τακήσῃ.

11. [13.]

ΕΙΣ ΑΤΤΙΝ.

Οἱ μὲν καλὴν Κυβήβην
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντα
λέγουσιν ἐκμανῆναι.

V. 16. ἔχων homines docti, cod. ἔχω. — V. 18. fortasse aliena manu additus. Carmen videtur strophis senorum versuum constare.

9. Spal. add. τοῦ αὐτοῦ. — V. 2. λάλη Stephanus, cod. λάλευ. Munker κωτίλη om. σοι propter Anacr. Fr. 154. — χελιδόν, Stephanus χελιδών fort. recte. — V. 3. σευ, cod. supra σου.

10. Spal. add. τοῦ αὐτοῦ. — V. 5. τυχθὲν cod. in marg., vulgo τευχθέν. — V. 8. ὅπως, cod. supra ὅμως. — δ' add. Valperga, alii. — πᾶν cod. supra, v. νιν. Graeter et Mehlhorn totum versum subditicium censent. — V. 10. θέλω, fort. σθένω. — V. 11. cod. παντορεκτῃ. — V. 16. fort. καταφλεγείς.

11. Εἰς Ἄττιν cod., Spal. add. τοῦ αὐτοῦ, v. εἰς ἑαυτόν. V. 3. βοῶντα,

Digitized by Google

οἱ δὲ Κλάρου παρ' ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντες ὕδωρ
μεμηνότες βοῶσιν.
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθείς
καὶ τῆς ἐμῆς ἑταίρης
θέλω θέλω μανῆναι.

12. [14.]

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω θέλω φιλῆσαι·
ἔπειθ' Ἔρως φιλεῖν με,
ἐγὼ δ' ἔχων νόημα
ἄβουλον οὐκ ἐπείσθην.
ὁ δ' εὐθὺ τόξον ἄρας
καὶ χρυσέην φαρέτρην
μάχῃ με προύκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεύς,
καὶ δοῦρα καὶ βοείην,
ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον·
ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστούς,
ἠσχάλλεν· εἶτ' ἑαυτόν
ἀφῆκεν εἰς βέλεμνον,
μέσος δὲ καρδίης μευ
ἔδυνε, καί μ' ἔλυσεν·
μάτην δ' ἔχω βοείην·
τί γὰρ βάλωμεν ἔξω,
μάχης ἔσω μ' ἐχούσης;

13. [32.]

ΕΙΣ ΤΟΤΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν ἐρώτων
μόνον ποῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
ἔρωτας εἴκοσιν θές
καὶ πεντεκαίδεκ' ἄλλους.
ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι
καὶ μέχρι τῶν Ἰώνων
καὶ Καρίης Ῥόδου τε

probabiliter Bentley *βοῶσαν*, sed idem non recte v. 6. et 7. *πιόντας ὕδωρ μεμηνότας βοῆσαι* coniecit.

12. *Εἰς Ἔρωτα*, Spal. addit *τοῦ αὐτοῦ*. V. 2. *φιλεῖν* editores, cod. *φιλεῖ*. — V. 6. *χρυσέην*, cod. *χρυσίην*. — V. 14. *εἶτ'*, Stephanus *εἶθ'*. — V. 15. *εἰς*, Stark coni. *ὡς*. — V. 16. *καρδίης*, cod. *κραδίης*. — V. 19. *βάλωμεν* vulgo, cod. *βάλομεν*, Steph. *βαλώμεθ'*, Boissonade *λάβωμεν*.

13. Cod. sec. Spal. *ἄλλο τοῦ αὐτοῦ* et in marg. *τοῦ αὐτοῦ εἰς ἔρωτα*. V. 3. *κύματ' οἶδας* Davisius, cod. *κυμαθῶδες*. — V. 4. *τὰ* Davisius, cod. *τὸ* — *ποῶ* cod., v. *ποιῶ*. — V. 9. fort. aliena manu additus. — V. 11. cod. *ὁρμαθοὺς*. — V. 13. *καλαὶ γυναῖκες*, cod. *καλλιγυναῖκες*. — V. 16. *Καρίης Ῥόδου τε* vulgo, cod. *Καρίην Ῥόδον τε*.

Digitized by Google

διςχιλίους ἔρωτας.
τί φῄς; ἐκηριώθης;
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου,
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμεῖν
καὶ τοὺς Γαδείρων ἐκτός,
τοὺς Βακτρίων τε κἰνδῶν
ψυχῆς ἐμῆς ἔρωτας;

14. [9.]

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
πόθεν πόθεν πετᾶσαι;
πόθεν μύρων τοσούτων
ἐπ' ἠέρος θέουσα
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶ; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψεν
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
πέπρακέ μ' ἡ Κυθήρη
λαβοῦσα μικρὸν ὕμνον·
ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα·
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
ἐγὼ δέ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ·
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγρούς,
καὶ δένδρεσιν καθίζειν
φαγοῦσαν ἄγριόν τι;
τανῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δέ μοι δίδωσιν
τὸν οἶνον, ὃν προπίνει·
πιοῦσα δ' ἂν χορεύσω,
καὶ δεσπότην γέροντα
πτεροῖσι συγκαλύψω.
κοιμωμένη δ' ἐπ' αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ'· ἄπελθε·
λαλιστέραν μ' ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.

V. 18. ἐκηριώθης scripsi, Hermann ἀνεπτερώθης, Scaliger ἀεί γ' Ἔρωτες, cod. ἀεὶ κηρώθεις. Cf. Hesych.: κηριοῦσθαι, ἐκπλήττεσθαι. — κηριωθῆναι· ὑπὸ σκοτοδίνου ληφθῆναι. et ἐκηριώθη — ἐπτοήθη, ἐθανατώθη. — ἐκκεκηριωμένη· ἐκπεπληγμένη, ἐξω τῆς ψυχῆς γεγονυῖα· et ἐξεκηρίωσας, ἐξέστησας. — V. 24. ἀριθμεῖν, Scaliger ἀριθμῶ. — V. 25. τοὺς, cod. supra τὰς. Corrigunt τοὺς ἐκτὸς αὖ Γαδείρων.

14. Spal. add. τοῦ αὐτοῦ. — V. 2. πετᾶσαι, cod. πέτασαι, corrigunt πέτασσαι. — V. 4. θέουσα, cod. a m. pr. θέασα. — V. 5. πνέεις, cod. πνίεις. — V. 6. τίς εἶ; τί Brunck, cod. τίς ἐστι. — V. 11. μ' ἡ Faber cod. με. — V. 14. τοσαῦτα, fort. τοιαῦτα (τοαῦτα). — V. 15. ὁρᾷς Stephanus, cod. οἷας. — V. 23. δένδρεσιν, cod. δένδρεσι. — V. 30. χορεύσω Pauw χορεύω, Hartung αὖ χορεύω. — V. 31. γέροντα scripsi, et sic vir doctus apud Longopetraeum, Stephanus ἐμοῖσι, cod. Ἀνακρέοντα. — V. 32. συγκαλύψω, cod. supra συσκιάσω. Videtur συγκαλύπτω vel συσκιάζω scribendum.

Digitized by Google

15. [28.]

ΕΙΣ ΚΟΡΗΝ.

Ἄγε ζωγράφων ἄριστε,
γράφε ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,
γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἁπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ' ἐξ ὅλης παρειῆς
ὑπὸ πορφυραῖσι χαίταις
ἐλεφάντινον μέτωπον.
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ', ὅπως ἐκείνη,
τὸ λεληθότως σύνοφρυν
βλεφάρων ἴτυν κελαινήν.
τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκόν, ὡς Ἀθήνης,
ἅμα δ' ὑγρόν, ὡς Κυθήρης.
γράφε ῥῖνα καὶ παρειάς,
ῥόδα τῷ γάλακτι μίξας.
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλούμενον φίλημα.
τρυφεροῦ δ' ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτήν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν
ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
ἀπέχει· βλέπω γὰρ αὐτήν.
τάχα κηρὲ καὶ λαλήσεις.

16. [29.]

ΕΙΣ ΝΕΩΤΕΡΟΝ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον οὕτω
τὸν ἑταῖρον, ὡς διδάσκω.
λιπαρὰς κόμας ποίησον,
τὰς μὲν ἔνδοθεν μελαίνας,
τὰς δ' ἐς ἄκρον ἡλιώσας·
ἕλικας δ' ἐλευθέρους μοι
πλοκάμων ἄτακτα συνθείς
ἄφες, ὡς θέλωσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρὺς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,

15. Spal. add. τοῦ αὐτοῦ. V. 3. Ῥοδίης Stephanus, cod. ῥοδέης. — κοίρανε, Lennep κάρανε. — V. 11. πορφυραῖσι, cod. πορφύραισι. — V. 16. τὸ, Pauw. τι. — λεληθότως, cod. a m. sec. λεληθότος. — V. 17. κελαινήν, cod. κελαίνην. — V. 22. ῥῖνα vulgo, cod. ῥῖνας. — V. 23. τῷ vulgo, cod. τό. — V. 28. πέτοιντο cod. in marg., in textu πετονται.

16. νεώτερον omisit Stephanus. V. 4. 5. τὰς μὲν — τὰς δὲ —, τὰ μὲν — τὰ δ' Stephanus. — V. 8. ὡς, cod. ὠς. — V. 14. Ἄρηος, cod. a m. pr. ἄρεος. — ἕλκον vulgo, cod. ἕλκων. — V. 16. φοβῆται vulgo, cod. φοβεῖται.

Digitized by Google

τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται·
ῥοδίνην δ' ὁποῖα μῆλον
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ', ὡς ἂν Λίδοῦς
δύνασαι βαλεῖν, ποίησον.
τὸ δὲ χεῖλος οὐκέτ' οἶδα,
τίνι μοι τρόπῳ ποιήσεις —
ἁπαλὸν γέμον τε Πειθοῦς.
τὸ δὲ πᾶν ὁ κηρὸς αὐτός
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθών
ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
ἁπαλῶν δ' ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτι μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τὰ δ' ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς·
τὸν Ἀπόλλωνα δὲ τοῦτον
καθελὼν ποίει Βάθυλλον.
ἦν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
γράφε Φοῖβον ἐκ Βαθύλλου.

17. 18. [21. 22.]

ΕΡΩΤΙΚΟΝ ΩΙΔΑΡΙΟΝ.

Λότε μοι, δότ' ὦ γυναῖκες
Βρομίου πιεῖν ἀμυστί·
ἀπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ' ἀνθέων ἐκείνου
στεφάνους, οἵους πινάζω·
τὰ μέτωπά μου πικαίει.
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω;
Παρὰ τὴν σκιὴν Βαθύλλου
κάθισον· καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτὸν ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς·
τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

V. 17. τὸ δ' ἀπ', cod. τοῦ δ' ἄπ'. — κρεμᾶται, cod. sec. Spal. κρέμαται. — V. 18. ῥοδίνην, cod. supra ῥοδέην. — V. 23. ποιήσεις, cod. supra ποιήσης. — V. 24. γέμον τε vulgo, cod. γέμον τό. — V. 27. μετὰ cod. in marg., μέγα in textu. — V. 28. τὸν Ἀδώνιδος παρελθών Salmasius, cod. τὸ δ' Ἀ. παρῆλθον. — V. 39. ὅτι μὴ vulgo, cod. ὅτι μοι. — V. 42. ὅσσον, Spal. ex cod. ὅσον. — V. 45. ποτ' ἔλθῃς, cod. supra εἰςέλθῃς.

17. 18. Spal. add. τοῦ αὐτοῦ. Stephanus inscripsit εἰς ἑαυτόν. Inde a v. 10. vulgo novum incipit carmen, quod etiam in codice diremtum est, (in m. secundum Spal. ab alia manu adscriptum ἄλλο εἰς τὸν αὐτόν), Stephanus inscripsit εἰς Βάθυλλον, sed recte Mehlhorn haec duo carmina in unum coniunxit. V. 1. δότ' ὦ vulgo, cod. δότε. — V. 3. ἀπὸ cod., vulgo ὑπό. — V. 4. προδοθεὶς cod. supra, in textu πυρωθεὶς, Stephanus προποθεὶς. — V. 6. subditicium censet Mehlhorn. — οἵους, Arnaldus οἷοις, Stephanus ὅπως, fort. οἷς με. — V. 7. πικαίει, cod. supra πικαίω. — V. 9. σκεπάζω, cod. supra σκεπάσω. — V. 10. Βαθύλλου, Stephan. Βάθυλλε. — V. 11. κάθισον Stephanus, καθίσω Salmasius, cod. κάθισο. — V. 14. αὐτὸν, αὐτῷ Stephanus. — ἐρεθίζει, Canter τερετίζει. — V. 16. τίς ἂν οὖν secund. Spal. cod. in margine, in textu τίς οὖν, supra ἄν.

Digitized by Google

19. [30.]

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισιν
τῷ Κάλλει παρέδωκαν.·
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ λύτρα φέρουσα
λύσασθαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

20. [66.]

Α Λ Λ Α Ο.

Ἡδυμελὴς Ἀνακρέων,
ἡδυμελὴς δὲ Σαπφώ·
Πινδαρικὸν τόδε μοι μέλος
συγκεράσας τις ἐγχέοι.
τὰ τρία ταῦτά μοι δοκεῖ.
καὶ Διόνυσος εἰσελθών,
καὶ Παφίη λιπαρόχροος,
καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.

21. [19.]

Α Λ Λ Α Ο.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε᾽ αὖ γῆν.
πίνει θάλασσα δ᾽ αὔρας.
ὁ δ᾽ ἥλιος θάλασσαν,
τὸν δ᾽ ἥλιον σελήνη.
τί μοι μάχεσθ᾽ ἑταῖροι
καὐτῷ θέλοντι πίνειν;

22. [20.]

ΕΙΣ ΚΟΡΗΝ.

Ἡ Ταντάλου ποτ᾽ ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ᾽ ὄρνις ἔπτη
Πανδίονος χελιδών.
ἐγὼ δ᾽ ἔσοπτρον εἶην,
ὅπως ἀεὶ βλέπῃς με·

19. Spaletti: *ἄλλο εἰς ἔρωτα τοῦ αὐτοῦ.* — V. 3. cod. *οὐ ἔξεισιν*, et praeterea Spal. notavit *μένει.*

20. V. 3. *τόδε*, fort. *δὲ*, Hermann *δέ τι.* — V. 4. *τις*, cod. *τὶς.* — V. 6. *εἰσελθών*, Hermann coni. *ἐλθών.* — V. 7. cod. *παρόχροος*, correctum supra et in marg. — V. 8. *καὐτὸς Ἔρως ἂν ἐκπιεῖν* Hermann, cod. *καὶ αὐτὸ ἔρως κὰν ἐπίειν.*

21. *ἄλλο* additum in marg., Stephanus inscripsit *εἰς τὸ δεῖν πίνειν.* — V. 2. *δὲ δένδρε᾽ αὖ γῆν* scripsi, cod. *δένδρεα δ᾽ αὐτήν.* — V. 3. *θάλασσα δ᾽ αὔρας* cod., Heskin *θάλασσ᾽ ἀναύρους.*

22. Spal. addit *ἄλλο.*

Digitized by Google

ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω·
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ' ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ.
καὶ σάνδαλον γενοίμην·
μόνον ποσὶν πάτει με.

23. [1.]

ΕΙΣ ΚΙΘΑΡΑΝ.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἤμειψα νεῦρα πρώην
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δέ
ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γάρ
μόνους Ἔρωτας ᾄδει.

24. [2.]

ΕΡΩΤΙΚΟΝ.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα.
γυναιξὶν οὐκ ἔτ' εἶχεν.
τί οὖν δίδωσι; κάλλος
ἀντ' ἀσπίδων ἁπασῶν,
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

25. [33.]

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν φίλη χελιδόν
ἐτησίη μολοῦσα
θέρει πλέκεις καλιήν·
χειμῶνι δ' εἷς ἅφαντος

V. 10. σε vulgo, cod. σεῦ. — V. 13. ταινίη, cod. a m. pr. τενίη. — μαστῶν, Spal. μασθῶν. — V. 14. μάργαρον cod. supra, in textu μάργαρος. v. 13. et 14. fortasse serius sunt adiecti. — V. 16. πάτει, Stephanus πατεῖν

23. Spal. addit. τοῦ αὐτοῦ. V. 3. ἁ cod., corrigunt ὁ. — V. 12. ἔρωτας vulgo, cod. ἔρωτες.

24. Ἐρωτικόν. Spal. ἄλλο ἐρωτικόν, Steph. εἰς γυναῖκας. V. 5. τοῖς ἰχθύσιν τὸ νηκτόν, cod. τοῖς ἰχθοῖσιν τὸ νικτόν, vel sec. Spal. τοῖς ἰχθοῖσι τὸ νικτόν (supra νηκτόν).

25. Spal. τοῦ αὐτοῦ εἰς χελιδόνα inscripsit. V. 1. χελιδόν cod. supra, in textu χελιδών.

Digitized by Google

ἢ Νεῖλον ἢ ἐπὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ὠόν ἐστιν ἀκμήν,
ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ' αἰεί
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικρούς
οἱ μείζονες τρέφουσιν.
οἱ δὲ τραφέντες εὐθύς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

26. A. [16.]

ΕΡΩΤΙΚΟΝ ΩΙΔΑΡΙΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
ἐγὼ δ' ἐμὰς ἁλώσεις.
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζός, οὐχὶ νῆες·
στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων με βάλλων.

26 B. [55.]

Ἐν ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ' ἔχουσιν·
καὶ Παρθίους τις ἄνδρας
ἐγκώρισεν τιάραις.
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ' εὐθύς·
ἔχουσι γάρ τι λεπτόν
ψυχῆς ἔσω χάραγμα.

27. A. [41.]

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐπόει λαβὼν σίδηρον.
ἀκίδας δ' ἔβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·
ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
ὁ δ' Ἄρης ποτ' ἐξ ἀϋτῆς
στιβαρὸν δόρυ κραδαίνων
βέλος ηὐτέλιζ' Ἔρωτος·
ὁ δ' Ἔρως, τόδ' ἐστίν, εἶπεν,
βαρύ· πειράσας νοήσεις.

V. 7. καρδίῃ, cod. κραδιη. (Spal. καρδίηι.) — καλιήν, cod. supra καλιεν. — V. 10. ἡμίλεπτος editores, cod. ἡμὶν ληπτός. — V. 11. αἰεί vulgo, cod. ἀεί. — V. 18. σθένω, Mehlhorn στέγω. — V. 19. ἐκσοβῆσαι cum Pauwio scripsi, legebatur ἐκβοῆσαι. Wiedemann v. 18. et 19. subditicios censet.

26. A. Spal. addit ἄλλο. V. 6. δὲ καινὸς, Wiedemann coni. δ' ἐκεῖνος. — V. 7. με βάλλων, Stephanus βαλών με.

26 B. In codice hoc carmen cum priore coniunctum, vulgo inscribitur εἰς τοὺς ἐρῶντας ᾠδάριον.

27 A. Spal. scribit: ἄλλο τοῦ αὐτοῦ βέλους. V. 2. cod. λιμνίαις. — V. 4. ἐπόει cod., vulgo ἐποίει. — V. 12. Repetit codex hoc loco v. 17.

Digitized by Google

ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω·
μύρον, γύναι, γενοίμην,

ὅπως
καὶ
κσ

23.

ΕΙΣ

Θέλω λέγειν Ἀτρείδα
θέλω δὲ Κάδμον ᾆδ·
ἃ βάρβιτος δὲ χορδ
Ἔρωτα μοῦνον ἠχ
ἤμειψα νεῦρα π
καὶ τὴν λύρην

, δι' αὐτόν.
ρον, ὀλλύμεσθα
τοῦτον οἱ φιλοῦντες.

[44.]

O N A P.

ροχάζειν
Φύσις γ ων ἐπ' ὤμων·
ὁπλὰς ἔχων μόλιβδον
ποδα ς καλοῖς ποδίσκοις
λέσ ε καὶ κίχανεν.

τί δ' ὄναρ θέλει τόδ' εἶναι;
δοκέω δ' ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθάνειν μὲν ἄλλους,
ἑνὶ τῷδε συνδεθῆναι.

29. [7.]

ΕΡΩΤΙΚΟΝ.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν.

διὰ δ' ὀξέων μ' ἀνάγων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἰδρώς.

27 B. et C. Cohaerent in codice cum praecedentibus, vulgo haec coniungunt quasi unum sit carmen et inscribitur εἰς Ἔρωτα. Sed rectius post v. 4. inde a Γένος novam cantilenam sequi statues, quod Mehlhorn iam suspicatus est.

27 C. V. 7. post hunc versum videntur quaedam excidisse.

28. Spal. τοῦ αὐτοῦ addit. V. 6. τί δ' ὄναρ θέλει τόδ' Brunck, nisi malis τί θέλει δ' ὄναρ τόδ', cod. τί θέλει τόδ' ὄναρ, τί θέλει ὄναρ τόδ Stephanus. — V. 9. διολισθάνειν Mehlhorn, cod. διολισθένειν, Steph. διολισθανεῖν. — ἄλλους vulgo, cod. ut videtur et Steph. ἄλλοις. — V. 10. τῷδε Pauw. coni. τῳ δὲ.

29. Spal. ἄλλο ἐρωτικόν. V. 2. χαλεπῶς Stephan., cod. χαλεπός. — ῥαπίζων Brunck, cod. βαδίζων. — V. 3. ἐκέλευε, Stephanus ἐκέλευσε. — V. 6. τεῖρεν ἰδρώς Salmasius, cod. πεῖρεν ἰδρ ς.

Digitized by Google

ἁπαλοῖς πτεροῖσιν εἶπεν,
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι

…τέων λυθέντων.
λίθον μυρίζειν;
ἢ χέειν μάταια;
μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἔρως ἐκεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

31. [3.]

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποτ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίζεις ὀνείρους.
ὁ δ' Ἔρως, ἄνοιγε, φησίν·
βρέφος εἰμί, μὴ φόβησαι·
βρέχομαι δὲ κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην.
παρὰ δ' ἱστίην καθῖσα
παλάμαις τε χεῖρας αὐτοῦ

V. 9. σείων, Brunck σαίνων coni.

30. Spal. ἄλλο ἐρωτικὸν τοῦ αὐτοῦ et in margine ᾠδάριον. V. 1. τερείναις, cod. τερίναις. — V. 2. ποίαις, cod. πόαις. — V. 6. διακονείτω, cod. sec. Spal. διακονεῖτο. — V. 7. ἅρματος γὰρ vulgo, cod. γὰρ ἅρματος. — V. 12. χέειν vulgo, cod. καίειν. — V. 16. ἔρως ἐκεῖ μ' corruptum, Baxter πρίν, ἐρῶ σε, δεῖ μ' ἀπελθεῖν, Barnes πρὶν ἔραζε δεῖν μ' ἀπελθεῖν, Peerlkamp πρὶν ἔρως ἔχει μ'. Fort. πρὶν ἐκεῖ μ' ὥρα 'στ' ἀπελθεῖν.

31. Spal. in marg. ἄλλο. V. 2. στρέφεται, cod. στρεφέτην. Versus fortasse ex duobus temere conflatus. — V. 7. θυρέων, cod. θυράων. — V. 9. σχίζεις vulgo et sic Spal. ex cod., Levesqu. σκίζεις, Stephan. σχίσεις. — V. 11. φόβησαι, Spal. φοβῆσαι. — V. 17. ἐσορῶ vulgo, cod. εἰσορῶ. — V. 18. fort. ab interpolatore additus. — V. 19. καθῖσα Mehlhorn coniecit, cod. καθίξας et καθίσας. — V. 20. παλάμαις τε, cod. παλάμας καὶ et sura τε, vulgo παλάμαισι.

Digitized by Google

ἔλαβεν βέλεμνον Ἄρης·
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας,
βαρύ, φησίν· ἄρον αὐτό.
ὁ δ' Ἔρως, ἔχ' αὐτό, φησίν.

27 B. [46.]

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι·
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.

27 C. [46.]

Γένος οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτός
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῦτον οὐκ ἀδελφός,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.

28. [44.]

O N A P.

Ἐδόκουν ὄναρ τροχάζειν
πτέρυγας φέρων ἐπ' ὤμων·
ὁ δ' Ἔρως ἔχων μόλιβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανεν.
τί δ' ὄναρ θέλει τόδ' εἶναι;
δοκέω δ' ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθάνειν μὲν ἄλλους,
ἑνὶ τῷδε συνδεθῆναι.

29. [7.]

ΕΡΩΤΙΚΟΝ.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν.
διὰ δ' ὀξέων μ' ἀναύρων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς.

27 B. et C. Cohaerent in codice cum praecedentibus, vulgo haec coniungunt quasi unum sit carmen et inscribitur *εἰς Ἔρωτα*. Sed rectius post v. 4. inde a *Γένος* novam cantilenam sequi statues, quod Mehlhorn iam suspicatus est.

27 C. V. 7. post hunc versum videntur quaedam excidisse.

28. Spal. *τοῦ αὐτοῦ* addit. V. 6. *τί δ' ὄναρ θέλει τόδ'* Brunck, nisi malis *τί θέλει δ' ὄναρ τόδ'*, cod. *τί θέλει τόδ' ὄναρ, τί θέλει ὄναρ τόδ'* Stephanus. — V. 9. *διολισθάνειν* Mehlhorn, cod. *διολισθένειν*, Steph. *διολισθανεῖν*. — *ἄλλους* vulgo, cod. ut videtur et Steph. *ἄλλοις*. — V. 10. *τῷδε*. Pauw. coni. *τῷ δὲ*.

29. Spal. *ἄλλο ἐρωτικόν*. V. 2. *χαλεπῶς* Stephan., cod. *χαλεπός*. — *ῥαπίζων* Brunck, cod. *βαδίζων*. — V. 3. *ἐκέλευε*, Stephanus *ἐκέλευσε*. — V. 6. *τεῖρεν ἱδρώς* Salmasius, cod. *πεῖρεν ἱδρ ς*.

Digitized by Google

κραδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπέσβην.
ὁ δ' Ἔρως μέτωπα σείων
ἀπαλοῖς πτεροῖσιν εἶπεν,
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι

30. [4.]

ΕΡΩΤΙΚΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν·
ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἔρως ἐκεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

31. [3.]

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποτ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίζεις ὀνείρους.
ὁ δ' Ἔρως, ἄνοιγε, φησίν·
βρέφος εἰμί, μὴ φόβησαι
βρέχομαι δὲ κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μέν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην.
παρὰ δ' ἱστίην καθῖσα
παλάμαις τε χεῖρας αὐτοῦ

V. 9. σείων, Brunck σαίνων coni.

30. Spal. ἄλλο ἐρωτικὸν τοῦ αὐτοῦ et in margine ᾠδάριον. V. 1. τερείναις, cod. τερίναις. — V. 2. ποίαις, cod. πόαις. — V. 6. διακονείτω, cod. sec. Spal. διακονεῖτο. — V. 7. ἅρματος γὰρ vulgo, cod. γὰρ ἅρματος. — V. 12. χέειν vulgo, cod. καίειν. — V. 16. ἔρως ἐκεῖ μ' corruptum, Baxter πρίν, ἐρῶ σε, δεῖ μ' ἀπελθεῖν, Barnes πρὶν ἔραζε δεῖν μ' ἀπελθεῖν, Peerlkamp πρὶν ἔρως ἔχει μ'. Fort. πρὶν ἐκεῖ μ' ὥρα 'στ' ἀπελθεῖν.

ποτὲ τὸν γόνον Κυθήρης·
ἐνενήχετο προπαίζων
μετὰ Νηΐδων χορείης·

V. 81. *Κυθήρης*, cod. *Κυθείρης*. — V. 89. *θάναι* nolui mutare. — V. 106. *πλουτοδότιν*, cod. *πλουτοδότην*. — V. 111. *στύγνασον*, cod. *στύχνασον*.

Constantini carmen 2. Extat apud Matrangam 693., et iam ante edidit Cramer An. Paris. IV. 380. sine poetae nomine. Crameri codicem notavi C, Matrangae M. In Pinace Cod. Barber. inscribitur: *τοῦ αὐτοῦ ᾠδάριον ἐρωτικὸν ἀνακρεόντιον, ὅπερ ἦσεν ἐν νεότητι παίζων οὔτι σπουδάζων· ἔλαβε δὲ τὴν ὑπόθεσιν ἐκ μελῳδίας τινὸς ᾀδομένης ἐν γάμῳ.* V. 2. *Κυθήρης*, M *κυθείρης*. — V. 3. *προπαίζων*, M *προβαίνων*. — V. 4. *Νηΐδων* M, ut Hermann Epit. Doctr. Metr. 174. ed. sec. coniecit, *Νηρηΐδων* C.

Digitized by Google

ποταμὸς δὲ χρυσοδίνης
ἐβόα, τί πυρπολεῖς με,
τί με, παιδίον, φλογίζεις;
ἀπ' ἐμῶν ἄπελθε ῥείθρων.
πλοκάμους χρυσοχύτους θαῦμα
ἰδέσθαι,
ὁ γόνος τῆς Παφίης εἶχε καρήνῳ.

Ὃν ἰδὼν ἐγὼ τότ' ἔσχον
ἐπιθυμίαν κρατῆσαι,
κρατεραῖς πέδαις τε δῆσαι,
θαλεροῖς νέοις τε δεῖξαι·
ὁ δὲ νόσφι τῶν ῥείθρων
ὑπέφευγε προγελῶν μοι,
ποτὲ μὲν ποσὶ προβαίνων,
ποτὲ δὲ πτεροῖς ἀλύσκων.
μικρὸς ἦν, ὑπόπτερός τε,
πολυποίκιλός τε μύθῳ,
πολυδαίδαλος τὸ εἶδος,
πολυήρατος τὸ κάλλος.
παῖδα ὀϊστοβόλον Ἀφρογενείης,
εὐγενέων λογάδων, φεύγετε,
κοῦροι.

Γυμνὸς ἦν ἀνάρβυλός τε,
πυρὶ δ' εἰκελος τὰ πάντα·
ἀπὸ δ' ὀμμάτων βολάων
φλογερὴν ἔπεμπεν αἴγλην·
ἐρατὴν φέρεν φαρέτρην
πεπυρωμένων βελέμνων,
ἐπίχρυσον εἶχε τόξον
πεχαλασμένον κατ' ὤμων.
μικρὸν ἔχει τὸ βέλος, μακρὰ δὲ
βάλλει,
ὃν δὲ βάλῃ, πυρόεις οἶστρος
ἐλαύνει.

Γλυκερὴν ὅπα προῆκεν
διὰ τὸν πόθον λαλῶν μοι,
λιγυρὸν μέλος λυρίζων,
καθάπερ Πρόκνη κατ' ἄλσος·
παλάμην ἄγαν βραχεῖαν
ὑπεμειδία κραδαίνων·
ἐπεδείκνυεν δέ ταύτην,
προφανῶς τὸ πῦρ ἀφάσσων·
ἀναγαλλίδας παρῆλθεν,
ἵα καὶ κρόκους παρέπτη·
Ζεφύρου πνοὰς γὰρ εἶχεν
κατοπισθίους λιγείας.
τὸ βρέφος τῆς Παφίης φεύγετε,
κοῦροι.
ἀφανῶς τόξα πόθων ἀγκύλα
τείνει.

Καθάπερ ταὼς τις ὄρνις
ὁ κατάστερος πτεροῖσιν,
ὑπερίπτατο πλανῶν με,
λιβάδων ὕπερθε παίζων·
ἔκαμον τρέχων, ἐλαύνων·
ἀπεπαυσάμην διώκων·
ὁ δὲ τοῖς ῥόδοις με βάλλων,
ὑπέθελγέ πως πρὸς οἶστρον.
πόσα ἄνθη ἔδραμον καὶ ῥοδεῶνας,
ὀπίσω παιδαρίου πολλὰ διώκων;

Τὸν Ἔρωτα τὸν πλανήτην
τί μάτην, νέοι, ποθεῖτε;
μανίης πέφυκε δῆγμα,
νεότητός ἐστι πῆμα·
νεότης πέφυκε πᾶσα
ταλακάρδιος θρασεῖα
ἀκατάσχετός τε τόλμα,
ἀτελῶν πόνων ἐρῶσα·

V. 10. *γόνος* M, *Ἔρως* C. — *καρήνῳ*, M *καρήνων*. — V. 11. *τότ'*, M *ποτ'*. — V. 19. *μικρὸς*, Hermann *πικρός*. — V. 23. Hermann *παῖδα ὀϊστοβόλον φεύγετε, κοῦροι Εὐγενέων λογάδων, Ἀφρογενείης*. — V. 25. *ἀνάρβυλος*, C *ἀνάρβιλος*. — V. 29. *ἐρατὴν φέρεν* M, *ἐρατὰν φέρων* C. — V. 32. *ὤμων*, M *ὤμους*. — V. 33. *ἔχει*, M *εἶχε*. — *βάλλει*, M *πέμπει*. — V. 36. *τὸν πόθον*, M *τῶν πόθων*. — V. 40. *ὑπεμειδία* M, *ἐπεμειδία* C. — *κραδαίνων*, M *κερδαίνων*. — V. 41. *ἐπεδείκνυεν* scripsi, C *ἐπιδείκνυ*, M *ὑπεδείκνυε*. — V. 42. *ἀφάσσων*, M *ἀφύσσων*. — V. 43. *ἀναγαλλίδας*, C *ἀναγγαλίδας*. — *παρῆλθεν*, C *παρίπτων*. — V. 44. *παρέπτη*, C *παρῆλθεν*. — V. 50. *κατάστερος*, M *κατάπτερος*. — V. 53. *ἔκαμον* M, *ἔκαμνον* C. — V. 55. *με βάλλων* scripsi, legebatur *ἐμβάλλων*. — V. 57. *ῥοδεῶνας* scripsi, C *ῥοδωνεῶνας*, M *ῥοδωνίας*. — V. 59. et 60. om. C. — V. 61. *μανίης*, M *κραδίης*, fort. recte. — *δῆγμα* M, *δεῖγμα* C. — V. 63. *νεότης* om. C, fort. *μανίη* scribendum. — V. 64. om. C. — V. 65. *τόλμα*, M *τόλμη*.

Digitized by Google

καλύκων συνῆγεν ἄνθη,
παρέχων ἐμοὶ πονεῖσθαι·
πλατάνοισι γὰρ προβαίνων
στεφάνους πλέκειν με θῆκεν.
δροσερὰς εἰς λιβάδας πολλὰ
διώξας,
τὸν Ἔρωτα βροχίσαι οὐκ ἠδυνήθην.

Ὑποδὺς δ' ἔνερθε λόχμης
σκιεροῖς ἔπαιζε δένδροις·
πύματον βέλος δὲ πέμψας
βάλεν ἡπάτων τὰ κοῖλα·
συνομηλίκων χορεία,
συναρήξατε προθύμως·
κατακαίομαι, κλονοῦμαι,
ἀφανῶς τε πυρπολοῦμαι.
ἀνθοκόμους λιβάδας πεζοπορήσας
παῖδα πανοῦργον ἑλεῖν οὐκ ἐδυνήθην.
Δότε μοι λόγον, τί ῥέξω,
τί πάθω, τί δ' αὖ προσοίσω,
τί δὲ φάρμακόν ποθ' εὕρω
κραδίην ἐμὴν δροσίζον.
φάρμακον ἐξ Ἑλένης εἴ τις
ἐφεύροι
ἡμετέραις φιάλαις ἐγκαταμῖξαι.

Ἄκος εἰς ἔρωτ' ἀκούω
ἀποδημίαν γενέσθαι·
σὺ μένειν θέλων δὲ μᾶλλον
ἕτερον τρόπον μετέρχου·
ἀΰπνους ἴαυε νύκτας
μετ' Ἀχιλλέως ἑταίρων,
σὺν ἀηδόσιν λιγείαις
μελιηδέα προσῴδων.
ἐδάην πόθου τὸ φίλτρον,
ὁδὸν οὐδαμῶς δ' ἀπέγνων,
δότε μοι συνοιμοδίτην
τὸν Ἔρωτα συλλαλοῦντα.
τῆς Παφίης τὸ βρέφος φεύγετε, κοῦροι,
λαμπάδα καιομένην χερσὶ κομίζει.

3.

ΤΟΥ ΑΥΤΟΥ ΑΝΑΚΕΟΝΤΕΙΟΙ

χωρὶς ἀνακλωμένων, πρός τινα ἐρῶντα παρθένου, κατὰ ἀλφάβητον.

Ἄγαμαι μόνον ὁρῶν σε
ἀγλαὸν φέρουσαν εἶδος·
βέλεσιν ἔρωτος, οἴμοι,
κατὰ καρδίας ἐδήχθην.
Γέγονας λίθος μαγνῆτις
ἀνέρας ἄγουσα πάντας·
Δέομαι, κόρη, καλῶ σε
σὺν ὁλοψύχῳ θελήσει.
Ἐπὶ σοὶ γέγηθα χαίρων,
πανυπερτάτη γυναικῶν·
Ζιζάνια ταῦτα, φίλε,
ὄφιος πονηροτάτου.

V. 68. C *παρέσχε μοι πονεῖν δὲ*. — V. 70. *με θῆκεν*, M *μεθῆκεν*, Hermann *πλέκων μεθῆκεν*. — V. 72. *ἠδυνήθην*, C *ἠδυνήθη*. — V. 75. *πύματον*, C *πήματον*. — *δὲ πέμψας* M, *προπέμψας* C. — V. 76. *βάλεν* M, *βάλλεν* C. — V. 77. *συνομηλίκων*, M *συνομιλήκων*. — V. 79. *κλονοῦμαι* M, *κλονουμένων* C. — V. 81. *ἀνθοκόμους*, M *ἀνθεκόμους*. — *πεζοπορήσας* M, *πεζοπονήσας* C. — V. 82. *ἐδυνήθην* scripsi, legebatur *ἠδυνήθην*. — V. 84. *προσοίσω* Cramer, *προσήσω* C, *προσείπω* M, fort. *προσῴσω*. — V. 87. et 88. M collocat post v. 92. — V. 92. *μετέρχου*, M *μετέρχῃ*. — V. 94. *ἑταίρων*, M *ἑταῖρε*. — V. 96. excidit fortasse hic cuculium. — V. 98. *ὁδὸν οὐδαμῶς δ' ἀπέγνων* scripsi, legebatur *ὁδὸν δ' οὐδαμῶς ἐπέγνων*. — V. 99. *συνοιμοδίτην* M, ut Hermann coniecit, *συνομοδίτην* C. — V. 102. *χερσὶ*, Hermann *χειρί*,

Constantini carmen 3. Extat apud Matrangam 696., est autem haud dubie ab alio quo compositum. Nolui autem quidquam mutare.

Digitized by Google

Ἥλοι μοι τάδε καρδίας
πεπυρωμένοι δοκοῦσιν.
Θανατηφόρα ποθοῦντι
τὰ λελεγμένα τυγχάνει.
Ἵνα τί λόγους προσάγεις
ἀπάδοντας, οἷς προσάγω;
Κεκρατηκυῖα χερός με
μεγάλα παρηγορήσεις.
Λιγυρῶς δ' ἅμα λαχοῦσα
ὁπόση χάρις, ἔπελθε·
Μία μοι παραμυθία,
φάος ὀμμάτων ἐμῶν τε
Νενικηκυῖά περ ἄκρως
ἔπεσι, χάρισι, τάξει,
Σίνον οἷον αὐγαζούσας
πόρας ἁπάσας ἐν εἴδει·
Ὁ μὲν οὖν Ἔρως ἀνῆψε,
σὺ δ' ὕδωρ μέσον φλογός που.
Περιεκράτησε φεῦ μου,
φρένας ἐξέκοψε, γυῖα.
Ἷς ἅμα γνάθοις γελᾷ σου,
ἐπίχαρι τοῖς ὁρῶσι.
Συνεμειδίασε τούτοις
ὀφρύες, μέτωπα, πώγων·
Τὰ ῥοδόχροά τε χείλη,
στόμα λευκότης ἔπανθεῖ.
Ὑπεμείδιασε πάντα
ἀνέρι φίλα λαλοῦντι,
Φρονιματάτῳ λογίῳ,
ἀγλαῷ, σοφῷ, μεγίστῳ·
Χάρισιν ἅμα χορεύων
χρύσεον βλέπω τὸν ὅρμον,
Ψυχαγωγίαν ὀλίγην
ἐπισυνάγων ἐρῶ σῇ
Ὡι λόγος δίδωσιν ὥτα,
ὁ πόθος δ' ἄλυτος ἔστω.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ ΕΠΙΤΥΜΒΙΟΝ.

Εἰς Θεοκτίστην τὴν θυγατέρα αὐτοῦ.

1.

— — — — — — — — — — — — —

ἀργυρόπεζα Θέτις, χάρμα τεκόντων,
ποῦ κατέδυς λέγε μοι; ναὶ λέγε, τέκνον·
κάλυπας παρθενίδας, ναὶ κρίνα θεῖα,
ῥόδα νάρκισσον ἔχων, πῶς κόνιν ἔσχον;
ἢ πάρος ἀνθοφόρος, σῆψιν ἐφεῦρες,
εἴδεσι λαμπομένη νύκτα βαρεῖαν·
ἑλκεσίπεπλον ἔχεις παρθένον, Ἄιδη,
ἐρατήν, σεμνοτάτην, παμφάγε, τέρπου·
ὑψιμέδον, κατέχοις νῦν Θεοκτίστην
καλλίχορον σκιόεν θεῖον ἐπ' ἄλσος·
ἀθανάτους στεφάνους ἆθλα παράσχοις,
ὑψιμέλαθρα πόλου, δέσποτα, δείξαις·
φάσμασι μὴ φθονερίης νυκτοροφύτοις,
θυμὸν ἐμὸν βαλέειν ἡδὺ γελῶσα·
βαλσαμόπνευστον ἔαρ, ναρδοροδόπνουν,
πῶς δυσώπνουν ἐφάνης; εἰπὲ τί τοῦτο;
κινναμόβλαστον ἔχων ὄρπηκα κούρην,

Leontis carm. 1. Extat apud Matrangam An. 561. V. 13. seqq. nolui quidquam mutare, neque magis v. 16. — V. 15. ἔαρ, quod alias quoque legitur, servavi.

Digitized by Google

σαπροτάτην ὁρόω τήνδε πρὸς οὖδας·
τὰ δίκης παντεφόρου κέντρα με τύπτει,
διόπερ δακρυπόνους νύκτας ὑφέλκω.

2.

Εἰς τὸν γάμον τοῦ αὐτοκράτορος Λέοντος.

Ἀπὸ πασσάλου καθεῖλον
λύραν εὐστόχως λαλοῦσαν,
δροσερὰν κόρην νοήσας
ὑπὸ παστάδα γλυκεῖαν.
Ἄμ' ἄρ' οὖν τοὺς στεφάνους πλέξατε πάντες,
ὀργανόφωνον ἔπος μέλψατε, κοῦροι.
Βλέπε τοῦ πόθου τὸ κέντρον
βλέπε τοῦ πόθου τὸ πλῆκτρον
θέλε τὴν φλόγα δροσίζειν,
δροσερὸν πόθον φλογίζειν.
Δαφνοφόρους θαλάμους καὶ ῥοδοπλόκμους,
ἑλκεσίπεπλον, ἄναξ, δέχνυσο νύμφην.
Δότε μοι ῥόδον φορῆσαι,
δότε μοι νάβλαν δονῆσαι,
ἄφες ὡς φιλῶ κροτήσω,
ἄφες ὡς θέλω χορεύσω.
Ἱμεροφώνε κόρη, χρύσεον ἔρνος,
κυμβαλόφωνα μέλη δέχνυσο ταῦτα.
Μάθε πῶς πόθος ποθεῖται,
μάθε πῶς ἔρως ἐρᾶται·
Χαρίτων χάριν λαβοῦσα
χάριν ἀντίδος μεγίστην.
Ἥλιε, φωτοφόρον σύζυγον εὕρες,
κρουσόλυρον παρέχω νῦν ὅθεν ᾄσμα.
Ἐθέλω, θέλω χορεύειν,
ἐθέλω κρότους ἐγείρειν,
γαμικὸν μέλος προσᾴδειν,
ἵνα πᾶς βλέπων συνᾴδῃ.
Εὔχροος ἀγλαΐη, χρώματος ἄνθος,
ἄνθεϊ μαργαρέῳ σώματος αἴγλη.
Λογικοῖς μέτροισι μέλψω
σοφίης ἄγαλμα θεῖον·
λογίων σοφῶν γὰρ ἄρτι
Χάριτες πάλιν γελῶσιν.
Ῥοδόεις, ἱμερόεις, λευκοκρινόχρους,
θαλέθων θάμβος ἔχων νυμφίος ἔστιν.
Κεφαλὴν ῥόδοις ἀνάψας
λύραν Ὀρφέως τινάσσω,
στεφάνοις ἄνακτα βάλλων,
ὅτι καλόν ἐστι θαῦμα.
Μειλιχόθυμον ἔαρ, κάλλος ἑῶον,
ξεινοτερπές τι φάος πᾶσι φαάνθης.
Παλάμαις ῥόδον λαβοῦσα
ποτὶ σὰς κόμιζε κοίτας,
ὁ ἔρως ὅπως συνών σοι
νομίμοις πόθοις δαμάσσῃ.
Ξανθόκομος, ῥοδόχρους παῖς ἀνεδείχθης,
τῶν χαριτοβλεφάρων ὡς ὑπερήρθης.
Γλυκερὴν ὅλην χορείην
φιλόμολπον εὗρον ἄρτι,
διὸ καὶ κλάδους γελῶντας
κατέχων, τρίχας τινάσσω.
Ἐρατὴ Πηνελόπη, δώματος ἄστρον,
νεκταρέοις ἐνίοις παστάδα ῥαίνω.
Ὁ ἔρως βέλη τιταίνων,
ὁ πόθος φύσεις συνάπτων
καλύκων χάριν παρέξει
ῥοδοδακτύλου λοχείας.
Εἴσιθι, βαῖνε, κρότει, χαῖρε χορεία,
χρυσοφόροις θαλάμοις ἀμφιπολοῦσα.

Leontis carm. 2. Extat ap. Matrangam 561. V. 42. *ξεινοτερπές*, potius *ξυνοτερπές*, ut est 5, 55. cf. tamen 4, 55. — V. 58. *λοχείας*, cod. *λοχείαις*.

Digitized by Google

Φλογερὰν ἔχεις φαρέτρην
φλογέοις τύπηθι κέντρος,
ἵνα σὰς φρένας λιπαίνοις,
ἵνα πᾶν μέλος γλυκαίνοις.
Ἐπέων ἡδυτάτων ἴδμονες ἄνδρες
τὰ ποσίκρουστα μέλη ῥυθμονομεῖτε·

Μακάρων ἄνασσα τέκνον
Χαρίτων ἔχεις τὸ κάλλος·
εἴ τις οὐκ ἔχει σε θαῦμα,
λιθίνας φρένας κομίζει.

3.

Εἰς τὸν αὐτὸν γάμον τοῦ αὐτοκράτορος Λέοντος.

Ἀνὰ τὴν πόλιν, πολῖται,
βροτέη χάρις κεχύσθω·
γαμικὸν μέλος δονείσθω,
δροσερὰ κόρη στεφέσθω.
Δαφνοφόρους θαλάμους, καὶ
ῥοδοπλόκμους,
ἑλκεσίπεπλον, ἄναξ, δέχνυσο
νύμφην.
Ἐπὶ χρυσόπαστον οἶκον
ζαθέη κόρη βαδίζει,
χαριτοβλέφαρος ἄρτι
θαλερῷ νέῳ πλακεῖσα.
Ἱμερόφωνε κόρη, χρύσεον ἄστρον,
εὐγενόφωνα μέλη δέχνυσο ταῦτα.
Ἴδε πῶς ἅπαντα χαίρει,
καλὸν ὡς ἔαρ δὲ λάμπει·
λογάδος γάμῳ φερίστης
μετὰ κυμβάλων προθύμως.
Ἐπέων ἡδυτάτων ἴδμονες ἄνδρες,
τὰ ποσίκρουστα μέλη δεῦτε τελεῖτε.

Νομίμως Λέων ποθήσας
ξεναγεῖ γάμῳ πολίτας,
ὅθεν, ὦ φίλοι παρόντες
παρὰ παστάδα τρυφᾶτε.
Εἴσιθι, χαῖρε, πρότει ξανθόπαις φῦλον,
ἀργυρόπαστα κύκλῳ δάματα βαῖνε.
Ῥοδέην φύσιν συνεύνου
σύ, Λέον, παραγκαλίζει,
τὰ πόθου βέλεμνα τοίνυν
ὑποδύς, τρύγα τὰ μῆλα.
Ἥλιε, φωτοφόρον σύζυγον εὑρές,
ἀστέρας εὐστεφέας παῖδας ἐνέγκοις.
Φέρε λαμπάδος κομίζων
χαρίεν μέλος προσοίσω,
ψόγος οὐδαμῶς γάρ ἐστι
νομίμους γάμους λιγαίνειν.

4.

Εἰς τὸ λοετρὸν τὸ ἐν τῇ βασιλείῳ αὐλῇ ὑπὸ Λέοντος τοῦ αὐτοκράτορος οἰκοδομηθέν.

Ἀνὰ τὴν πόλιν δονεῖτε
μέλος ὀργάνων· τί τοῦτο;
λεγέτω τις, ὃς διέγνω,
φρασάτω τις, εἴπερ οἶδεν.

Βασιλεὺς Λέων ἐπ' ἔργοις
φρένα Δαιδάλου παρῆλθε.
λιγυρὰν χέλυν τινάξω
παταγοσφύρῳ χορείᾳ.

Leontis carm. 3. Extat apud Matrang. 564. Inscribitur in Pinace: ἕτερον ἀναχρεύντιον τοῦ αὐτοῦ εἰς τὸν γάμον τοῦ αὐτοκρ. Λ. fortasse rectius.

Leontis carm. 4. Extat apud Matrangam 565.

Digitized by Google

Γεγανωμένοι πολῖται
περὶ τὴν θέαν μολεῖτε,
λοετρῶν δόμους ὁρᾶτε,
μέλος ὀργάνων κροτεῖτε.
Δόμος ὡς πόλος φαάνθη,
ἀκροβλαστοχρυσομόρφους
κυκλικῶς λάϊγγας ὄψει·
μετ' ἀγαλμάτων γὰρ ἄρτι
Ὁ φρεσὶ καὶ σοφίῃ κῦδος ἀφύσσας
ἐσθλοπόνους καμάτους ἐκτολυπεύει.
Ἐπὶ τὰς πύλας δὲ βάντι
πρόδρομος μακρὸς σὲ κρύψει,
ὅθι δὴ χάρις προλάμπει
γλυφικῆς τέχνης τὸ θαῦμα.
Ζαθέων ἐκεῖ γερόντων
ἀπιδὼν θέας θεάσει
ζαμενεῖς κλόνους, σφαγάς τε
πολέμων ἀγερσιθύμων.
Θολοκογχόχρυσον ἔργον
ἐν ἀποστόοις διαύλοις
ἐρατοῖς ἰδών, καλύψεις
φαέων βολὰς σαόζων.
Ὕδατων θερμοβόλων ῥεῖθρα προχεῖται
καθαρὰ προῖκα· πόλις δεῦρο γενοῦ μοι.
Ἰδίως θέαν Γεούχου
ἐπὶ τὴν πρόκογχον ὄψει,
ῥοδέην φύσιν φοροῦσαν,
ξίφος ἐν χεροῖν κρατοῦσαν.
Καλύκων χάριν προπέμπει
Βασίλισσα κεῖθεν αὔθις,
γλυκερωτάτοις προσώποις
ῥοδέην φυὴν φοροῦσα.
Λόγος οὐ γράφει τὸ κάλλος·
φιλάδελφε, τίς σε γράψας
ἐριθηλὲς ὥσπερ ἔρνος
ἀνέθηκεν εἰσορᾶσθαι;
Μετὰ τὴν θέαν δὲ τήνδε,
ποταμῶν θέας χαράξας
φοβεροστρόφοις προσώποις
μετρικοὺς ἔγραψεν αἴνους.
Δόγματα θειολόγα γράψατε, κοῦροι,
ζαθέων ἐκ στομάτων ὄμβρος ἐπέστη.
Νεπόδων ἄγραν θεάσῃ
καλάμῳ, βρόχῳ τε, κύρτῳ·
ἐπὶ νῆσον αὖ ἑκάστην
ἐρατὴν τράπεζαν ὄψει.
Ξενοτερπὲς ἄλλο θαῦμα,
ὅτι πηγόρειθρα κάλλη
πολύμορφον εἶδος ἔσχεν
κορικὴν χάριν φοροῦντα.
Ὁ Θυρῶν ψόφος δὲ τέχνῃ
πολύμουσον ᾆσμα πέμπει,
τὸ δ' ἔπος λέγει τό, δόξα,
βασιλεῦ ἄναξ, μεδόντων·
Παρὰ Δεσπότου ποσὶν δὲ
χλοεροῖς κλάδοισι νίζει
μελοτραυλόφωνος ὄρνις
λυροκαλλίμολπα τρύζων.
Ψευδαλέων ἐπέων ῥίψατε λέσχην,
τεχνικῶν νῦν λογίων δράξατο Λέων.
Ῥόος ὑδάτων ἀπείρων
μέλος ὀργάνων προπέμπει
ἀφανῶς, ἄνευ κρατοῦντος,
βασιλεῖ πλέκων τὸν αἶνον.
Σοφίῃ δράκων ἀνέρπει,
ὁ λέων μέγα βρυχᾶται,
γέρανος δὲ σαπφιρόχρους
ἐπικλαγγάσασα τέρπει.
Τανύερνος αὖθις ὄρπηξ
φορέει γένει λυρώδει
λιγυρὸν περικροτοῦντα
ἀπὸ χρυσέων πετήλων.
Ὑπὸ τὴν μέσην δὲ λάμπει
ὑδάτων ἐν ὀκτακόγχῳ
πολύθερμον οἶδμα ῥεῦμα,
ἄκος οὐ μικρὸν νοσοῦσιν.
Πῶλος ὁ κυκλοφόρος γῆθ', ὅτι Λέων
ἄτροπα φωτοφόρων νήματα δέρκει.
Φοβερὸν θέαμα, φίλοι,
γρυπὸς ἆσθμα νᾶμα βάλλει
πυριλαμπές, ἐκφοβῶν περ
βροτέην φύσιν παρόντων.

V. 24. ἀπιδὼν, cod. ἀπίδων. — θεάσει, cod. θεάσσει. — V. 76. ἐπικλαγγάσασα, cod. ἐπικλαγκάσασα.

Digitized by Google

Χάριν ἁπλέτου δ' ὑγείας
πολύλουτρον ἔσχε κάλλος,
μερόπων νόσους ἀλεύων,
δυνάμεις ἐπιβραβεύων
Ψεκάδων ἀφ' ὑγροθέρμων,
μελέων τόνος παρέλκων,
παλίνορσον εὗρε ῥῶσιν
μακρὸν εἰς χρόνον νεάζων.
Μεδέων ῥητορίης ἦλθεν ἐς ἄκρον,
ἀτέχνων ὦ λογίων φεύγετε πλάσται.

5.

Εἰς τὴν Αὐγούσταν Ἑλένην Κωνσταντίνου τοῦ νέου σύζυγον.

Ἡδύκομον, ῥοδόχρουν, χρύσεον ἄνθος,
παρθενόφωνα μέλη δέχνυσο ταῦτα.
Ἀπ' ἐμῶν δόμων κατέσχον
λύραν εὐστόχως λαλοῦσαν,
δροσερὰν κόρην νοήσας
ὑπὸ παστάδος γλυκεῖαν.
Δαιδαλέους θαλάμους ἠδ' ὑμεναίους
νυμφιδίους ὁρόω καὶ ῥόδα φαίνω.
Δότε μοι ῥόδον φορῆσαι,
δότε μοι ναύλαν δονῆσαι,
ἄφες ὡς θέλω χορεύσω,
ἄφες ὡς θέλω κροτήσω.
Ἀμαράντους στεφάνους πλέξατε πάντες,
ὀργανόφωνον ἔπος μέλψατε κοῦροι.
Ἐθέλω, θέλω χορεύειν,
ἐθέλω μέλη λυγίζειν,
γαμικὸν μέλος προσᾴδειν,
ἵνα πᾶς βλέπων συνᾴδῃ.
Εἴσιθι, βαῖνε, κρότει, χαῖρε χορεία,
χρυσοφόροις θαλάμοις ἀμφιπολοῦσα.
Γλυκερὴν ἐφευρὼν ἄρτι
φιλόμολπον ὧδε τάξιν,
διὸ καὶ κλάδους γελῶντας
κατέχων τρίχας τινάσσω.
Ἐπέων ἡδυτάτων ἵδμονες ἄνδρες,
τὰ ποσίκρουστα μέλη ῥυθμονομεῖτε.
Κεφαλὴν ῥόδοις ἀνάψας,
λύραν Ὀρφέως κροτήσας,
στεφάνοις ἄνακτα βάλλων,
ὅτι καλόν ἐστιν ἔρνος.
Νεκταρέοις ἐνίοις στέψατε νύμφην,
ἐρατὴν νῦν Ἑλένην χάρμα τεκόντων.
Βλέπε τοῦ ῥόδου τὸ κέντρον,
βλέπε τοῦ πόθου τὸ πλῆκτρον,
θέλε τὴν φλόγα δροσίζειν,
δροσερὸν πόθον φλογίζειν.
Παστάσιν ἀργυρέοις καὶ ῥοδοπλόκμοις
ἑλκεσίπεπλον, ἄναξ, δέξεο νύμφην.
Μάθε πῶς πόθος ποθεῖται,
μάθε πῶς ἔρως ἐρᾶται,
Χαρίτων χάριν λαβοῦσα,
χάριν ἀντίδος γλυκίστην.
Ἥλιε, φωτοφόρον σύζυγον εὕρες,
χρυσόλυρον παρέχω νῦν ὅθεν ἆσμα.
Ἀπαλὴν κόρην λαβών γε
ποτὲ σὰς κόμιζε κοίτας,
ὁ ἔρως ὅπως συνών σοι
νομίμους πόθους διδάξει.

V. 100. *φεύγετε*, cod. *φεύγεται*.

Leontis carm. 5. Extat ap. Matrangam 568. — *Αὐγούσταν*, in pinace *Αὐγούστην*. — V. 2. *παρθενόφωνα*, cod. *παρθενόφρωνα*. — V. 33. *ῥόδου*, cod. *ῥόδον*. — V. 37. *ἀργυρέοις*, cod. *ἀργυραίοις*.

Digitized by Google

Ἱμερόφωνε κόρη, ποικίλον ἄνθος,
κυμβαλόφωνα μέλη προσφέρω, δέχου.
Φλογέην ἔχεις τὴν φύσιν,
φλογέοις τύπηθι φίλτροις,
ἵνα σὰς φρένας γλυκαίνοις,
ἵνα πᾶν μέλος ἰαίνοις.
Ξυνοτερπές τι φάος πᾶσι φαάνθης,
μειλιχόθυμον ἔαρ, κάλλος ἐῷον.
Ὁ ἔρως βέλη τιταίνων,
ὁ πόθος φύσεις συνάπτων,
καλύκων χάριν παρέξει
ῥοδοδακτύλου λοχείας.
Ξανθότριχος, ἀνθόπνους παῖς ἐφαάνθης,
τῶν χαριτοβλεφάρων ὡς ὑπερήρθης.
Μακάρων τέκνον τοκείων
χαρίτων ἔχεις τὸ κάλλος,
ὅστις οὐκ ἔχει σε θαῦμα,
λιθίνας φρένας κομίζει.
Ῥοδόεις, ἱμερόεις, λευκοκρινόχρους
θαλέθων Κωνσταντῖνος νυμφίος λάμπει.

ΑΚΟΛΟΥΘΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

εἰς τὰ Βρουμάλια.

Σοφίης ἔλαμψεν ὥρη,
χρόνιοι λόγοι δονοῦνται,
ὅθεν ὡς χρόνος κελεύει
πάλιν ἐν λόγοις χορεύω.
Ἑλικῶνα νῦν ἀμείψας
φαέθων ἄναξ Ἀπόλλων,
Ἑλικῶνα τοῦτον ἔγνω
σοφίης φάος κομίζων.
Ἐπὶ σοί, σοφὴ Κυθήρη,
μετὰ Παλλάδος χορεύει,
ἔριδος τρόπους πατοῦσαι,
φιλίης νόμους κρατοῦσι.
Σοφέ, γραμμάτων ἀνάσσεις,
ἔλαχες λόγων τὰ πρῶτα,
μετὰ γὰρ σὸν οὖν τὸ κάππα,
τότε τῶν λόγων τὸ γράμμα.
Χάριτες λόγοις γελῶσιν,
ὅτε γράμμα σὸν προλάμπει.
Φάος ἐκ λόγων προῆλθε
σκοτόεν νέφος καλύπτον,
ὅτι τοῦ σοφοῦ τὸ γράμμα
Χαρίτων χόρους ἐγείρει.
Σοφίης ἄναξ Ἀπόλλων
καλέειν κύκνον δοκεῖ μοι,
ἵνα τὸν σοφὸν προσείπῃ
λιγυραῖς φάραγξι κύκνος.
Κρατέων, Ὅμηρε, μύθων,
ἐπέων δὲ Μοῦσα, τέχνη
σοφίης ἄνακτα μέλψον,
ὅτι σὸν πέφυκεν ἄνθος.
Στέφανον φέρουσιν ἄνθος,
Χάριτες λόγοις γελῶσιν.
Θρασὺς ὡς νέος προῆλθον
νόον Ὀρφέως λιγαίνων,
Φαέθοντι φῶς κομίζων,
ὅτε σοὶ λόγους κομίζω.
Δότε μοι κρότους τὸ θάρσος,
ἀφόβως θέλω χορεύειν,
ἵνα τὸν λόγων κρατοῦντα
λογικοῖς μέλεσσι μέλψω.
Ὅτε σὸν πάρεστιν ἦμαρ
λογικαὶ πάρεισι Μοῦσαι,
στέφος ἐκ λόγων κρατοῦσαι,
λογικοὺς στέφουσι πάντας.

V. 58. φύσεις, cod. φύσις.

Acoluthi carmen extat ap. Matrangam 571. V. 28. τέχνη, fort. τέχνῃ, ad insunt alia in hoc carmine subobscura.

Digitized by Google

Λογικὴν πᾶσαν ἔχεις ἄφθονε νίκην,
φθονερῷ ἐξελάσας εὐ..οχα βάλλων.
Δότε μοι, φίλοι τὸ ἄρσος,
ὁ λόγων ἔρως γὰρ ἄρ:
καδίην ἐμὴν προσεῖπε
σοφίης φίλον γεραίρειν.
Μέλος Ὀρφέως με βάλλει,
τάχα μητέρος τὸ γράμμα,
ἅμα καὶ σοφοῦ λιγαῖνον
λογικὴν λύρην τινάσσει.
Φαέθων ὁδοὺς σελήνης
ποθέει τὰ νῦν ὁδεύειν,
Φαέθοντα γὰρ δοκεύει
σὲ τὸν ἐν λόγοις φανέντα.

Ὁ λέγων ὅτι πρεπόντως
δύναμαι σοφοῦ τὸ γράμμα
λογικοῖς μέλεσσι μέλψαι,
πέλαγος λόγων περήσει.
Ἀπορῶ μὰ τὴν Ἀθήνην
ἀρετὰς σοφοῦ βοῆσαι.
Ἀπὸ σῶν λόγων προῆλθον.
ἵνα σοὶ τεοὺς προσάξω,
σοφίην ὅλην γεραίρων,
σοφίης μόνος γὰρ ἄρχεις.
Παφίη τὰ νῦν χορεύει,
ὅτι καὶ Κύπρις καλεῖται.
ὁμογράμματος γὰρ οὖσα
λογικῶς τὰ νῦν χορεύει.
Ὅθεν εἰκότως χορεύει
χρέος ἐξ ἔθους κομίζων.

ΓΕΩΡΓΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

1.

Τί εἶποι ἡ Ἀφροδίτη τῆς Ἀθηνᾶς φυτευσάσης ἐλαίαν, καὶ ἀνελθόντος ῥόδου.

— — — — — — —
— — — — — — —
Ὁ Ἔρως χάριν συνάπτων
πόρε μοι ῥόδον, Κυθήρη,
ἵνα σὺν πόθοις χορεύω
Ἐλικῶνι σὺν βελέμνοις.
Φλογερὸν βέλος τινάσσει
τὸ γένος τὸ τῶν Ἐρώτων.
Ἀπ' ἐμῶν ῥόδων προῆλθες,
ἀπ' ἐμοῦ φέρεις τὸ κάλλος,
ἵνα σε πλέον τὸ κέντρον
ῥοδέοις φυτοῖς δαμάσσῃ.
Ἄχρι τὶς μάθει τὸ κρεῖσσον
ἀγνοῶν δοκεῖ κακίζειν,
ὅτε δὲ χρόνῳ νοήσει
τὶ πρὶν οὐ μάθεν στενάζειν·
Τὸ καλὸν φύσει μαθοῦσα,
μάθε καὶ πόθεν τὸ κρεῖσσον.
Τὸ ῥόδον πάλιν προλάμπει
Χάριτας κλάδοις χαράσσων,

ὃ γὰρ ἡ φύσις προσεῦρεν
τὸ ῥόδον μόνον προσεῦρεν.
Γλυκερὸν ῥόδον προῆλθεν,
γλυκερὴν χάριν κομίζει,
κοτίνου δὲ πικρὸν ἄνθος
γλυκεροῖς κλάδοις καλύπτει.
Φύσεως μόνην κρατοῦσαν
Παφίην ἔδειξε πάσης,
δροσόεν ῥόδον κρατῆσαν
στιβαρῶν κλάδων ἐλαίης.
Τὸ ῥόδον φυτῶν τὸ κάλλος
παλάμαις τεαῖς λαβοῦσα,
Παφίης μελῶν, Ἀθήνη,
ἐρατοὺς χορούς μετέρχου.
Παφίην μόνην Ἀθήνης
κρατέειν ῥόδον διδάσκει.
Δότε μοι ῥόδον φυτεύσω,
ἵνα καὶ ῥόδον προέλθῃ,
ὅτε δὲ τραπῇ πρὸς ἄλλο,
τότε Παλλὰς ἐστι πρείσσων.

Georgii carm. 1. Extat apud Matrangam 648. Nolui quidquam novare.

Digitized by Google

Τί λέγουσιν Ἀφροδίτην
βυθίοις ἁλὸς γενέσθαι,
ὅτε καὶ πλέον μεγαῖα
διὰ τοῦ ῥόδου σεβίζει.
Ἔτι παρθένος καλεῖσθαι
τάχα νῦν θέλεις, Ἀθήνη,
μάθε τοὺς πόθους Κυθήρης
ἵνα καὶ ῥόδου κρατήσῃς.
Ἀρετῆς πόσης μετέσχεν,
ὅταν εἰς ῥόδον μετῆλθεν,
τὸ φυτὸν τὸ τῆς Κυθήρης
ὅτε τὴν ἄκανθαν εἶλξεν.
Πρόφασις πέλει ποθούντων
τὸ ῥόδον τὸ τῆς Κυθήρης.
Πάλιν ὁ χρόνος κομίζει
γλυκερὸν φάος χορείης,
λογικοῖς λόγοις κρατοῦντες
τελετῆς νόμον τεκόντες.
Σταχυηκόμος δὲ γαῖα,
ἅτε Κύπριδος τὸ ἄνθος,
νοερὴν ἄνοιγε βῶλον,
ῥόδον οὐ στάχυν φερούσῃ.
Λιβάνου κλέος Κυθήρη,
Χαρίτων ὅπου τὰ τόξα,
Μαραθὼν ἔρως Ἀθήνης
σοφίης ὅπου τὰ τόξα.
Ὁ γέρων Ἔρως χορεύει
ῥόδον εἰς χάριν συνάπτων.
Ἐδάης τὰ νῦν, Ἀθήνη,
καλύκων σθένος Κυθήρης,
ῥόδα Κύπριδος χορεύει
ὅτι Παλλάδος κρατοῦσιν.
Παφίη, χόρευε μούνη,
ὅτι καὶ μόνη διδάχθης
κρατέειν σοφῆς Ἀθήνης
φλογεροῖς ῥόδοις τυπείσης.
Φλογεροῖς ἐμοῖσι κέντροις
βροτέη φύσις κρατεῖται,
μάθε, Παλλάς, ἐξ Ἐρώτων
ὁπόσον σθένος Κυθήρης.
Ἐδάης ῥόδου τὸ ἄνθος
μάθε καὶ πόθου τὸ κέντρον.
Πτόλις ἐστὶν Ἀφροδίτης
μεγάλαι σοφῶν Ἀθῆναι,
ὅτι Κύπριδος προσῆλθε
τὸ φυτὸν τὸ τῆς ἐλαίης.
Ὅτε μῆλον ἔσχε Κύπρις
κλέος ἄφθιτον προσεῦρεν,
πλέον ἄστατον δὲ μᾶλλον
φθόνον ἐκ θεῶν ἁπάντων.
Τὸ ῥόδον πλέον με μήλου
σοφὸν εἰς κλέος κομίζει.
Βελέων Ἔρωτος οἶδεν
τὸ ῥόδον πλέον με τέρπειν,
ὅτι Παλλάδος κρατῆσαν
Παφίῃ κλέος προσάπτει.
Ἄγαμαι φύσιν πετήλων,
κάλυκας πλέον γεραίρω
διὰ τῶν ῥόδων γὰρ ἄρτι
σοφίης κρατοῦσα λάμπω.
Παλάμαις ῥόδον λαβοῦσα
ποτὶ σὰς κόμιζε ῥῖνας,
ἵνα τὴν χάριν λαβοῦσα
ῥοδόεσσά τις φανείης.
Τὸ φυτὸν το τῆς Ἀθήνης
Παφίης κάλυξ ἐτύχθη,
ἵνα τῶν ὅλων φανείη
νοερῶς μόνη κρατοῦσα.
Φλογερὸς πέφυκεν οἶστρος,
φλογερώτερον δὲ τούτου
καλύκων πέφυκεν ἄνθος
σοφίης ἄνασσα μάρτυρ.
Σοφίης ἄνασσαν ἄρτι
τὸ ῥόδον φανὲν διδάσκει,
ὅτι Κύπριδος τὰ πάντα.
Ἔμαθεν τανῦν Ἀθήνη
γλυκεροὺς κλάδους Ἐρώτων.
ἔμαθε σθένος Κυθήρης,
φρονέει τὰ τῶν Ἐρώτων.
Τρομέεις τανῦν κρατοῦσα
φλογεροῦ ῥόδον τὸ κέντρον.
Παφίης γὰρ ἐστι τέκνον,
ὁ δὲ τοῖς δόλοις δαμάζει.
Πολέμων ἄνασσα Παλλάς,
σθεναρῶν βελῶν κρατοῦσα,
ῥοδέοις ὅπλοις ἐλήφθης,
ἐδάης μάχην Κυθήρης.
Ἐδόκεις κρατεῖν, Ἀθήνη,
ἔλαβες δὲ πεῖραν ἄρτι
καλύκων λαβοῦσα κέντρον,
πάλιν ἂν θέλῃς ἀνάπτω.
Τὸ γένος τὸ τῆς Κυθήρης
μακάρων ὅλων ἀνάσσει.
Βλέπε, Παλλάς, Ἀφροδίτης
τὸ ῥόδον τὸ μικρὸν ἄνθος
κραδίης τεῆς κρατῆσαν

Digitized by Google

δροσερὸν βέλος κομίζον;
Κραδίην θεῶν λαίνει
τὸ ῥόδον τὸ τῆς Κυθήρης,
λάβε μικρὸν ἄρτι γεῦμα
ἵνα σοὶ κέαρ κρατήσῃ.
Τὸ κράτος τὸ τῆς Ἀθήνης
ὁ κάλυξ ἔδειξεν οὐδέν,
ὅθεν ἀρτίως προλάμπων
Παφίῃ δίδωσι χάρμα.
Ὁ γλυκὺς κάλυξ ἐδείχθη
μεγάλης θεᾶς Ἀθήνης
τελέως φυτοῦ κρατήσας.
Κρατέουσα νῦν Ἀθήνης,
Παφίη, θέλω κρατῆσαι
ζυγίης, μόνη γὰρ αὕτη
παλάμας ἐμὰς προφεύγει.
Ῥόδον ἐκ φρενῶν Ἀθήνης
ἐφάνη μόνον κρατῆσαν,
τάχα ποῦ ῥόδον κομίζει
δροσερὰς φρένας φυτοῖσι.
Βραδέως ἔγνως τὸ κρεῖσσον,
βραδέως δὲ γνοῦσα Παλλάς,
ταχέως δίδου βεβαίαν
κραδίαις τεαῖσι πίστιν.
Πολέμοις κόμιζε μᾶλλον
σᾶκος ἐκ ῥόδων, Ἀθήνη,
Δαναῶν ὅπως τις εἴποι,
Παφίην ὁρῶμεν ἄλλην.
Φρονέεις πλέον λαχοῦσα
τὸ ῥόδον τὰ νῦν, Ἀθήνη.
Ὁ Ἔρως ὁ τῆς Κυθήρης,
τὸ ῥόδον πάλιν Κυθήρης,
κατέχω δύο κρατοῦντας,
ὁ θέλων μάχην συνάψοι.

2.

Τί εἶποι ἡ Ἀφροδίτη τῆς Ἀθηνᾶς διὰ ῥόδου πεισθείσης βοηθῆσαι τοῖς Τρωσίν.

Καλύκων χάριν λαβοῦσαν
θεράπαιναν Ἀφροδίτην
ῥοδέην δέδεξο, Παλλάς,
ἵνα γνῷς πόθεν τὸ κρεῖσσον.
Σοφίης Ἔρως ὁ λάτρης,
Χάριτες πάλιν σὺν οἴστρῳ
ἔχε Παλλὰς Ἀφροδίτης
γλυκερὴν ὅλην γενέθλην.
Δαναοῖς θέλεις, ἀμύνω
Φρυγίοις πάλιν ἀρήγω·
μερόπων τί μοι τὸ φίλτρον
φιλίης τεῆς τυχοῦσα.
Φέρε πάντα τῶν Ἐρώτων,
τί δέ σοι χρέος στενάζειν;
ἐχέτω μάχην τὸ θνητὸν
μακάρων πόθον τὸ φύλλον.
Ἀγαπᾶν θεοῖς προσήκει,
ἀπαθὴς φύσις γὰρ ὤφθη
τὸ πάθος πρέπει βροτοῖσιν
χαλεπὴν ἔριν τελέσσαι.
Ποταμῶν θάλασσα πάντων
δέχεται μόνη τὸ ῥεῦμα,
Παφίη δὲ τῶν Ἐρώτων
ἀρετὰς χάριν κομίζει.
Τὸ γένος τὸ τῶν Ἐρώτων
κρατέει δοκοῦν λατρεύειν.
Φρυγίοις ἔλαμψεν ὥρη
ῥοδέης γέμουσα νίκης
Σοφίη ῥόδοις ἐπείσθη
Δαναοὺς μόνους ὀρίνειν.
Μέγα νῦν κλέος προσεῦρον,
ξένα Παλλὰς ἔργα πτήσσει,
ῥοδόεν στέφος κρατοῦσα
Παφίης πόνους γεραίρει.
Διός ἐστιν Ἀφροδίτη,
ὁ Ἔρως πάλιν Κυθήρης,
ὁ θέλων Ἔρωτα νικᾶν
Διῒ τὴν μάχην συνάψει.
Ὅπερ οὖν πάρος δοκεύω,
γελόωσα νῦν δοκεύω,
ὅπερ οὐ πόθος προσεῦρεν,
Παφίης ῥόδον προσεῦρεν.

Georgii carmen 2. extat apud Matrangam 654.

Digitized by Google

3.

Τί εἶποι ὁ Ἄρης τῆς Ἀφροδίτης τρωθείσης ὑπὸ ἀκάνθης ῥόδου.

Τὸ ῥόδον δύο τιτρώσκει
σὲ μὲν ἐς δέμας, Κυθήρη,
ἐμέθεν δ' ἔπληξεν ἦτορ
ὅτι σοι πόνους προπέμπει·
Φέρε τὴν ἄκανθαν ἔλξω
ἀπὸ σῶν μελῶν, Κυθήρη,
ἵνα μὴ πλέον τυπεῖσα
μεταδῷς Ἄρηϊ κέντρον.
Τὸ σον ἄνθος, ὦ Κυθήρη,
ἴσον ἐστὶ τῇ μελίσσῃ,
ὅτι καὶ πόνους κομίζει
φέρον ἡδυηνὲς τὸ κέντρον.
Παφίην ῥόδον τιτρώσκει,
τὸ ῥόδον δὲ νῦν τὸ πλῆττον·
ποτέροις πόθοις ἐτρώθη
ὅτι Κύπριδι προσῆλθεν;
Ῥοδέην ἄκανθαν εἶθε
Κρονίδης Ἄρηα τεῦξεν,
ἵνα σῶν μελῶν μετάσχῳ
γλυκερῷ βαλών σε κέντρῳ.
Ἐπ' ἐμὸν δέμας, Κυθήρη,
φέρε σου βάδισμα πέμψω,
ἵνα μὴ πάλιν σε πλήξῃ
γλοεροῦ δένδρου τὸ κέντρον.
Μάθε τοῦ ῥόδου τὸ νύγμα,
μάθε τῶν πόνων τὸ κέντρον,
ἵνα τοῖς πόθοις κρατοῦσα
ὑπὸ τῶν ῥόδων κρατύνῃ.
Χθονίῳ βραχεῖ βελέμνῳ
Παφίην Ἔρως δαμάζει,
γλυκερὸν βέλος φυτεύει
ῥόδον, ὃ κρατεῖ ποθούντων.
Ἀπὸ σῶν αἷμα μελῶν στάξε,
Κυθήρη,
γλυκεροῖς ἡμετέρων ἔνδοθι κόλπων.
Τί ποθεῖς πόθων κρατοῦσα
τὸν Ἄδωνιν οὐ ποθοῦντα,
τὸν Ἄρην δὲ καὶ ποθοῦντα
στυγέεις καλὴ Κυθήρη;
Βροτός ἐστιν ὃν διώκεις,
Παφίη ταννῦν ποθοῦσα,
θεὸς οὖσα δὲ στενάξεις
θεὸν ὄντα με στυγοῦσα.
Ἐθέλω, θέλω δαμῆναι
ῥοδόεντι τῷ βελέμνῳ.
μόνον, ὦ θεῶν κρατοῦσα,
τέλεσον χάριν ποθοῦντα.
Ὁ Ἔρως Ἄρην δαμάζει
παρέχων πόνους Κυθήρῃ.
Χαρίτων χάριν κομίζει
τὸ ῥόδον, τὸ πῦρ, τὸ κέντρον,
τὸ βέλος τὸ τῶν Ἐρώτων
ὅτι καὶ Κύπριν δαμάζει.
Τὸ ῥόδον τάχα προῆλθεν
φέρον ἐκ φθόνου το τύμμα,
ὅτι μῆλον Ἀφροδίτῃ
ἕτερον φυτὸν γεραίρει.
Ὅτε καὶ Κύπρις δονεῖται,
τότε καὶ ῥόδον ποθεῖται.
Βελέων μάτην ἀνάσσω;
τί δέ μοι χρέος φαρέτρης,
ὅτε τὴν ἐμὴν Κυθήρην
ῥοδόεν βέλος δαμάζει;
Ἔλαβεν Κύπρις τὸ τύμμα
ἐπὶ γῆς, ἐγὼ δὲ κέντρον·
ὅτι τοὺς πόνους Κυθήρης
ἔλαβον, ποθῶν Κυθήρην.
Φαέθων Κύπριν δαμάζει,
λέχος εἶδεν ἐξελέγχειν,
ἔχον ἡλίου τὸ κέντρον
τὸ ῥόδον Κύπριν δαμάζει.
Τὸ ῥόδον Κύπριν δαμάζει,
ὅτι κάλλος εὗρε μεῖζον.
Ὁ Ἔρως σε, Κύπρι, βάλλει,
τὸ ῥόδον δὲ ταῖς ἀκάνθαις
ἵνα πῶς λάβωσι πεῖραν
ἀπὸ σοῦ θεῶν ἀνάσσειν.
Κατὰ σοῦ τὰ τόξα τείνει,
νόθον οὐ πέφυκε τέκνον
ἀπὸ τῶν δρυῖ τραπέντων
πάλιν ἢ πέτρα στραφέντων.
Ὁ λέων φέρων τὸ κέντρον
ἴδιον δέμας τιτρώσκει·

Georgii carmen 3. Extat apud Matrangam 655.

Digitized by Google

Παφίη, ῥόδοισι βάλλεις
γλυκερὸν σέθεν τὸ σῶμα.
'Ιδίοισιν ἀγριοῦται
ὁ λέων τυπεὶς βελέμνοις·
Παφίη δὲ ταῖς ἀκάνθαις
πολὺ μᾶλλον ἠγριώθης.
Γενεὴν τεὴν οἰδάσκεις,
ἵνα τῶν θεῶν κρατήσῃς.
Γλυκερὸν ῥόδου τὸ τύμμα
γλυκεροὺς πόνους προπέμπει,
τὸ δὲ τύμμα σόν, Κυθήρη,
φλογεροὺς πόνους προπέμπει.
Μέγα θαῦμα νῦν δοκεύω,
ὑπὸ τοῦ ῥόδου κρατεῖται
Παφίη, κρατοῦσα πάντων
μερόπων θεῶν τε φύτλης·
Παφίης Ἔρως, ὁπλίζου
παλάμαις βέλος κομίζων,
τὸ ῥόδον τὸ τῆς Κυθήρης
ἀθετεῖ τανῦν Κυθήρην.
Βελέων ἄπειρον ὤφθη
τὸ ῥόδον τὸ σόν, Κυθήρη,
τεὸν εἰ μάθῃ δὲ πέντρον
τρομερὸν νόον κομίσσει.
'Ολίγον ῥόδον Κυθήρης
ὀλίγους δίδωσι μόχθους,
ὁ δὲ βαιὸς 'Αφροδίτης
μεγάλους Ἔρως προπέμπει.
Τὸ ῥόδον ῥόδον τιτρώσκει·
τί καλὴ πέφυκε τέρψις;
τὸ ῥόδον δὲ ποῖον εἶπω,
ἀπορῶ μὰ τὴν 'Αθήνην.
'Εδάης πόνων τὸ πέντρον,
μάθε μὴ πόνοις με βάλλειν.
Ὁ Ἔρως δίκαια πράττει,
ὁρόων γὰρ 'Αφροδίτην
νόον ἄστατον λαχοῦσαν,
ῥοδέοις ἔνυξε πέντροις.

4.

Τί εἶποι ὁ 'Απόλλων κατατρέχων τὴν Δάφνην καὶ ἐμποδισθεὶς εἰς ἄπανθαν ῥόδου;

Γενεὴν ῥόδων φανεῖσαν
δότε μοι δρέπειν μανέντα·
τί μάτην δὲ τοῦτο πράττω;
ὁ χρόνος φέρει γὰρ ἄλλα.
Κιθάρης μέλος δονήσω
καθίης πόνους συνάδων,
ἐλαφρίζεται γὰρ οἶστρος
ὅταν ἐκ βάθους ἀνέλθῃ.
Πτερόεις Ἔρως ὑπάρχων
μετέωρον αἶρε Φοῖβον,
ἵνα μὴ τὸ μικρὸν ἄνθος
ἀπὸ σοῦ δρόμου με παύῃ.
Χθόνα καὶ πόλον τοσοῦτον
Φαέθων ἐγὼ κυκλεύω.
πόθεν οὖν, πόθεν κρατοῦμαι
ἀπαλὴν κόρην πιέζειν;
Λέγε μοι ῥόδον Κυθήρης,
τί τὸ τραῦμα μου βαθύνεις;
πυρὶ πῦρ τί νῦν προσάπτεις
δροσερῆς Δάφνης στεροῦν με;
Κύπνε, σὺ δραμὼν πτεροῖσι
λέγε τῇ Δάφνῃ τρεχούσῃ,
ἵνα μοι φίλημα πέμψῃ
λεχέων, ἀφ' ὧν στερεῖ με.
Φιλοκερτόμως με παίζει,
ἐνόησα τὴν Κυθήρην·
Ὁ Ἔρως τρέχειν διδάσκει,
σὺ ῥόδον τρέχοντα παύεις·
γενεὴν μίαν λαχόντες
κατ' ἐμοῦ δικῶς φρονεῖτε.
Σὺ, Κύπρις, πόθοις με θέλγεις,
σύ με καὶ ῥόδοις κατέσχες·
τί με τοῖς πόθοις διώκεις,
τί πάλιν ῥόδοις κρατεῖς με;
Τὸ ῥόδον τὸ τῆς Κυθήρης
Παφίης πλέον δαμάζει,
ὅτε γὰρ συνῆλθε Κύπρις
τὸ ῥόδον τότε φθονεῖ με.
'Αμελῶ πόθου κρατοῦντος·
τὸ ῥόδον πλέον με τέρπει
ὅτε καὶ Δάφνην ἐάσω.

Georgii carm. 4. Extat apud Matrangam 659.

Digitized by Google

5.

Τί εἶποι ἡ Φαῖδρα ὁρῶσα τὸν Ἱππόλυτον ἐστεμμένον ῥόδοις.

Τί καλὸν χρόνον δοκεύω,
Παφίην ὁρᾶ τυχοῦσαν·
ὁ ποθούμενος γὰρ ἄρτι
ῥοδόεν στέφος κομίζει
Ὀλίγην Ἔρωτος αἴγλην,
Παφίη ῥόδοισι μεῖζον,
ἵνα τοὺς πόνους νοήσας
φλογερὴν λέγῃ φαρέτρην.
Χαρίεις Ἀδωνιαίροις,
διὰ σοῦ ῥόδον γὰρ ἄνθος
φλογεροὺς πόνους προπέμπον
καρδίην ἐμὴν ἰαίνει.
Ῥόδον ἤθελον γενέσθαι,
ἵνα μετρίως τυχοῦσα
ἐπικειμένη μετώποις
μεταβαλλόμην φιλοῦσα.
Χαρίτων φέρει τὰ τερπνά,
ὅτε τις φιλῶν ποθεῖται.

6.

Ἄλλο εἰς τὸν αὐτόν.

Ἔπ ἐμοὶ πανδαμάτωρ ὅπλα κορύσσει
ἐπ' ἐμοὶ πάντα βέλη νευρὰ τινάσσει,
ὅτι παῖς Ἱππολύτης στέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Χρονίων, Κύπρι, πόθων ἴλαθι Φαίδρης,
φλογερῆς παῦσον ἐμῆς οἶστρον ἀνάγκης,
ὅτι παῖς Ἱππολύτης στέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Κορυφαῖς ἀνθοφόροις παίξατε θῆρες,
βελέων παυσαμένων ἰοχεαίρης,
ὅτι παῖς Ἱππολύτης στέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Καὶ τοὺς Ἔρωτας νῦν ἀριθμὸν γὰρ μέγαν
χρεὼν ὀνομάζειν εἰκότως βλέπουσά γε
τὸν χθὲς μὲν ἄκανθαν, σήμερον δὲ τοῦ ῥόδου
ἔσχον ὑγίειαν τῶν ποθούντων φαρμάκων.
Γλυκὺ Θησέως τὸ τέκνον
βάλε, καὶ λόγοις με, Κύπρι,
ἵνα πᾶν μέλος συνάδῃ,
ἀκοή, φρένες σὺν ὄψει.
Ὁ πόθος πόθοις ἐρίζει,
ἀγαθὸν πέφυκε νεῖκος,
φλέγε πῦρ, ἐγὼ κομίζω·
φλέγε πῦρ, τὸ πῦρ τὸ καῖον.
Στεφάνους τί νῦν κομίζεις;
ῥόδα φαιδρὰ δέξο, Φαῖδρα,

Georgii carm. 5. Extat apud Matrangam 661.
Georgii carm. 6. Extat apud Matrangam 662.

Digitized by Google

ἐὰν ὀκλάσῃς ἀφάσσων,
τότε μανθάνεις τὸ κρεῖσσον.
Ἀρετῆς πόθεν μετέστη
γενέτης τεὸς τοσαύτης;
λαβύρινθε, μαρτύρει μοι
ὅτι τὸ κράτος Κυθήρης.
Ἀνέμων πνοαῖς ἐρίζω,
πελάγους βάθους διώκω,
λιμένας φίλους δοκεύσω·
ἕνεκεν τίνος πλανῶμαι;
Ὁ φιλῶν ὅτε στυγεῖται,
ἀέρος σκιὰν διώκει,
καμάτους φέρων ἀΰπνους,
Παφίης Ἔρωτα φεύγων.
Παφίης ῥόδοις τί τέρπει;
φιλέων ῥόδον Κυθήρης,
ἔχε καὶ νόον Κυθήρης·
Παφίη, πόθων ἀνάσσεις.
Παφίη, κρατοῦσα δεῖξον,
ἵνα τοῖς τεοῖς βελέμνοις
φιλίοις γένοιτο τέρψις
στυγέων Ἔρωτος ἔργα.
Φρένα σὺν ῥόδοις νοθεύεις·
ἐρατῆς γὰρ Ἀφροδίτης
ἐρατὸν πέφυκεν ἄνθος,
βέλος ἄρχεται κομίζειν
Ὑπὸ Κύπριδος γελώσης,
ἵνα γνῶ, πόσον παμάζει
φλογερὸν βέλος Κυθήρης·
Παφίη, χόλῳ μετρήσεις.
Ὁ χόλος πόθου με βάλλει,
ὁ πόθος ῥόδοις με τήκει·
πόσα τὶς βέλη κομίσσει,
φύσις οὐκ ἔμεινε, Κύπρι,
τὰ σὰ μὴ φέρουσα κέντρα.

7.

Ἐπιθαλάμια.

Γαμίαι πνέουσιν αὖραι,
μέλος ὀργάνων δονεῖται,
τάχα παστὸν Ἀφροδίτῃ
Χαρίτων πλέκουσι κῶμοι.
Ὁ δ' ἔρως ὁ πάντα παίζων,
ὁ γένος γένει συνάπτων
ἀπ' ἐλευθέρας φαρέτρας
βέλος ἡμέρας τινάσσει.

Digitized by Google

Ὁ γέρων πάρεστι Νεῖλος
κεφαλὴν ῥόδοις πυκάσσας,
ἵνα σὺν νέοις χορεύσῃ
πολιοὺς πόδας τινάσσων.
Κιθάρης ἄναξ Ἀπόλλων
γάμιον μέλος λιγαίνει·
γλυκεραὶ πάρεισι Μοῦσαι
Βρομίῳ γάμους τελοῦσαι.
Ὅθεν ἄσμενος προῆλθον
ἐπέων μέλος χαράξας,
ἵνα σὺν νέοις χορεύσω
γαμίους νόμους τελέσσας.

8.

Ἐπιθαλάμια.

Ἀναβάλλομαι χορεύειν
λιγυροῖς μίτοισι κρούων
γαμικὸν μέλισμα σεμνόν,
βιοτῆς χάρισμα πρῶτον.
Τί γάρ, εἰπέ μοι, τίς ὤφθης;
κιθάρης μαθὼν ἀταρπόν,
τόσον εἰς χρόνον μεθῆκας
ἀγέραστα κέντρα πλήκτροις;
Ἑλέτω πόθος δ' ἐκείνης,
ἑλέτω μάκαρ λιγαίνειν
φίλον εἰς λέχοις κίοντα
μετὰ σώφρονος συνεύνου.
Ἀπὸ πασσάλου δ' ἀκούσας
χέλυν ὡς τάχος καθεῖλαν,
ἐθέλω δὲ ταῦτα μέλπειν
ὅσα μοι βίος κελεύει.
Πόθεν οὖν γένοιτο βαλβὶς
Ἑλικωνίδος μερίμνης;
τίνα δ' ὡς θέμις προσειπών
* * * * * * * *
Ἄγ' ἔλασσον ἢ τεκόντας
γενέτην σὸν ἢ τεκοῦσαν,
ἐπέων φοροῦσαν εὐχος,
γεραροῖς νόμοις κομῶσαν.
Χρόνος ἐστὶ ταῦτα βάζειν,
κόρον ἐκ χρόνου δὲ φεύγω,
ὅτι θ' ἥματος μί' ὥρα
χρόνος ἐστὶ τοῖς ποθοῦσιν.

Georgii carm. 7. Extat apud Matrangam 573.
Georgii carm. 8. Extat apud Matrangam 574.

Digitized by Google

Μικρὸν οὖν πόρην προσεικάν,
μελέων ἐμῶν ἀφορμήν,
Θαλίης μέλισμα πάσης
ἀποπαύσομαι λιγαίνειν.
Ἐρατὴ πέλουσα νύμφη,
ἐρατοῦ δὲ καὶ γραφεῖσα
φιλοσώφρονος συννεύνου,
πόσιν ἄξιον μετέρχῃ.
Ὅθεν, ὦ μάκαιρα, χαίροις
γεραροῖς ζυγεῖσα λέκτροις·
τετελεσμένας δ' ἐς ὥρας
παῖν ἀγκάλαισι φέρβοις.

Digitized by Google

XX.

LASUS.

1.

ΤΜΝΟΣ ΕΙΣ ΤΗΝ ΕΡΜΙΟΝΙ ΔΗΜΗΤΡΑ.

– ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑

– ⏑ ⏑ – – ⏑ ⏑ ⏑

⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Δάματρα μέλπω κόραν τε Κλυμένοι᾽ ἄλοχον Μελίβοιαν,
ὕμνον ἀνάγων τ᾽ Αἰολίδ᾽ ἅμα
βαρύβρομον ἁρμονίαν.

2.

Aelian. Var. Hist. XII. 36: *Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις — Λᾶσος δὲ ὅις ἑπτὰ λέγει.*

3.

Aelian. Hist. Anim. VII. 47: *Ἔοικε δὲ καὶ τὰ τῶν λυγγῶν ἔκγονα ὁμοίως (σκύμνοι) ὀνομάζεσθαι· ἐν γοῦν τοῖς Λάσου λεγομένοις διθυράμβοις οὕτως εὑρίσκεται σκύμνος εἰρημένον τὸ βρέφος τὸ τῆς λυγγός.*

Lasus. Fr. 1. Athen. XIV. 624. E: *Λῦτη γάρ ἐστιν (ὑποδώριος καλουμένη ἁρμονία), φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα, ὡς καὶ ὁ Λᾶσος* (sic Dindorf, vulgo *Λάσος*) *ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν Ἑρμιόνι* (sic AB, *ἑρμιόνῃ* P, *ἑρμιόνην* VL, *ἐν Ἑρμιόνῃ* Schweighaeuser) *Δήμητρα ὕμνῳ λέγων οὕτως· Δάματρα κτλ. Ταῦτα δ᾽ ἅδουσι πάντες ὑποδώρια τὰ μέλη, ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος.* Cf. X. 455. C, ubi simul aliud Lasi carmen *Centauri* memoratur. *Ταῦτα* (Pindari Fr. 56.) *σημειώσαιτ᾽ ἄν τις πρὸς τοὺς νοθεύοντας Λάσου τοῦ Ἑρμιονέως τὴν ἄσιγμον ᾠδήν, ἥτις ἐπιγράφεται Κένταυροι. Καὶ ὁ εἰς τὴν Δήμητρα δὲ τὴν ἐν Ἑρμιόνῃ ποιηθεὶς τῷ Λάσῳ ὕμνος ἄσιγμός ἐστιν, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ περὶ μουσικῆς· οὗ ἐστὶν ἀρχή· Λάματρα μ. κ. τε Κλ. ἄλοχον.* Cf. Eust. 1335, 52. V. 1. *Δάματρα*, altero loco B *δαμάτερα*, PVL et A a m. pr. *Δήμητρα*. — *μέλπω* altero loco, priore APV *μ᾽ ἔαπω*, B *μ᾽ ἠαπο*. — *Κλυμένοι᾽* scripsi, *Κλυμένοιο* priore loco, altero l. P *κλυόμενοι*, B *κλυομένοια*, L *κλυομένοιο*, V *κλυοιμένοιο*. — V. 2. *ὕμνον*, Iacobs coni. *ὕμνων*. — *ἀνάγων τ᾽* scripsi, *ἀνάγων* Casaubonus, *ἀνάγνων* Ahrens (i. e. *ἀνάγων*), *ἀναγνων* PV, *ἀναγνῶν* L. Deinde PVL *ἁμαβαρύβρομον*, emendavit Casaubonus.

Digitized by Google

XXI.

APOLLODORUS.

Τίς τοιῇδ' ὥρῃ
ἦλθεν ἐπὶ τέρθρον θυράων;

XXII.

TYNNICHUS.

Εὕρημά τι Μοισᾶν.

Apollodorus. Erotian. p. 366: *τὸ τέρθρον τοῦ πάθους ἀντὶ τοῦ τὸ τέλος. — Καὶ Ἀπολλόδωρος ὁ τοὺς ὕμνους γράψας φησί· τίς τοιήδε ὥρῃ κτλ. ἀντὶ τοῦ ἐπὶ τέλει τῶν θυρῶν.* Meineke *τοιῇδ' ἐν ὥρῃ* coniecit. Apollodorus Atheniensis Pindari est magister, vid. Eustath. vit. Pind. p. 20.

Tynnichus. Plato Ione p. 534. D: *Μέγιστον δὲ τεκμήριον τῷ λόγῳ Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώποτ' ἐποίησε ποίημα, ὅτου τις ἂν ἀξιώσειε μνησθῆναι, τὸν δὲ παιῶνα, ὃν πάντες ᾄδουσι, σχεδόν τι πάντων μελῶν κάλλιστον, ἀτεχνῶς, ὥσπερ αὐτὸς λέγει, εὕρημά τι Μοισᾶν.* (*Γ εὑρήματι, Ε Μουσᾶν.*) quod fortasse ex ipso illo carmine petitum. Conf. Porphyr. de Abst. II. p. 133: *Τὸν γοῦν Αἰσχύλον φασίν, τῶν ἀδελφῶν ἀξιούντων εἰς τὸν θεὸν γράψαι παιᾶνα, εἰπεῖν, ὅτι βέλτιστε Τυννίχῳ πεποίηται· παραβαλλόμενον δὲ τὸν αὐτοῦ πρὸς τὸν ἐκείνου, ταύτῃ πείσεσθαι τοῖς ἀγάλμασι τοῖς καινοῖς πρὸς τὰ ἀρχαῖα· ταῦτα γάρ, καίπερ ἁπλῶς πεποιημένα, θεῖα νομίζεσθαι, τὰ δὲ καινὰ περιέργως εἰργασμένα θαυμάζεσθαι μέν, θεοῦ δὲ δόξαν ἧττον ἔχειν,* ubi *τῶν Δελφῶν ἀξιούντων* scribendum. Nomen huius poetae Valesius restituit etiam ap. Ptolem. Heph. Phot. Bibl. CXC: *τὰς δὲ Κολυμβώσας Ἀλκμᾶνος* (ita recte, opinor, Casaubonus pro *Ἀλκμάνους*, Meineke Com. Poet. I. p. 108. *Ἀλκιμένους*) *πρὸς τῇ κεφαλῇ Τυννίχου τοῦ Χαλκιδέως εὑρεθῆναί φασιν* pro *Τιρονίχου* vel *Τιτωνύχου*.

Digitized by Google

XXIII.

TELESILLA.

1.

– ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ –
Ἀδ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

2.

Athen. XIV. 619. B: *Ἡ εἰς Ἀπόλλωνα ᾠδὴ φιληλιὰς* (ita PVL, *φηλικίας* AB) *ὡς Τελέσιλλα παρίστησιν.*

3.

Paus. II. 35, 2: *Τὸ μὲν δὴ τοῦ Πυθαέως ὄνομα μεμαθήκασι παρὰ Ἀργείων· τούτοις γὰρ Ἕλλήνων πρώτοις ἀφικέσθαι Τελέσιλλά φησι τὸν Πυθαέα ἐς τὴν χώραν Ἀπόλλωνος παῖδα ὄντα.*

4.

Paus. II. 28, 2: *Ἐπὶ δὲ τῇ ἄκρᾳ τοῦ ὄρους Κορυφαίας ἐστὶν ἱερὸν Ἀρτέμιδος, οὗ καὶ Τελέσιλλα ἐποιήσατο ἐν ᾄσματι μνήμην.*

5.

Apollod. Bibl. III. 5: *Ἐσώθη δὲ τῶν μὲν ἀρρένων* (ex Niobae liberis) *Ἀμφίων, τῶν δὲ θηλειῶν Χλωρὶς ἡ πρεσβυτέρα, ἣ Νηλεὺς συνῴκησε, κατὰ δὲ Τελέσιλλαν* (ita Aegius, libri *τελεσίαν*) *ἐσώθησαν Ἀμύκλας* (ita codd., *Ἀμύκλα* v.) *καὶ Μελίβοια, ἐτοξεύθη δὲ ὑπ' αὐτῶν καὶ Ἀμφίων.* Ceterum ultima haec verba separanda potius sunt, quippe quae non ad Telesillae carmen spectent, sed quibus continuetur Apollodori narratio: nam Amphion pater intelligendus est, et supra pro Amphione filio fort. *Δαμασίχθων* leg. Ceterum cf. Paus. II. 21, 9.

6.

Hesych.: *Βελτιώτας· τὰς βελτίους Τελέσιλλα* Aut *τὰς* del. aut *τοὺς* scribendum, Lobeck *βελτιωτέρας* coni.

Telesilla. Fr. 1. Hephaest. 6: *ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ, ἡμιμερῆ μὲν τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο· Ἀδ' κτλ.* V. l. etiam ib. 26. legitur, ubi Fl. B *κόρα.*

Digitized by Google

7.

Athen. XI. 467. F: *Τελέσιλλα δὲ ἡ Ἀργεία καὶ τὴν ἅλω καλεῖ δεῖνον* (C supra *δῖνον*). Cf. Eust. 1207, 9.

8.

Poll, II. 23: *Καὶ παρὰ Φερεκράτει οὐλοκέφαλος· οὐλοκίκιννι δὲ Τελέσιλλα εἶρηκε.* corr. *οὐλοκίκιννος*, vel *οὐλοκικίννι*, quod tuetur Aeschyleum *λεοντοχόρταν βούβαλιν.*

9.

Sch. Hom. Od. *ν'*. 289: *Καλῇ τε μεγάλῃ τε. Ἐκ τῆς κατὰ τὴν ὄψιν κοσμιότητος καὶ αἰδοῦς καὶ τοῦτο ὑπονοεῖν δίδωσι, καθὰ καὶ Ξενοφῶν καὶ Τελέσιλλα ἡ Ἀργεία διαγράφουσιν Ἀρετῆς καὶ Καλοκαγαθίας εἰκόνα.* Nitzsch coni. *Ἀρετῆς καὶ Κακίας.*

XXIV.

SIMONIDES.

ΕΙΣ ΤΗΝ ΕΠΙ ΑΡΤΕΜΙΣΙΩι ΝΑΥΜΑΧΙΑΝ. 1—4.

1. 2. [2. 3.] *)

⏑ – – – ⏑ – ⏑

Ἐβόμβησεν θάλασσα.
Ἀποτρέποισα κῆρας.

3. [5.]

Schol. Apoll. Rhod. I. 212: *Τὴν δὲ Ὠρείθυιαν Σιμωνίδης ἀπὸ Βριλησσοῦ φησὶν ἁρπαγεῖσαν ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θράκης ἐνεχθῆναι — ἡ δὲ Ὠρείθυια Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν ἐς Θρᾴκην κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν τῇ Ναυμαχίᾳ.* Cf. Eudoc. 440.

Simonides. Fr. 1. 2. Priscian. de metr. com. 250. Lindem.: „Simonides et Alcman in iambico teste Heliodoro non solum in fine ponunt spondeum, sed etiam aliis in locis. Simonides in *ἐπ' Ἀρτεμισίῳ ναυμαχίᾳ* in dimetro catalectico: *ἐβ. θάλ.* (cod. Lind. et Paris. 7496. *θαλάσσας*) in secundo loco spondeum posuit: *ἀντιστρέφει δὲ αὐτῷ· ἀποτρέπουσαν* (sic Ald., Putsch. *ἀποτρέποις εἰ*, cod. Lind. *ἀποτρέπου σ' εἰ*, cod. Par. 7496 *ἀποτρεπούσει*, 7501 *ἀποτρεποίσει*, Hermann *ἀποτρέπουσα*, Schneidewin *ἀποτρέποισα*) *κῆρας.*

*) Numeri adiecti sunt editionis Schneidewinianae.

Digitized by Google

4. [9.]



Τῶν ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,
βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' οἶκτος
ἔπαινος·
ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς
οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος.
ἀνδρῶν δ' ἀγαθῶν ὅδε σηκὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο· μαρτυρεῖ δὲ καὶ Λεωνίδας
ὁ Σπάρτας βασιλεύς, ἀρετᾶς μέγαν λελοιπὼς
κόσμον ἀέναόν τε κλέος.

Fr. 4. Diod. Sic. XI. 11: *Διόπερ οὐχ οἱ τῶν ἱστοριῶν συγγραφεῖς μόνοι, ἀλλὰ καὶ πολλοὶ τῶν ποιητῶν καθύμνησαν αὐτῶν τὰς ἀνδραγαθίας· ὧν γέγονε καὶ Σιμωνίδης ὁ μελοποιὸς ἄξιον τῆς ἀρετῆς αὐτῶν ποιήσας ἐγκώμιον, ἐν ᾧ λέγει· Τῶν* κτλ. unde Schneidewin existimat peculiare carmen (*encomium*) in illos a Simonide compositum fuisse, quod Diodori verba nequaquam significant: ipsa autem Simonidis oratio suadet, ut has laudes alii carmini insertas fuisse censeamus: itaque ad carmen *εἰς τὴν ἐπ' Ἀρτεμισίῳ* retuli. Ceterum servavit carmen etiam Arsen. 342. V. 1. *Θερμοπύλαις*, AH *Θερμοπύλαισι*. — V. 3. *πρὸ γόων* Ilgen et Eichstaedt, libri *προγόνων*. — *οἶκτος* Iacobs et Hermann, vulgo *οἶτος* (*οὖτος* K). — V. 4. *οὔτ' εὐρώς*, in proecdosi scripsi *εὐρώς* deleta particula *οὔτ'*. — V. 6. *ἀνδρῶν δ' ἀγαθῶν ὅδε* scripsi, legebatur *ἀνδρῶν ἀγαθῶν· ὁ δέ*, Arsen. *ἀγαθῶν ἀνδρῶν· ὁ δέ*. — *σηκὸς*, Schneidewin *σακὸς*. — *οἰκέταν* Schneidewin, vulgo *οἰκετᾶν*, Hermann *οἰκητάν*, Thiersch *οἰκέιν*. — V. 7. *εἵλετο* Hermann, vulgo *εἷλατο*. — *δὲ καὶ* Arsen., *δὲ* Diod. — V. 8. *λελοιπώς*, Arsen. *λιπών*. — V. 9. *ἀέναον*, L *ἀέννασον*. — *κλέος*, in proecdosi *κλεῖος* scripsi.

Digitized by Google

ΕΠΙΝΙΚΟΙ.

ΣΚΟΠΑΙ ΤΩΙ ΚΡΕΟΝΤΟΣ ΘΕΣΣΑΛΩΙ.

5. [12.]



Epinicia Simonidis a veteribus grammaticis in varias classes secundum certaminum genera descripta erant, sic Fr. 14. est *ἐκ τῶν Σιμωνίδου τεθρίππων*, Fr. 12. *Σιμωνίδης ἐν τοῖς πενταέθλοις*, porro huc pertinet quod ex Herodiano adscripsit Bandini Catal. Bibl. Laur. 146: *ὁ Σιμωνίδης ἐπέγραψεν ἐπίνικοι* (legebatur *ἐπίκικοι*) *δρομέσι, δέον τοῖς δρομεῦσι.* quamquam ad Callimachum potius, ut Schneidewin animadvertit, haec carminum inscriptio referenda (vid. Choerobosc. Bekk. An. III. 1185: *Δρομέσι παρὰ Καλλιμάχῳ· ἐκεῖνος*, v. *ἐκεῖνα*] *γὰρ οὕτως ἐπέγραψεν, ὀφείλων ἐπιγράψαι δρομεῦσι* [vid. Choerob. Epimer. I. 115, 15. cum cod. Marc. ap. Gaisford Praef. Et. M. p. VII. et Cram. An. Ox. III. 254.] tamen verisimile est Callimachum propterea hac forma usum esse, quoniam in ipsius Simonidis carminibus reperit.

Fr. 5. Plato Protag. 339. A: *Καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δὲ εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γὰρ πρὸς Σκόπαν, τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ ὅτι Ἄνδρα ἀγ. . . . τετυγμένον* (V. 1. 2.) . . . *Οἶσθα οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που, Οὐδέ μοι . . . ἔμμεναι* (V. 8. 9.) . . . p. 341. D: *ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπὸν κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα. λέγει γὰρ ὅτι θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας* (V. 10.) . . . p. 344. C: *ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, ἄνδρα δὲ οὐκ . . . καθέλῃ* (V. 10. 11.) . . . *σὺ δὲ φῄς, ὦ Πιττακέ, χαλεπὸν ἐσθλὸν ἔμμεναι, τόδ' ἔστι γε νέσθαι μὲν χαλεπόν, δυνατὸν δὲ ἐσθλόν· ἔμμεναι δὲ ἀδύνατον· πράξας μὲν γὰρ εὖ πᾶς . . . κακῶς.* (V. 12. 13.) . . . p. 345. C: *ἐπιπλεῖστοι δὲ καὶ ἄριστοί εἰσιν, οὓς ἂν οἱ θεοὶ φιλῶσιν* (V. 14.). *Ταῦτα τε οὖν πάντα πρὸς τὸν Πιττακὸν εἴρηται, καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλλον δηλοῖ· φησὶ γάρ· Τοὔνεκεν . . . ἀπαγγελέω* (V. 15—18.) *φησίν· οὕτω σφόδρα καὶ δι' ὅλου τοῦ ᾄσματος ἐπεξέρχεται τῷ τοῦ Πιττακοῦ ῥήματι. πάντας δὲ ἐπαίνημι . . . μάχονται* (V. 19—21.) . . . p. 346. C: *Ταῦτα δὴ καὶ τῷ Πιττακῷ λέγει, ὅτι ἐγώ, ὦ Πιττακέ, οὐ διὰ ταῦτά σε ψέγω, ὅτι εἰμὶ φιλόψογος, ἐπεὶ ἐμοιγε ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ μηδ' ἄγαν ἀπάλαμνος, εἰδὼς γε δίκην ὑγιὴς ἀνήρ· οὐ μὴν ἐγὼ μωμήσομαι· οὐ γάρ εἰμι φιλόμωμος· τῶν γὰρ ἠλιθίων ἀπείρων γενέσθαι* (V. 3—6.) . . . *ὥστ' εἴ τις χαίρων ψέγων, ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος· πάντα . . . μέμικται* (V. 7.) Simonidea a Platonis oratione primus rectius separare instituit Schleiermacher, ipsos versus restituere et ad numeros revocare Hermann (in edit.

Digitized by Google

Ἀνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι Στρ. α'.
χαλεπὸν χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ
ψόγου τετυγμένον·
ὃς ἂν ᾖ κακὸς μηδ' ἄγαν ἀπάλαμνος, εἰδώς γ' ὀνησίπολιν
δίκαν

Heindorfii) et Boeckh Pind. I. 2. p. 337., a quibus mihi saepius discedendum fuit. V. 1. *μὲν* om. Θ. — *ἀλαθέως*, *εὐλαθέως* e. — V. 2. *χερσίν*, libri *χερσί*. — *ποσὶ καὶ*, *ποσὶ* BCErwye. — *ψόγου*, *λόγου* w a manu pr. Cf. Plato 344. A: *οὐ γὰρ εἶναι, ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρ' ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀλαθέως (ἀληθέως ΣEw).* Adde Diog. Laert. I. 76: *εἰπέ τε (Πίτταχος) χαλεπὸν ἐσθλὸν ἔμμεναι, οὗ καὶ Σιμωνίδης μέμνηται λέγων· ἄνδρα ἀ. (μὲν* om.*) ἀλ. γενέσθαι χαλεπὸν τὸ Πιττάκειον· μέμνηται δ' αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ· ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται* (ut hoc quoque Pittaci sit, cf. Simon. v. 21.) et Suid. v. *Πιττάκειον*. V. 2. respic. Aristot. Eth. Nic. I. 10, 11. Rhet. III. 11. Sopater ap. Stob. Flor. XLVI. 51. Iulian. Caes. 333. B. Damasc. ap. Suid. v. *τετράγωνος*. Eust. Il. 475, 41. — V. 3—7. hoc loco inserui, quamvis dubitanter, nam possit aliquis suspicari haec ad quartam strophan referenda esse, ut pariter extrema pars primae strophae atque initium quartae strophae desit. Illud certe improbandum, quod Schleiermacher censet hos versus (3—7.) medium obtinere locum inter v. 14. et v. 15: nihil enim probant ea quae Plato 346. C, ubi v. 3—7. affert, addit: *οὐ τοῦτο λέγει, ὥσπερ ἂν εἰ ἔλεγε πάντα τοι λευκά, οἷς μέλανα μὴ μέμικται· γελοῖον γὰρ ἂν εἴη πολλαχῇ· ἀλλὰ ὅτι καὶ αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται, ὥστε μὴ ψέγειν· καὶ οὐ ζητῶ, ἔφη, παν ἄμωμον ἄνθρωπον, εὐρ. δ. κ. αἰ. χθονός· ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω. ὥστε τούτου γ' ἕνεκα οὐδένα ἐπαινέσομαι, ἀλλά μοι ἐξαρκεῖ, ἂν ᾖ μέσος καὶ μηδὲν κακὸν ποιῇ, ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαινῶ, καὶ τῇ φωνῇ ἐνταῦθα χέχρηται τῇ τῶν Μυτιληναίων, ὡς πρὸς Πιττακὸν λέγων τὸ πάντας δὲ ἐπαίνημι καὶ φιλέω ἐκών (ἐνταῦθα δεῖ ἐν τῷ ἑκών διαλιπεῖν λέγοντα), ὅστις ἔρδῃ μηδὲν αἰσχρόν, ἄκων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ· σὲ οὖν, καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ Πιττακέ, οὐκ ἄν ποτε ἔψεγον· νῦν δέ, σφόδρα γὰρ καὶ περὶ τῶν μεγίστων ψευδόμενος δοκεῖς ἀληθῆ λέγειν, διὰ ταῦτα σὲ ἐγὼ ψέγω.* haec, inquam nihil probant, quoniam manifestum est Platonem hic liberrime suoque insituto convenienter Simonideas sententias disposuisse. Ut credamus strophan 3. (V. 15—21.) continuo post strophan 2. (V. 8—14.) collocatam fuisse non solum commodus sententiarum ordo suadet, sed etiam ipse Plato 345. C, qui allato v. 14. pergit: *καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος μᾶλλον δηλοῖ . . . τοῦνεκεν κτλ.* (V. 15. seqq.). Schleiermacherum tamen secutus Hermann ex his versibus (3—7.) Epodum constituit: *Ἔμοιγ' ἐξαρκεῖ, | ὃς ἂν μὴ κακὸς ᾖ . . . . οὐ μιν ἐγὼ μωμήσομαι· | οὐ γὰρ φιλόμωμος* (eiecto verbo *εἰμι*, pro quo Schneidewin *ἐγὼ* coni.) *κτλ.* At vero horum versuum numeri aperte sunt iidem, qui in strophis deprehenduntur, ut nullis omnino epodis Simonides in hoc carmine usus esse videatur. Quare hic inserui, ut prima stropha iam sit integra: apteque Simonides, postquam dixit difficile esse, virum omni ex parte bonum evadere, subiecit, sibi vel mediocres homines probari, et tum aptissime Pittaceum illud sub examen vocavit: neque adversantur huic coniecturae, quae Plato 344. B dicit. Iam apparet quod est apud Platonem 346. C, ubi hos versus (3—7.) affert *ἐπεὶ ἔμοιγε ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ κτλ.* (quamquam infra 346. D repetit *ἀλλά μοι ἐξαρκεῖ, ὃς ἂν μέσος ᾖ*) non esse a Simonide profectum, sed Platonem poetae verba liberius suae orationi accommodavisse: itaque ut iustum et numerum et sententiam restituerem v. 4. scripsi verbo *ἐστίν* addito *ὑγιὴς ἀνὴρ ἐστιν*, et v. 3. emendavi *ὃς ἂν ᾖ κακὸς* deleta negatione *μή*, quae facile ex sequentibus repeti potest. — *εἰδώς*, *Σ* e corr. *οὐχ ὃς*. — *γ' ὀνησίπολιν* scripsi, *τ' ὀνησίπολιν* Hermann, libri *γε ὀνήσει πόλιν*, Schneidewin *τ' ὀνασίπολιν*.]

Digitized by Google

ὑγιὴς ἀνήρ (ἐστιν)· οὔ μιν ἐγώ
μωμήσομαι· τῶν γὰρ ἠλιθίων
ἀπείρων γενέθλα.
πάντα τοι καλά, τοῖσί τ' αἰσχρὰ μὴ μέμικται.

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον Στρ. β'.
νέμεται, καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν
φάτ' ἐσθλὸν ἔμμεναι.
θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας· ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ
κακὸν ἔμμεναι,
ὃν ἀμάχανος συμφορὰ καθέλῃ.
πράξαις γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ', εἰ κακῶς· καί
τοὐπιπλεῖστον ἄριστοι, τοὺς θεοὶ φιλέοισιν.

Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι Στρ. γ'.
δυνατὸν διζήμενος, κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν
αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα
χθονός·

V. 4. οὔ μιν Schleiermacher, libri οὐ μὴν. — V. 5. μωμήσομαι, Schneidewin μωμάσομαι et deinde ἀλιθίων. — Quae post μωμήσομαι sequuntur: οὐ γὰρ εἰμι φιλόμωμος Platonis sunt verba Simonidem explicantis, neque vero Simonidis versiculus, ut Schleiermacher et qui illum sequuntur existimant; quam sententiam frustra tuearis eo, quod Plato supra dixit: οὐ διὰ ταῦτα σὲ ψέγω, ὅτι εἰμὶ φιλόψογος. — V. 6. ἀπείρων γενέθλα, sic libri nisi quod γένεθλα exhibere videntur, quod non recte tuetur Stallbaum, ut ἀπείρων sit genitivus adiectivi ἄπειρος, edd. vett. ἄπειρα γενέθλα, unde Stephanus ἄπειρα γένεθλα (vel ἄπειρος ἀ γενέθλα). — V. 7. καλά, τοῖσί τ', r καλὰ λευκὰ τοῖσι. — μὴ om. Γ. — V. 8. οὐδέ, Γ οὐδέν. — Πιττάκειον, πιττάκιον ΧΓΘΞΣwe. — V. 9. ἐσθλόν, Boeckh ἐσλόν, qua forma Pittacum usum esse credibile est, Simonides utram formam praeoptaverit, incertum. Ceterum cf. Polyb. XXIX. 7: τὸ ῥηθὲν ὑπὸ Σιμωνίδου· χαλεπὸν ἐσθλὸν ἔμμεναι. Adde Cratet. Epist. in Not. et Extr. Bibl. Paris. X. 278. — V. 10. τοῦτ' ἔχοι, p. 341. E τοῦτο ἔχοι ΧΓΘΞCryt, vulgo ἔχοι τοῦτο, infra 344. C τοῦτο ἔχοι τὸ γέρας (Γ τοῦτ' ἔχοι, τ ἔχοι τοῦτο). Respicit Aristot. Metaph. I. 2. cf. etiam Schol. Aristot. IV. 529. Cram. An. Par. I. 387, 33. Boisson. An. Nov. 210. — V. 11. ὃν scripsi, et sic e, vulgo δν ἄν. — ἀμάχανος Boeckh, v. ἀμήχανος. — καθέλῃ, καθέλοι rr. — V. 12. πράξαις Boeckh, v. πράξας. — γὰρ Hermann, v. μὲν γὰρ. — εὖ, e εἰ. — V. 13. εἰ, e εἰ. — καὶ τοὐπιπλειστον ἄριστοι, τοὺς θεοὶ φιλέοισιν scripsi, Hermann καὶ τοὐπὶπλειστον ἄριστοι, τούς κε θεοὶ φιλῶσιν, ap. Plat. ἐπὶ πλεῖστον δὲ καὶ ἄριστοί εἰσιν, οὓς ἂν οἱ θεοὶ φιλῶσι. — V. 16. διζήμενος, Σ διζόμενος. — κενεὰν, Χ κεν ἐὰν. — ἐς, εἰς ΣEyr. — V. 17. πανάμωμον, r παράμωμον. — εὐρυέδους, ΧΘr εὐρυεδοῦς et similiter infra 346. D. Verba εὐρυέδους, . . . χθονός affert Plut. Quaest. Symp. IX. 14, 2. (εὐρυεδοῦς), de tranquill. c. 10. de fraterno am. c. 14. (utroque l. εὐρυόδου γ'), adv. Stoic. c. 7. (εὐρυέδυος et ἐδόμεθα, sed Dübner . . . μεθα).

Digitized by Google

ἐπί τ' ὕμιν εὑρὼν ἀπαγγελέω.
πάντας δ' ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἔρδῃ
μηδὲν αἰσχρόν, ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι.

6. [14.]

Schol. Pind. Isthm. II. Argum.: *Οὗτος δὲ ὁ Ξενοκράτης οὐ μόνον Ἴσθμια νενίκηκεν ἵπποις, ἀλλὰ καὶ Πύθια τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, ὡς Ἀριστοτέλης ἀναγράφει· καὶ Σιμωνίδης ἐπαινῶν ἀμφοτέρας αὐτοῦ τὰς νίκας κατατάσσει.*

Fr. 78. Schol. Il. *φ'*. 127: *Ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή· Σιμωνίδης δὲ αὐτὴν καὶ δείξαι πειρώμενος οὕτως ἔφη· Ἐς ἅλα στίζουσα πνοιά.* — *στίζοισα* Schneidewin. — *πνοιά*, *πνοά* Ursinus.

Fr. 79. Schol. Hom. Il. *β'*. 2: *Ὅτι δὲ τὸ νήδυμος μετὰ τοῦ ν καὶ οὐχὶ ἥδυμος, ὡς ἔνιοι, παρὰ τὸ ἡδύς, ὡς δῆλον ἐκ τοῦ· Νήδυμος ἀμφιχυθείς, οἱ δὲ μεθ' Ὅμηρον καὶ χωρὶς τοῦ ν λέγουσιν — καὶ Σιμωνίδης· οὗτος κτλ. ἥδυμον* Buttmann, *ἄδυμον* Schneidewin, vulgo *ἥδυμος*. Cf. Eust. 163, 28.

Digitized by Google

80. [147. c.]

⏑ ⏑ ˊ– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Ἕνα δ' οἷον ἔνεικε θεὰ μέγαν εἰς δίφρον.

81. [123.]

ˊ– ⏑ ⏑ – ⏑ – –

Ἀμερόφων' ἀλέκτωρ.

ΕΛΕΓΕΙΑ.

82.

ΕΙΣ ΤΗΝ ΕΝ ΜΑΡΑΘΩΝΙ ΜΑΧΗΝ.

Εἰ δ' ἄρα τιμῆσαι, Θύγατερ Διός, ὅστις ἄριστος,
δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

83. [8.]

ΕΙΣ ΤΗΝ ΕΝ ΣΑΛΑΜΙΝΙ ΝΑΥΜΑΧΙΑΝ.

Plutarch. vit. Themist. c. 15: *Οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρίψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὐθ' Ἕλλησιν*

Fr. 80. Cram. An. Paris. IV. 186, 33: *Νίκη· Ἀπολλώνιος ὁ Ἀρχιβίου ὁ ἐνεικει, τουτέστιν ἐν ᾗ ὑποχωρεῖ·* (scrib. ὃ ἐνὶ εἴκει, τουτέστιν δ ἐν ὑποχωρεῖ) *γέγονεν δὲ κατὰ ἀφαίρεσιν τοῦ ε̄, συγκοπῇ τῆς εῑ διφθόγγου· ὁ γοῦν Σιμωνίδης παρετυμολόγει* (παρετυμολογεῖ Nauck)· *φησὶ γάρ· ἓν δὲ οἱονεικει θεαὶ μ. εἰς δ.* Cf. Cram. An. Ox. I. 440, 2: *Χειρὸς κατὰ ἀφαίρεσιν τοῦ ε̄ γέγονε, παρὰ τὸ ἔχειν, ὡς παρὰ τὸ ἐνὶ εἴκειν κατὰ Σιμωνίδην νίκη.* In Simonidis versu scripsi *ἕνα δ' οἷον ἔνεικε θεά*, possis coniicere *ἐνὶ δ' οἵῳ εἴκει θεὰ μέγαν δίφρον*, sed nequaquam necesse est Simonidem ipso verbo *εἴκειν* usum esse credamus.

Fr. 81. Athen. IX. 374. D: *Σιμωνίδης· ἱμερόφων' ἀλ.* sed B *ἡμερόφων'*, quod correxit Schneidewin.

Fr. 82. Aristoph. Pac. 736: *Εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος Κωμῳδοδιδάσκαλος ἀνθρώποιν καὶ κλεινότατος γεγένηται, Ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν*, ubi Schol. *Παρὰ τὰ Σιμωνίδου ἐκ τῶν Ἐλεγείων· Εἰ δ' ἄρα κτλ.* V. 1. *Θύγατερ* Schneidewin, cod. *θυγατέρα*. — V. 2. *δῆμος*, Dübner vel Dindorf *δήμῳ* nescio qua de causa coni. — *ἐξετέλεσσα* Schneidewin, cod. *ἐξετέλεσα*. Resp. huc Auctor vit. Aeschyl. (Biogr. p. 119.): *Κατὰ δ' ἐνίους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ* (Αἰσχύλος)· *τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον.*

Digitized by Google

οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους. Hoc carmen Schneidewin inter *melica* retulit. Suidas enim dicit v. Σιμωνίδης· — καὶ γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία καὶ Ξέρξου ναυμαχία δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι μελικῶς, θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες, καὶ τραγῳδίαι καὶ ἄλλα. codd. nihil variant, nisi quod Ε βασιλέως pro βασιλεία exhibet, at Eudocia 383. meliore libro usa: καὶ Ξέρξου ναυμαχία· καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι μελικῶς. Atque eadem prorsus Schol. Aristoph. Vesp. 1411. ed. Ald. Schneidewin inde colligit Simonidem scripsisse carmen, cui ἡ Καμβύσου καὶ Δαρείου βασιλεία fuerit nomen, deinde autem scribit καὶ Ξέρξου ναυμαχία· καὶ ἡ μὲν ἐπ' Ἀρτεμισίῳ δι' ἐλεγείας κτλ. — Auctor, quem sequitur Suidas, ut Simonidis aetatem describeret, haud dubie dixerat vixisse poetam *regnantibus Cambyse, Dario, Xerxe.* (Idem significat auctor vitae Pindari p. 98. Westerm.: ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου ἢ νεώτερος πρεσβυτέρου· τῶν γοῦν αὐτῶν μέμνηται ἀμφότεροι πράξεων· καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς Ξέρξου βασιλείας, quod nequaquam ita explicandum, ac si Pindarus Simonidis aliquod carmen respexerit, cf. Fr. Pind. 255.) deinde autem auctor ille Simonidis carmina, quae in universum dorica dialecto scripta esse dixit, recensuerat, in his etiam duo carmina, quibus poeta victorias navales ad Artemisium et Salamina reportatas celebraverat: illud certo colligas ex hoc loco forma dispari fuisse haec carmina: iam cum carmen εἰς τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν *melicum* fuisse constet, sequitur carmen εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν *elegiacum* fuisse: itaque ille, quem sequitur Suidas, scripserat: καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία μελικῶς, ἡ δ' ἐν Σαλαμῖνι δι' ἐλεγείας.

84. [59.]

ΕΙΣ ΤΗΝ ΕΝ ΠΛΑΤΑΙΑΙΣ ΜΑΧΗΝ.

Μέσσοι δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἵδριες ἐν πολέμῳ,
οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ, νέμοντες,
οἳ * κάλλιστον μάρτυν ἔθεντο πόνων

Fr. 84. Plut. de Herodoti malign. c. 42: Ἀλλὰ Κορινθίους γε καὶ τάξιν, ἣν ἐμάχοντο τοῖς βαρβάροις καὶ τέλος ἠλίκον ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ Πλαταικοῦ ἀγῶνος, ἔξεστι Σιμωνίδου πυθέσθαι, γράφοντος ἐν τούτοις· Μέσσοι κτλ. — πατέρων. (V. 1—6.) Ταῦτα γὰρ οὐχ οἷον ἐν Κορίνθῳ διδάσκων, οὐδ' ᾄσμα ποιῶν εἰς τὴν πόλιν, ἀλλ' εἰς τὰς πράξεις ἐκείνας ἐλεγεῖα γράφων ἱστόρηκεν. — V. 1. Μέσσοι, BE et vett. edd. μέσσοισι. — Ἐφύρην Schneidewin, BTV γ' Ἔφυραν, vulgo γέφυραν. — V. 4. οἵ, Ursinus οἳ καὶ. — κάλλιστον, Reiske καλλίστων, Schneidewin coni. κύκλον καλλίστων. Fort. οἳ καὶ κάλλιστον μάρτυν ἔθεντο πόλον, Bamberger coni. οἷον καλλίστων vel οἷων κάλλιστον.

Digitized by Google

χρυσοῦ τιμίεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων·
ξεινοδόκων δ' ὤριστος ὁ χρυσὸς ἐν αἰθέρι λάμπων.

---

85. [60.]

(Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·)
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν·
παῦροι μὲν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ·
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

86. [11.]

* * Οἶνον ἀμύντορα δυσφροσυνάων.

V. 7. adieci ex Apollonio Lex. Hom. 116, 25. Ξεινοδόκος. — ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· (Fr. 304.) ἀντὶ τοῦ ἐμαρτύρησεν· καὶ ἐν τῇ Ὀδυσσείᾳ· (σ', 63.) Ξεινοδόκος μὲν ἐγώ, ἔδοξέ τισι λέγειν (μάρτυρα)· φησὶ γοῦν Σιμωνίδης· Ξεινοδόκων δ' ἄριστος ὁ χρ. ἐν αἰθέρι λαμπρός. ἀντὶ τοῦ μαρτύρων. — ὤριστος Brunck, vulgo ἄριστος. Olim conieci γὰρ ἄριστος. — λάμπων pro λαμπρός exhibent Et. M. 610, 46. Et. Gud. 414, 35. et Zonar. 1415. (Mingarelli codd. Nan. 496.) qui eundem versum per errorem Pindaro tribuunt et ὁ omittunt.

Fr. 85. Stob. Flor. XCVIII. 29: Σιμωνίδου. V. 1. solus Ursinus habet, in Stobaeo desideratur. — V. 2. Resp. Plut. vit. Hom. 283. ed. Gale: Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χίον τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον. Cf. vit. Hom. ed. Westerm. 28. (Cram. An. Par. III. 98, 13.) — V. 4. μὴν scripsi, atque ita Meineke et Hermann, vulgo μεν. — V. 9. γηρασέμεν Vind., γῆρας ἔμεν A, γηρασσέμεν vulgo, γηρασκέμεν Buttmann. — V. 11. νήπιοι, οἷς Stephanus et Ursinus, vulgo νηπίοις, A νηπίοισι, B νηπυτίοις. — V. 12. βιότου, Stephanus βιότοι', Ursinus βιότοιο, Hermann βιοτῆς.

Fr. 86. Ath. X. 447. A: Τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες οἶνον ἀμ. δυς. (B δυσφρόσυνον) nisi forte δυσφροσυνᾶν scribendum, ut sit ex melicis carminibus.

Digitized by Google

87. [65.]

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

88. [66.]

Ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα.

* 89. [67. 68.]

Ἦν ἄρ' ἔπος τόδ' ἀληθές, ὅτ' οὐ μόνον ὕδατος αἶσαν,
ἀλλά τι καὶ χλεύης οἶνος ἔχειν ἐθέλει.
οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΠΙΚΗΔΕΙΑ.

90. [148.]

Λίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

* 91. [149.]

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

Fr. 87. Stob. Eclog. Phys. I. 28: *Σιμωνίδης· Ζεὺς κτλ. πάντων* cod. Grotii, *πάντως* A.

Fr. 88. Stob. Eclog. Phys. I. 232: *Σιμωνίδης· Ὅτι κτλ.* V. 1. *δ τοι* scripsi, vulgo *οὗτοι*, A *ὅτι*, Grotius *οὕτω*. V. 2. *πάντα καταψήχει* scripsi et similiter Sintenis, vulgo *καὶ πάντα ψύχη* (*ψύχει* VA, *ψήχει* Pierson). — *βιαότατα* VA, vulgo *βιότατα* et sic H, *βεβαιότατα* Pierson.

Fr. 89. Athen. I. 32. B: *Ἦ γὰρ κτλ. ὁ Κεῖός φησι ποιητής.* Fortasse tertius tantum versus Simonideus est, et si omnia Simonidis sunt, dubium an haec cohaereant. V. 1. *ἦν ἄρ'* Porson, vulgo *ἢ γάρ.* — V. 2. *χλεύης* scripsi, BCDV *λεύχης*, L *λέσχης.* — V. 3. *οὐ γὰρ* Schweighaeuser, libri *οὐδὲ γάρ.*

Epigr. 90. Anth. Plan. 26: *Σιμωνίδου.* V. 4. *τρηχεῖαν* Schneidewin, vulgo *τρηχείην.*

Epigr. 91. Lycurg. Leocr. 109: *Τοιγαροῦν ἐπὶ τοῖς ἠρίοις τοῦ βίου μαρτύρια ἔστιν ἰδεῖν τῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας Ἕλληνας, ἐκείνοις μέν, ὦ ξεῖν' ἄγγειλον — τοῖς δὲ ὑμετέροις προγόνοις· Ἑλλήνων προμαχοῦντες κτλ.* Simonidis esse epigramma ostendere videtur Aristid. II. 511. qui una cum aliis huius poetae epigrammatis affert, ubi v. 2. sic scriptus: *ἔκτειναν Μήδων ἐννέα μυριάδας.* Adde Schol. Aristid. 289. ed. Frommel, ubi *εἴκοσι μυρ.* extat.

Digitized by Google

92. [150.]

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

93. [151.]

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

94. [152.]

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὃν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδώς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

95. [153.]

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη·

Epigr. 92. Anth. Pal. VII. 248: *Σιμωνίδου.* Affert etiam Aristides II. 512. Diodor. Sic. XI. 33. Herod. VII. 228: *Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἰχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε· Μυριάσιν κτλ.* Suid. v. *Λεωνίδης* (sed om. ABV.) Ap. Iriart. 91. *Alcaeo* tribuitur, sed 293. sine p. nom. affertur. V. 1. τῇδε, Schneidewin τᾷδε. — τριηκοσίαις Herod. Anth., τριηκοσίῃς Arist., τριακοσίαις Iriarte, διακοσίαις Diod. — V. 2. *Πελοποννάσου* Anth. et ap. Her. SMPK, *Πελοποννήσου* rel. — τέτορες, Arist. et ap. Diod. L τέτταρες (K τέττορες).

Epigr. 93. Herod. VII. 228: *Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ· Ὦ ξεῖν' κτλ. Simonidis* esse testatur Cicero Tusc. I. 42. et Anthol. Pal. VII. 249. Afferunt praeterea Lycurg. Leocrat. 109. Diodor. XI. 33. Strabo IX. 429. Suidas v. *Λεωνίδης*. Arsen. 118. V. 1. ὦ ξεῖν' ἀγγελλειν Herod. codd. Suid. (ABV ἄγγελε), ὦ ξένε ἄγγειλον Diod., ὦ ξεῖν' ἄγγειλον Lyc. Anth. Ars. (om. ὦ) Herod. vett. edd., ὦ ξέν' ἀπάγγειλον Strabo, ap. Iriarte 91., ubi *Alcaeo* tribuitur, ἄγγειλον, sed 293. (ubi s. p. nom.) ἀγγέλλειν. — τῇδε, Schneidewin τᾷδε. — V. 2. ῥήμασι πειθόμενοι, Lyc., Strabo, Diod., Ars. πειθόμενοι νομίμοις.

Epigr. 94. Herod. VII. 228: *Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι τόδε· Μνῆμα κτλ. Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτυόνες εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.* Adde Anthol. VII. 677: *Σιμωνίδου. ἐκ τῆς ἱστορίας Ἡροδότου κτλ.* Simonidi tribuitur etiam Iriart. 293. V. 1. κλεινοῖο, ap. Her. VS et Iriar. κλειτοῖο. — *Μεγιστία*, Anth. *Μεγιστίου.*

Epigr. 95. Anthol. Pal. VII. 253: *Σιμωνίδου· εἰς τοὺς αὐτούς.* Schol. Aristid. III. 154: *εἰς τοὺς ἐν Πύλαις ἀποθανόντας. Alcaeo* trib. Iriarte. V. 1. ἀρετῆς, Anth. cod. P ex corr. ἀρετᾶς. — V. 2. ἡμῖν ἐκ πάντων τοῦτ' Anth. et BD ap. Schol. Ar., vulgo ἐκ πάντων τοῦθ' ἡμῖν.

Digitized by Google

Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

96. [154.]

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

97. [155.]

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων τ' ἀνδρῶν δεξάμενοι πολέμῳ.

* 98.

Τούσδε ποθεῖ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων
μητρόπολις Λοκρῶν εὐθυνόμων Ὀπόεις.

99. [156.]

Οὐκ ἐστὶν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

V. 3. *σπεύδοντες*, D Schol. *σπεύσαντες*. — *ἐλευθερίην*, cod. Pal. BD *ἐλευθερίαν*. — *περιθεῖναι*, cod. Pal. *περὶ θεῖναι*, B *παραθεῖναι*. — V. 4. *ἀγηράντῳ* Planud., *ἀκηράτῳ* Schol., *ἀγηράτῳ* Pal.

Epigr. 96. Anth. Pal. VII. 251: *Σιμωνίδου εἰς τοὺς αὐτοὺς μετὰ Λεωνίδου πεσόντας. Alcaeo* tribuitur ap. Iriarte. — V. 2. *θανάτου*, Ahrens *θανάτοι'*, Friedemann *ἀμφεβάλοντο νέφος κυάν. θαν.*, Schneidewin *ῥυσάμενοι θανάτου δ' ἀμφ. νε.* — V. 3. *καθύπερθεν*, cod. P *καθύπερθε*.

Epigr. 97. Anth. Pal. VII. 301: *Σιμωνίδου εἰς τοὺς μετὰ Λεωνίδην τὸν Σπαρτιάτην τελευτήσαντας.* V. 1. *εὐκλέας αἶα* Planudes, *εὐκλεᾶ γαῖα* cod. — V. 2. *Σπάρτης* cod., *Σπάρτας* Planud. — *βασιλεῦ* Planud., *βασιλεῖς* cod. — V. 4. *τ'* om. cod. Pal., inseruit Brunck ex Planud., ubi est *Μηδείων τ' ἀνδρῶν. δ. πόλεμον.*

Epigr. 98. Strabo IX. 425: *Ὁ δ' Ὀποῦς ἐστι μητρόπολις (Λοκρῶν), καθάπερ καὶ τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐπὶ τῇ πρώτῃ τῶν πέντε στηλῶν τῶν περὶ Θερμοπύλας ἐπιγεγραμμένον πρὸς τῷ πολυανδρίῳ· Τούσδε κτλ. Simonidi* tribuit Schneidewin. V. 1. *ποθεῖ* Meineke, vulgo *ποτε*. — V. 2. *εὐθυνόμων Ὀπόεις* Corae s, *εὐθυνόμων ὀπίοις* A (*θυνόμων ὀπίοις* a m. sec. ut gh, in marg. *κεύθει νομοπόεις*), l *κεύθει νομως ὀπόεις*, BK *κεύθει ὀπόεις*, no Ald. *κεύθει . . . ὀπουντία*, h a m. sec. *κεύθει ὁμοῦ ὀπόεις*, Schneidewin *κεύθει δλων Ὀπόεις*, Kramer *κεύθει ὁμῶς Ὀπόεις*, quae ferri non possunt, nam non sunt in patria humati.

Epigr. 99. Stob. Eclog. I. 230: *Ἐκ τῶν Σιμωνίδου Ἐπιγραμμάτων* codex Ursini: Heerenii libri in marg. *Λακώνων*. (Gaisfordii editione nunc non licet uti). V. 1. *οὐδενὸς* VAEH, vulgo *οὐδέν*. Fortasse ad *Elegias* potius pertinet.

Digitized by Google

100. [157.]

Ὦ ξεῖν', εὐῦδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς·
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυσάμεθα.

101. [158.]

Ἀχμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίας·
ὀστέα δ' ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.

102. [159.]

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

Epigr. 100. Dio Chrys. Or. XXXVII. 525: *Ἐν Σαλαμῖνι δ' ἠρίστευσαν (οἱ Κορίνθιοι) καὶ τῆς νίκης αἴτιοι κατέστησαν· Ἡροδότῳ γὰρ οὐ προσέχω, ἀλλὰ τῷ τάφῳ καὶ τῷ Σιμωνίδῃ, ὃς ἐπέγραψεν ἐπὶ τοῖς νεκροῖς τῶν Κορινθίων τεθαμμένοις ἐν Σαλαμῖνι· Ὦ ξένε κτλ.* Legitur omisso poetae nomine ap. Plutarch. de Herod. malig. c. 39. V. 1. *ὦ ξεῖν'* Brunck, B a m. pr. *ὦ ξεῖνε*, reliqui *ὦ ξένε*. — *εὐῦδρον*, Schneidewin *εὐανδρον* coni. — V. 2. *νῦν δ' ἄμμ' Αἴαντος* Valckenaer, Dio *νῦν δὲ μετ' Αἴαντος*, Plut. *νῦν δὲ ἀνάματος*. — *ἔχει*, M a pr. m. *ἔχε*. — V. 3. *ῥεῖα δὲ*, Plut. *ἐνθάδε*. — *νῆας*, ap. Dion. vulgo *ναῦς*, sed Br *νῆας*. — V. 4. *ῥυσάμεθα* scripsi, ap. Plut. *ῥυόμεθα*, Dio *ἰδρυσάμεθα*.

Epigr. 101. Plut. de Herod. malign. c. 29. affert v. 1. et 2: *Τὸ δ' ἐν Ἰσθμῷ κενοτάφιον ἐπιγραφὴν ἔχει ταύτην· Ἀχμᾶς κτλ.* Eosdem versus 1. 2. exhibent Schol. Aristid. Panath. III. 136. (s. p. n.) et Anthol. Pal. VII. 250: *Σιμωνίδου*. Integrum affert Aristid. II. 512. Alcaeo trib. Iriarte 91. V. 1. *Ἀχμᾶς ἑστακυῖαν*, Arist. *ἀκμῆς ἑστηκυῖαν*. — V. 2. *αὐτῶν* Sch. Arist., v. *αὑτῶν*. — V. 3—6. Schneidewin subditicios censet — V. 3. *δουλοσύνας*, Θ *δουλοσύνης*. — V. 4. *ναυμαχίας*, Θ *ναυμαχίης*. unde etiam reliquae ionicae formae ex errore ortae esse videntur. — V. 5. *ἄμμιν* Brunck, vulgo *ἡμῖν*.

Epigr. 102. Schol. Aristid. T. III. 155: *ἕτεροι τοῦ αὐτοῦ* (sed D *ἄλλα τοῦ αὐτοῦ Σιμωνίδου*) et versus 136. Anthol. Pal. VII. 257: *Ἄθηλον εἰς τοὺς Ἀθηναίους προμάχους*. Fortasse in illos, qui Plataeis occiderunt, vid. Pausan. IX. 2, 5: *τοῖς μὲν οὖν λοιποῖς ἐστὶν Ἕλλησι μνῆμα κοινόν, Λακεδαιμονίοις δὲ καὶ Ἀθηναίοις τοῖς πεσοῦσιν ἰδία τέ εἰσιν οἱ τάφοι καὶ ἐλεγεῖά ἐστι Σιμωνίδου γεγραμμένα ἐπ' αὐτοῖς*. V. 2. *δουλοσύνην* Plan. schol. l. post., *δουλοσύναν* l. priore et cod. Pal.

Digitized by Google

103. [160.]

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

* 104. [161.]

Ἀμφί τε Βυζάντειαν ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν, ἄνδρες ἀρηϊθόοι.

105. [165.]

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνός
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέας·
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι πεσεῖν.

106. [166.]

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.

107.

Ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν,

Epigr. 103. Plut. de Herodot. malign. c. 39: *Αὐτός γε μὴν ὁ Ἀδείμαντος, ᾧ πλεῖστα λοιδορούμενος Ἡρόδοτος διατελεῖ καὶ λέγων, μοῦνον ἀπαίρειν τῶν στρατηγῶν ὡς φευξόμενον ἀπ' Ἀρτεμισίου καὶ μὴ περιμενοῦντα, σκόπει τίνα δόξαν εἶχεν· Οὗτος κτλ.* Simonidis esse epigramma docet Anth. Pal. VII. 347: *Εἰς Ἀδείμαντον τὸν ὑπατικὸν Σιμωνίδου τοῦ Κήου* et Dio Chrisost. XXXVII. 526: *ἔστι δὲ καὶ ἕτερον ἐπίγραμμα Σιμωνίδη εἰς αὐτὸν τὸν στρατηγὸν ἐξαίρετον· οὗτος κτλ.* V. 1. *οὗ διὰ βουλὰς* Anth. et ap. Dion. BMm (r *οὗ διαβολάς*, v *οὗ διὰ βουλᾶς*), *ὃν διὰ πᾶσα* Plut. — V. 2. *ἐλευθερίας*, cod. Pal. *ἐλευθερίης*.

Epigr. 104. Aristid. II. 511. sine poetae n. affert sed una cum aliis Simonidis epigrammatis. V. 1. *Βυζάντειαν* scripsi, cf. Steph. Byz. *Βυζάντιον· . . . ἔστι καὶ ἐπὶ τῆς χώρας Βυζάντεια διὰ διφθόγγου*, Scaliger *Βυζάντειον*, vulgo *Βυζάντιον*. — *θάνον* Scaliger, vulgo *θάνατον*.

Epigr. 105. Anth. Pal. VII. 512: *τοῦ αὐτοῦ (Σιμωνίδου) εἰς τοὺς Ἕλληνας τοὺς τὴν Τέγεαν ἐλευθεροποιήσαντας.* V. 2. *Τεγέας* Schneidewin, vulgo *Τεγέης*.

Epigr. 106. Anth. Pal. VII. 442: *Σιμωνίδου εἰς τοὺς ἐν Τεγέᾳ πεσόντας ἀριστεῖς Ἀθηναίων.* V. 1. *μνησώμεθα*, Schneidewin *μνασώμεθα*. — V. 3. *αἰχμηταὶ*, Schneidewin *αἰχματαὶ*. — V. 4. Plan. *ἀποφθιμένοις κάρτος ἐλευθερίας* (Urs. .. *ίης*), Iacobs coni. *ἀπ' ἰφθίμου κρατὸς ἐλευθερίαν*.

Epigr. 107. Affert Aristid. II. 209: *ὥστε τοῖς προτέροις ἔργοις ἐκπεπληγμένων τῶν ποιητῶν τοῖς ὅτ' ἐπῆσαν οἱ βάρβαροι πραχθεῖσιν, ὅμως τις ὕμνησεν αὐτῶν εἰς ταῦτα ὕστερον, οὐ πάντα, ἀλλὰ μιᾶς τινος ἡμέρας ἔργα· ἐξ οὗ τ' κτλ.* et secundum distichon repetitur 210. *Simonidis* esse

Digitized by Google

καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας, μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσί, κράτει πολέμου.

108.

Οἵδε παρ' Εὐρυμέδοντά ποτ' ἀγλαὸν ὤλεσαν ἦβην
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

significat 513. ubi rursus integrum epigramma una cum aliis Simonidis carminibus affertur. Adde Schol. Aristid. III. 209: *εἰς τὰς αὐθημερὸν ταύτας νίκας Σιμωνίδης ὕμνησε λέγων ἐξ οὗ τ' κτλ.* Anth. Pal. VII. 296: *Σιμωνίδου τοῦ Κήου εἰς τοὺς μετὰ Κίμωνος στρατευσαμένους ἐν Κύπρῳ Ἀθηναίους, ὅτε τὰς ρ' ναῦς τῶν Φοινίκων ἔλαβον*, et Diod. Sic. XI. 62., qui dicit: *ὁ δὲ δῆμος τῶν Ἀθηναίων δεκάτην ἐξελόμενος ἐκ τῶν λαφύρων ἀνέθηκε τῷ θεῷ καὶ τὴν ἐπιγραφὴν ἐπὶ τὸ κατασκευασθὲν ἀνάθημα ἐπέγραψε τήνδε· Ἐξ οὗ γ' κτλ.* Denique Apostol. VII. 57. a *Σιμωνίδου* et sine p. nom. Arsen. 329. — Schneidewin et hoc epigramma et 108. et 109. a Simonide abiudicat, quippe qui non potuerit victorias ad Eurymedontem reportatas celebrare, at vide Krüger Histor. Stud. 52. et 64. seqq. V. 1. ad huius similitudinem compositum est epigr. Xanthi repertum, vid. Gerhard Archaeol. Zeit. 1844, 262: (*Ἐ*)*ξ οὗ τ' Εὐρώπην* (*Ἀ*)*σίας δίχα πόν*(*τ*)*ος ἔνε*(*ιμεν*) (*Ο*)*ὐδείς πω Λυκίων στήλην το*(*ι*)*άνδ' ἀνέθη*κ(*ε*)*ν.* V. *ἐξ οὗ τ'*, Anth. Diod. Arsen. *ἐξ οὗ γ'*. — *Εὐρώπην Ἀσίας*, Anth. *Εὐρώπαν Ἀσίης.* — *ἔνειμεν*, Aristid. eiusque schol. *ἔκρινεν.* — V. 2. *πόλιας*, Diod. *πόλεας* (codd. *πολέας*), Anth. *πόλεμον λαῶν.* — *ἐφέπει*, Diod. *ἐπέχει.* — V. 3. *οὐδενί*, Diod. *οὐδέν*, Anth. *οὐδαμά.* — *κάλλιον*, Anthol. cod. Pal. *καλλίων*, Diod. *τοιοῦτον.* — V. 4. *ὁμοῦ*, Anth. Diod. *ἅμα.* — V. 5. *οἵδε*, Schol. cod. A *εἰδὲ.* — *γαίῃ*, Anth. Diod. Ars. *Κύπρῳ* quod cur sit reiiciendum docet Krüger. — *ὀλέσαντες*, schol. cod. A *ὀλέσαντας*, ap. Diod. AHL *ἐλάσαντες.* — V. 6. *ἕλον*, ap. Arist. priore l. EN *εἷλον.* — V. 7. *ἔστενεν*, ap. Arist. priore l. E *ἔσταινεν*, L *ἔστεμεν*, ap. Schol. A *ἔσθενεν*, in Anthol. huius hemistichii nihil superest nisi *ἔστεν . . . .*, ap. Diod. H *δεσγενέασι; ὑπ' αὐτῷ*, F *δ' ἐς γενεὰς . . . ὑπ' αὐτῷ*, K *δ' ἐς γενεὰς ὑπ' αὐτῷ*. et *ὑπ' αὐτῷ* etiam AL. — V. 8. *ἀμφοτέραις χερσί*, ap. Arist. priore l. vulgo *ἀμφοτέρᾳ χειρί*, quod correctum ex ENL, in Anth. cod. Pal. *ἀμφοτέρας χερσί.* Hecker coni. *πληγαῖς ἀμφοτέραις, χερσικράτει πολέμῳ.* Ceterum non caret offensione, quod v. 5. pedestre proelium ante navale commemoratur, cum tamen contra res illae gestae sint, cf. Guil. Vischer de Cimone p. 24. seqq., nec tamen propterea cogitandum de pugna ad Salaminem Cypriam commissa, ibi quoque navale proelium prius quam pedestre commissum esse consentaneum est.

Epigr. 108. Authol. Pal. VII. 258: *Σιμωνίδου εἰς τοὺς μετὰ Κίμωνος ἐν Εὐρυμέδοντι ἀριστεύσαντας.* V. 1. *Εὐρυμέδοντα* cod. Pal., *Εὐρυμέδοντι* Plan. — *ἀγλαὸν* Plan., *ἀγλαὰν* cod. P. — *ἦβην*, cod. P supra *ἥβαν.* — V. 3. *αἰχμηταί* Plan., *αἰχμηταῖς* cod. Pal. Simonidi Krüger abiudicat.

Digitized by Google

109.

Τῶνδε ποτὲ στέρνοισι τανυγλώχινας ὀϊστούς
λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψακάδι,
ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνημεῖα θανόντων
ἄψυχ' ἐμψύχων ἅδε κέκευθε κόνις.

110. [167.]

Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἆμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα·
τοὶ μὲν ὑπ' Εὐβοίας ἄκρῳ πάγῳ, ἔνθα καλεῖται
ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος·
τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔμπροσθεν Σαλαμῖνος,
(νηῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρην,)
τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν
χεῖρας ἐπ' ἀνθρώπους ἱπποµάχους ἱέναι.
ἀστοὶ δὲ (μνᾶμ') ἄμμι τόδε γέρας ὀμφαλῷ ἀμφὶ
Νισαίων ἔπορον δαμοδόκων ἀγόρων.

Epigr. 109. Anthol. Pal. VII. 443: *Τοῦ αὐτοῦ (Σιμωνίδου) εἰς τοὺς πεσόντας παρ' Εὐρυμέδοντα ποταμὸν Ἕλληνας.* V. 1. *ποτὲ*, Meineke coni. *ποτ' ἐν.* — *τανυγλώχινας* Iacobs, vulgo *τανυγλωχῖνας.* — V. 2. *ψακάδι* cod. Pal., *ψεκάδι* Brunck. — V. 4. subditicium censet Iacobs. Conieci *ἔμψυχ' ἀψύχων*, Meineke *ἄψυχ' εὐψύχων*, Hecker *ἄψυχ' ἐμιψυχῶντ'.*

Epigr. 110. Boeckh. Corp. Inscr. I. 1051: *Τὸ ἐπίγραμμα τῶν ἐν τῷ Περσικῷ πολέμῳ ἀποθανόντων καὶ κειμένων ἐνταῦθα ἡρώων· ἀπολόμενον δὲ τῷ χρόνῳ Ἑλλάδιος ὁ ἀρχιερεὺς ἐπ[εσκεύασε]. . . . . Σιμωνίδης. Ἑλλάδι κτλ. Μέχρις ἐφ' ἡμῶν δὲ ἡ πόλις καὶ ταῦρον ἐνήγιζεν.* Respicere videtur hoc monumentum Pausan. I. 43, 3: *εἰσὶ δὲ τάφοι Μεγαρεῦσιν ἐν τῇ πόλει· καὶ τὸν μὲν τοῖς ἀποθανοῦσιν ἐποίησαν κατὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου.* V. 1. *Ἑλλάδι*, lapis *ΚΑΛΑΔΙ.* — *ἀέξειν*, l. *ΑΕΞΙΝ.* — V. 2. *ἱέμενοι*, l. *ΠΕΜΕΝΟΙ.* — *μοῖραν ἐδεξάμεθα*, l. *ΙΟΙΡΑΝΕΔΕΞΑΜΘΟΑΜΕ.* — V. 3. *Εὐβοίας ἄκρῳ πάγῳ* scripsi, l. *ΕΥΡΟΙΑΚΙΠΑΧΩ*, Boeckh *Εὐβοίᾳ ναυσικλύτῳ*, Schneidewin partim ex Emperii coni. *Εὐβοίας ἁλίῳ πάγῳ.* — *καλεῖται*, l. *ΚΑΛΕΙΤΕ.* — V. 4. *ἁγνᾶς*, l. *ΕΑΓΝΑΕ*, id est *Ἁγνᾶς.* — *τοξοφόρου*, l. *ΤΟΞΟΦΟΙΟΥ.* — V. 5. *ὄρει Μυκάλας*, l. *ΟΡΙΜΟΙΚΑΛΑΑΣ.* — *ἔμπροσθεν Σαλαμῖνος*, l. *ΕΝΙΠΡΟΣΘΕΣΑΛΑΑΜΕΙΝΟΣ.* — V. 6. vel a lapicida vel a Fourmontio omissum supplevit Boeckh. — V. 7. *πεδίῳ*, l. *ΠΑΙΔΙΩ* et deinde *ΒΟΙΟΣΤ.Ω.* — V. 8. *ἱέναι*, l. *ΙΕΝΕ.* Conieci *ἰέναι ἱπποµάχους.* — V. 9. *ἀστοὶ δὲ μνᾶμ' ἄμμι* scripsi, l. *ΑΣΤΟΙΔΕΑΜΜΙ.* — *γέρας*, in proecdosi scripsi *κτέρας*, quod etiam Ahrens coniecit; sed conf. Epigr. Atticum ap. Rangabe Antiq. Hell. 25: *Σῆμα τόδε Κύλων παίδοιν ἐπέθηκε θανόντοιν Μνῆμα φιλημοσύνης.* — *ὀμφαλῷ ἀμφί*, l. *ΟΜΦΑΛΩΑΑΦΙΙ.* — V. 10. *Νισαίων ἔπορον δαμοδόκων ἀγόρων* scripsi, l. *ΝΕΙΣΕΟΝΕΣΤΟΡΟΝΑΜΟΔΟΚΩΝΓΛΟΡΩ.* Boeckh coni. *ἀστοὶ δ' ἄμμι πόρον γέρας ὀμφαλῷ ἀμφὶ πόληος Νικέων ἡμετέρων ἀλλοδαπῶν παρ' ὄρων*, Schneidewin *ἀστοὶ δ' ἄμμι τόδε γ. ὀ. ἀμφὶ πόληος Νισαίων ἔπορον λαοδόκῳ ἀγορᾷ.*

Digitized by Google

111.

Χαίρετ' ἀριστῆες πολέμου μέγα κῦδος ἔχοντες
κοῦροι Ἀθηναίων ἔξοχοι ἱπποσύνῃ,
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην
πλείστοις Ἑλλάνων ἀντία μαρνάμενοι.

112. [168.]

Τούσδε ποτ' ἐκ Σπάρτας ἀκροθίνια Φοίβῳ ἄγοντας
ἓν πέλαγος, μία νύξ, εἷς τάφος ἐκτέρισεν.

113. [169.]

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ', ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς·
ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμόν, οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

114. [170.]

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ

Epigr. 111. Anth. Pal. VII. 254: *Σιμωνίδου εἰς τοὺς Ἀθηναίων προμάχους.* Simonidi tribuitur etiam ap. Iriarte p. 94. — V. 4. *Ἑλλάνων*, Schneidewin *Ἑλλήνων*. — *μαρνάμενοι* cod. P in m. (et Plan.), in textu *μαχόμενοι*. — Schneidewin praeeunte Opsopoeo Simonidi abiudicat epigramma, quod ad bellum Peloponnesium referendum esse censet. Sed fortasse ad bellum ab Atheniensibus contra Boeotos et Chalcidenses gestum pertinet.

Epigr. 112. Anth. Pal. VII. 270: *Σιμωνίδου εἰς τοὺς ἀπὸ Σπάρτης ναναγήσαντας* et rursus aliter inscriptum: *Σιμωνίδου εἰς ναυηγοὺς τοὺς ἐν Τυρρηνίᾳ ναναγήσαντας.* V. 1. altero loco *τοὺς δ' ἀπὸ Τυρρηνῶν.* — *ἀκροθίνια* Plan., *ἀκροθήνια* cod. Pal. — *Φοίβῳ ἄγοντας*, cod. P altero l. *Φοῖβ' ἀγαγόντας.* — V. 2. *νύξ* ut videtur cod. P, vulgo *ναῦς.* — *εἷς τάφος*, cod. P altero l. Plan. *ἓν σκάφος.*

Epigr. 113. Anth. Pal. VII. 344: *Σιμωνίδου εἰς Λέοντά τινα, ὃν ἐφεύρει λέων μαρμάρινος. Θηρῶν . . . ἐμβεβαώς* (V. 1. 2.) hos versus solos Simonidis esse censet Schneidewin et ad Leonidae tumulum retulit, cf. Herod. VII. 225: *Ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐξόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκεν ἐπὶ Λεωνίδῃ.* at recte videntur Huetius et Iacobs adiunxisse alterum distichon, quod legitur in eadem codicis pagina post VII. 350. cum hoc lemmate: *εἰς Λέοντά τινα, ὃν λέων ἐπὶ τοῦ λάρνακος ἔσκεπε λίθινος.* Et continuo se excipiunt haec disticha ap. Plan. et Iriart. 94. (ap. Plan. secundo disticho praemissum *ἄδηλον*). — V. 3. *ἐμόν*, *οὔνομά τ'*, Plan. *ὡς ὄνομ'.*

Epigr. 114. Thuc. VI. 59: *Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖος ὢν Λαμψακηνῷ ἔδωκεν* (*Ἱππίας*), *αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Λαρείῳ δύνασθαι· καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε· Ἀνδρὸς κτλ.* Simonidis esse docet Aristotel. Rhetor. 1, 9. qui v. 3. affert: *Καὶ τὸ τοῦ Σιμωνίδου· ἢ πατρὸς κτλ.* Schol. ad h. l. ap. Cramer An. Par. I. 267, 26: *ἔνιοι ἔφασαν ὡς τῆς Ἐπάβης ταῦτα· ἡ π. τε καὶ ἀ. οὖσα ἀδελφῶν τε τυράννων Δυσδαίμων γενόμαν πασῶν οἰκτροτάτη.*

Digitized by Google

Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

115. [172.]

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχεναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὰν ἄκοιτιν·
Ξανθίππην, Περιάνδρου ἀπέκγονον, ὅς ποθ' ὑψιπύργου
σήμαινε λαοῖς τέρμ' ἔχων Κορίνθου.

116. [173.]

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
οἰκτείρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.

117. [61.]

Φῆ τότε Πρωτόμαχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήξεις
οὔτ' ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.

118. [62.]

Αἰαῖ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατῇ παρ νεότητι μένειν·
ἣ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

inepte ut nihil supra. V. 3. et 4. affert Isidor. Pelus. Ep. III. 224: *Ἀρχεδίκη, πατρός, ἀνδρὸς κτλ.* V. 2. *Ἀρχεδίκην*, A *ἀρχεδίκης*. — *κέκευθε*, K *κεύθει*. — V. 3. *τ'* om. i. — V. 4. E *νοῦν ἐασαστὰσθαλίην*.

Epigr. 115. Anth. Pal. XIII. 26: *Σιμωνίδου*. V. 4. *τέρμ'*, Salmasius *ἔρμ'* coni.

Epigr. 116. Anth. Pal. VII. 511: *τοῦ αὐτοῦ (Σιμωνίδου) εἰς Μεγακλέα*. Elegiae particulam esse censet Schneidewin. V. 1. *Μεγακλέος*, cod. P *μέγα κλέος*.

Epigr. 117. Anth. Pal. VII. 513: *τοῦ αὐτοῦ (Σιμωνίδου) εἰς πρόμαχον υἱὸν τιμάνορος*, cf. Iriarte 96. V. 1. *τότε* Val. Franke, vulgo *ποτε*. — *Πρωτόμαχος* Hecker, cod. P *πρόμαχος*, Plan. *Τίμαρχος*. — *περὶ*, Hermann coni. *χερὶ*. — V. 2. *ἀφ'*, Plan. edd. *ἀμφ'*. — V. 3. *λήξεις* scripsi, vulgo *λήσῃ*.

τ

Epigr. 118. Anth. Pal. VII. 515: *Σιμωνίδου εἰς τίμαρχον νεωὶ ἐν νόσωι τελευτήσαντα*, cf. Iriarte 96. V. 1. *Αἰαῖ*, vulgo *αἰ αἴ*. — V. 2. *ἐρατῇ* Iacobs, *ἐρατῇ* Plan., *ἀρετᾶι* cod. Pal. — V. 3. *ἣ καὶ* Plan., *ἣ καὶ* cod. P. — V. 4. *κουριδίην*, Plan. *κουριδίαν*. Ceterum Val. Franke hoc epigramma pariter atque ep. 117. reliquias elegiae esse coniecit, ita ut ep. 118. fuerit exordium, deinde subsecutum sit compluribus distichis interiectis, quae omissa sint, ep. 117.

Digitized by Google

119. [63.]

Ὕστατα δὴ τάδ' ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα·
Ἄνθι μένοις παρὰ πατρί, τέκος δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλην, σῷ πολιῷ γήραϊ καδεμόνα.

120. [64.]

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελεν Ἴστρον
τῆλε καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἴδμα θαλάσσης
ἄγκεα νειφομένας ἀμφὶ Μεθουριάδος·
νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς, οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

Epigr. 119. Anth. Pal. VII. 647: *Σιμωνίδου, οἱ δὲ Σιμμίου, εἰς γοργώ τινα κόρην τελευτ.* Ap. Planud. *Samii* est. *Simmiae* nomen ut praeferendum videatur (id quod Brunckio iam placuit et Meinekio) non tam suadet id, quod Simmias Rhodius peculiare carmen, cui *Γοργώ* fuit nomen, scripsit, sed magis quod epigrammata huic in Anthologia vicina Simmiam auctorem commendant. Accedit id, quod hoc epigramma (nam est epigramma, neque vero elegiae pars, ut Schneidewin censet) tum demum satis intelligi potest, si statuamus in monumento sepulcrali filiae matri valedicentis imaginem insculptam fuisse, cuiusmodi anaglypha an iam antiqua Graecorum ars noverit, valde dubito. Atque eadem conditio videtur etiam epigr. 117. esse, ut etiam hoc epigramma cum iis quae subsequuntur in suspicionem vocari possit: nam fortasse in Anth. Pal. post VII. 512. (hoc est Simonidis epigr. 105.) excidit alius recentioris poetae epigramma, ut iam huic ignoto poetae tribuenda sint epigrammata Anth. Pal. VII. 513—16., hoc est Simon. Ep. 117. 123. 118. 132. V. 1. *δὴ* om. cod. P. — *ποτὶ* Pl., *ποτὲ* cod. P. — V. 2. *ἐφαπτομένα*, Iacobs *ἐφαπτομένη*. — V. 3. *μοίρᾳ*, Schneidewin *μοίρῃ*. — V. 4. *καδεμόνα* nonnullae edd. Plan., *καδεμόναν* aliae, *καδεμόναν* cod. P.

Epigr. 120. Anth. Pal. VII. 496: *Σιμωνίδου εἰς τινὰ ναυηγὸν ἐν γερανείᾳ καὶ ταῖς σκιρωνίσι πέτραις ναυαγήσαντα.* V. 1. *ὤφελεν*, Salmasius *ὤφελες*. — *Ἴστρον*, cod. P supra *ἴστρου*. — V. 2. *ἐκ*, Heringa coni. *ἐν*. — V. 3. *μηδὲ*, cod. P *μὴ δὲ*. — V. 4. *ἄγκεα* Salmasius, cod. P *ἀγνέα*. — *νειφομένας*, Iacobs *νιφομένης*. — *Μεθουριάδος*, cod. P *μὲ θουριάδος*, Hemsterhuys *Μολουριάδος*. Cf. Müller Dor. II. 432. E. Curtius Peloponn. I. 26. Plin. Hist. N. IV. 57. insulas Methurides recenset, nisi forte *Methydrides* illae vocatae sunt. — V. 5. quod nomen defuncti non commemoratum est, Val. Franke et Schneidewin elegiae fragmentum esse censent; at integrum est epigramma; nomen defuncti, ut saepius fieri solet, non fuit carmine comprehensum, sed extra versus adiectum. Simonidi tamen an recte hoc carmen tribuatur ambigi potest, minime tamen audiendus (quamquam probavit Schneidewin) Hecker, qui v. 5. et 6. subditicios censet, et in eorum locum substituit Callimachi epigramma Anth. VII. 271., ut iam totum hoc carmen Callimachi sit:

Ἠερίη Γεράνει', κακὸν λέπας, ὤφελες Ἴστρον
τῆλε καὶ ἐν Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἴδμα θαλάσσης
ἄγκεα νειφομένης ἀμφὶ Μολουριάδος,

Digitized by Google

121. [174.]

Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

122. [175.]

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
Κλεισθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου
πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες οὐδ' ἶκευ Χίον ἐς ἀμφιρύτην.

123. [176.]

Αἰδὼς καὶ Κλεόδημον ἐπὶ προχοῇσι Θεαίρου
ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον
θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννόν
Λιφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.

124. [177.]

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε πόλη.

125. [178.]

Χαίρει τις, Θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν.
νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

Epigr. 121. Anth. Pal. VII. 509: *τοῦ αὐτοῦ* (*Σιμωνίδου*) *εἰς Θέογνιν τὸν Σινωπέα.* V. 1. *Σινωπέος* cod., vulgo *Σινωπέως.*

Epigr. 122. Anth. Pal. VII. 510: *τοῦ αὐτοῦ* (*Σιμωνίδου*) *εἰς Κλεισθένην ναυηγὸν Χῖον.* V. 1. *σῶμα* Plan. et Iriarte 95., *σῆμα* cod. Pal. — V. 2. *μοῖρ'*, Plan. *κήρ.* — V. 4. *Χίον*, vulgo *Χῖον*, in proecdosi *οὐδὲ Χίον ἶκευ* scripsi, Schneidewin *οὐδ' ἵκεις ἐς Χίον*, fort. *οὐδ' ἶκευ πατρίδ' ἐς.* — *ἐς* Plan., cod. Pal. *ἐπ'*.

Epigr. 123. Anth. Pal. VII. 514: *Σιμωνίδου· εἰς Κλεόδημον ὑπὸ Θρᾳκῶν ἀναιρεθέντα καὶ Κλέεννον Λιφίλου υἱόν.* V. 1. *αἰδὼς*, cod. *αἰδῶς.* — *Κλεόδημον*, Reiske *Κλεόδαμον.* — V. 3. *κλεεννόν*, cod. *κλέεννόν*, Reiske *κλεεινόν.*

Epigr. 124. Anth. Pal. VII. 302: *Σιμωνίδου εἰς Νικόδικον.* V. 1. *αὐτοῦ* cod., *αὑτοῦ* Plan. — V. 2. *πόλη* cod. Pal. a m. pr., *πολλή* a m. sec., *πλάει* Plan., *ποθεῖ* coni. Schneidewin, *Πόλαι* Iacobs. Coniicio: *Νικοδίκου* (hoc etiam Salmasius) *δὲ φίλοι καὶ πόλις ἥδ' ἐχάρη.* ut sit epigramma ad *Paegnia* potius referendum.

Epigr. 125. Anth. Pal. X. 105: *Σιμωνίδου.* ap. Plan. est *ἄδηλον.*

Digitized by Google

126. [179.]

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθεν
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν·
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
ἀθάνατον θνητοῖς παισὶ χαριζόμενος.

127. [180.]

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον· ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός·
οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

128. [209.]

Ἀργεῖος Λάνδης σταδιοδρόμος ἐνθάδε κεῖται
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκ' ἐν Νεμέᾳ,
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

129. [181.]

Σᾶμα τόδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.

Epigr. 126. Anth. Pal. VII. 300: *Σιμωνίδου εἰς Πυθώνακτα τὸν ἀδελφὸν αὐτοῦ.* V. 1. *κασίγνητόν τε* cod. Pal. in marg., *κασιγνήτῃ τε* (a pr. m. *κασιγνητε*) cod. et Plan. — *κέκευθε* cod. Pal. in marg., vulgo *κεκεύθει.* — V. 3. *Μεγάριστος* Grotius, cod. *μέγ' ἄριστος*; Plan. *μέγ' ἄριστον.* — V. 4. *χαριζόμενος* Pal. cod. supra, *χαριζόμενον* in textu.

Epigr. 127. Anth. Pal. VII. 507: *Εἰς Γόργιππον ἐπιτύμβιον Σιμωνίδου.* Planudes, qui prius tantum distichon exhibet, *Alexandro* tribuit. V. 1. *λεύσσεις*, cod. P *λεύσεις.* — V. 2. vulgo post *χερνήτεω* interpungitur. — V. 3. *ἐπιδὼν*, cod. P a m. s. *ἐπίδον.* — V. 4. *θάλαμον*, cod. P *θαλαμος.*

Epigr. 128. Anth. Pal. XIII. 14: *Σιμωνίδου.* V. 1. Pal. *δάνδις σταδιαδρόμος*, posterius fortasse non reiiciendum. — *Ὀλυμπίᾳ* Schaefer. vulgo *Ὀλύμπια.* Cum de una tantum Olympica victoria constet, conieci aliquando *Ὀλυμπιάνδις*, ut haec dorica forma (Bekk. An. III. 1303.) non tantum *Ὀλυμπίαζε* sed etiam *Ὀλυμπίᾳ* significaverit. — V. 4. *Ἰσθμοῖ*, cod. Pal. *ἰσθμοί*, conieci *Ἰσθμῷ*, itaque Meineke. — *Νεμέᾳ*, cod. Pal. *νεμαία*, Schaefer coni. *πεντεκαίδεκα Νεμέᾳ*, Schneidewin *ἐκ Νεμέας.* — V. 5. *ἀριθμῆσαι*, Simonides fort. *ἀμιθρῆσαι* scripsit, vid. Fr. 228., quod etiam Nauck coni.

Epigr. 129. Anth. Pal. VII. 177: *Σιμωνίδου.* — *Σπίνθηρι*, cod. P *σπινθῆρι.*

Digitized by Google

130. [182.]

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,
οὐ κατὰ τοῦτ' ἐλθών, ἀλλὰ κατ' ἐμπορίαν.

131. [183.]

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.

132. [184.]

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ Ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες ὄναιντο βίου.

133. [185.]

Ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἄγρωσσα Λυκάς·
τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον ἄ τ' ἀρίδηλος
Ὄσσα, Κιθαιρώνός τ' οἰονόμοι σκοπιαί.

Epigr. 130. Cod. Pal. ap. Iacobs. Not. Crit. Anth. Pal. VII. 254: *Ἐπὶ Βρόταχον Σιμωνίδου.* et in fine *τοῦτο δισσῶς κεῖται.* V. 2. *ἐμπορίαν* Schneidewin, cod. *ἐμπορίην.*

Epigr. 131. Anth. Pal. VII. 77: *Εἰς Σιμωνίδην· Σιμωνίδου.* ibidem haec in marg. leguntur: *Σιμωνίδης εὑρὼν νεκρὸν ἐν νήσῳ τινὶ θάψας ἐπέγραψεν· οἱ μὲν ἐμὲ* (Epigr. 132.) *ὁ ταφεὶς νεκρὸς ἐπιφανεὶς τῷ Σιμωνίδῃ ἐκώλυσε πλεῖν· διὸ τῶν συμπλεόντων μὴ πεισθέντων, αὐτὸς μείνας σώζεται, καὶ ἐπιγράφει τόδε τὸ ἐλεγεῖον τῷ τάφῳ· οὗτος ὁ τοῦ Κείοιο κτλ.* Legitur etiam ap. Sch. Aristid. III. 533. et Tzetz. Chil. I. 632. Aristidis locus Panath. II. 215: *Καίτοι τοῦτό ἐστιν ἐγγυτέρω θρήνου τινὸς ἢ μέμψεως καὶ τιμῶντος μᾶλλον ἢ κακίζοντος, ὥςπερ οὗς Σιμωνίδης εἰώθει τιμᾶν ἐν τοῖς ἐπιγράμμασιν* nihil ad rem videtur pertinere. V. 1. *Κείοιο* Anthol., ceteri *Κείου* (*Κίου*). — *Σιμωνίδεω*, Anth. *Σιμωνίδου.* — V. 2. *τεθνηὼς*, Anth. *τεθνηκὼς* et *τεθνειὼς* (sic Tzetz). — *ζῶντι παρέσχε, ζῶντ' ἀπέδωκε* Anth. Ceterum cf. Liban. IV. 1101. ed. Reisk. Cic. de Divin. I. 27. II. 65. Valer. Max. I. 7, 3.

Epigr. 132. Anthol. Pal. VII. 77. et 516., ubi *τοῦ αὐτοῦ* (*Σιμωνίδου*) *εἰς τινὰ ὑπὸ λῃστῶν ἀναιρεθέντα.* V. 2. *βίου* cod. P a m. sec., *βίον* a m. pr.

Epigr. 133. Pollux V. 47: *Ἔνδοξον δὲ καὶ Λυκάδα τὴν Θετταλὴν Σιμωνίδης ἐποίησε, γράψας τουτὶ τοὐπίγραμμα ἐπὶ τῷ τάφῳ τῆς κυνός· Ἦ σεῦ κτλ.* V. 1. *ἦ σεῦ* Stephanus, vulgo *ἧς αὖ.* — *λεύκ' ὀστέα τῷδ'* Stephanus (et sic Bekker ex libris, ut videtur), vulgo *λευκοστεάτῳ.* — V. 2. *ἄγρωσσα* libri, *ἀγρῶστι* Schneider. — V. 3. *Πήλιον*, *Πάλιον* Schneidewin. — *ἀρίδηλος* Bekker, *ἀρίδαλος* vulgo.

Digitized by Google

ΑΝΑΘΗΜΑΤΙΚΑ.

134. [187.]

Ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ' ἡνίκ' Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

135. [188.]

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἔθεσαν.

136. [189.]

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Ἀθηναίων στίσατο Μιλτιάδης.

137. [190.]

Ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ' ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας.

Ἀναθηματικά. Epigr. 134. Hephaest. 26: *Πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν, ὅθεν ἐπίληπτά ἐστι τὰ τοιαῦτα Σιμωνίδου ἐκ τῶν Ἐπιγραμμάτων. Ἦ κτλ.* Cf. Eust. 984, 8. V. 1. *φόως* om. Fl. BHC.

Epigr. 135. Herod. V. 77: *Τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χερὸς ἔστηκε πρῶτον ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλι· ἐπιγέγραπται δέ οἱ τάδε· Ἔθνεα κτλ.* Simonidis esse docet Aristid. II. 512. qui una cum aliis Simonidis epigrammatis inprimis post ep. 107. affert: *καὶ πρό γε τούτων· Ἔθνεα ... παῖδες Ἀθηναίων. οἶμαι λέγει τὸ ἐπίγραμμα καὶ πολλὰ ἕτερα· νὴ Δί' ἀλλὰ ταῦτα Ἀττικὰ καὶ θερμότερα.* cf. de re etiam Schol. Aristid. III. 115. ed. Dindorf (Schol. Aristid. ed. Frommel 351. exhibet: *οὕτως Ἄγρων ἐν ἐπιγράμμασιν ἐπὶ τῷ τεθρίππῳ*). Integrum epigramma affert etiam Diodor. Excerpt. Vatic. T. III. 40. et Anth. Pal. VI. 343. ubi inscribitur *ἄδηλον Ἡροδότου.* Cf. Pausan. I. 28, 2. Himer. Or. II. 12. V. 2. *ἔργμασιν*, ap. Herod. b *ἔρμασιν.* — *ἐν πολέμου*, Anth. cod. Pal. *ἐκ πολέμου*, Diod. *ἐν πολέμῳ*, ap. Herod. *ἐκ πολέμου* Fb, *ἐν πολέμῳ* d. — V. 3. *ἀχλυόεντι*, Anth. cod. Pal. *ἀχνυνθέντι*, et sic ap. Herod. MK, *ἀχνυθέντι* Fb, Hecker coni. *ἀχνυόεντι.* — *ἔσβεσαν*, cod. Pal. Anth. *ἔσβεσεν.* — V. 4. *τῶν*, Diod. *ὧν.* — *ἔθεσαν*, ap. Herod. S *ἀνέθεσαν*, unde Schneidewin *ἀνέθεν.*

Epigr. 136. Anthol. Planud. 232: *Σιμωνίδου.*

Epigr. 137. Plut. de Herod. malign. c. 39: *Διοδώρου δέ τινος τῶν Κορινθίων τριηραρχῶν ἐν ἱερῷ Λητοῦς ἀναθήμασι κειμένοις καὶ τοῖτο ἐπιγέγραπται· Ταῦτ' κτλ.* Anthol. Pal. VI. 215: *Σιμωνίδου· ἀνάθημε τῇ Λητοῖ παρὰ ναυτῶν. δυσμενέων*, cod. Pal. *δυσαμένων.* — V. 2. *ἀνέθεν* Blomfield, Boeckh, Dobree, vulgo *ἀνέθεντο.* — *ναυμαχίας*, Plut. *ναυμαχίης.*

Digitized by Google

* 138. [192.]

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι,

139. [193.]

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε παρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει·
πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ὑπὸ χεῖρα
ῥύσατο βαρβαρικὴν Δωρίδ' ἁλισκομένην.

140. [194.]

Αἴδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν

Epigr. 138. Plut. de Herodot. malign. c. 34: *Εἶτα πιστεύειν ἄξιον τούτῳ γράφοντι περὶ ἀνδρὸς ἢ πόλεως μιᾶς, ὃς ἑνὶ ῥήματι τὸ νίκημα τῆς Ἑλλάδος ἀφαιρεῖται καὶ τὸ τρόπαιον καθαιρεῖ καὶ τὰς ἐπιγραφάς, ἃς ἔθεντο παρὰ τῇ Ἀρτέμιδι τῇ Προσηώῳ, κόμπον ἀποφαίνει καὶ ἀλαζονείαν; ἔχει δὲ οὕτω τὸ ἐπίγραμμα· Παντοδαπῶν κτλ.* Idem affert vit. Themistocl. c. 9. unde v. 1. *Ἀσίης* et v. 3. *ναυμαχίῃ* restitui, priore loco *Ἀσίας* et *ναυμαχίᾳ*. Simonidi vindicavit Schneidewin.

Epigr. 139. Plut. de Herod. malign. c. 36: *Τὸ Δημοκρίτου κατόρθωμα καὶ τὴν ἀριστείαν, ἣν ἐπιγράμματι Σιμωνίδης ἐδήλωσε· Δημόκριτος κτλ.* Videtur pars tantum epigrammatis esse, in quo Naxiorum laudes extulerat poeta, dubiumque omnino, an ad hanc classem referendum sit. V. 3. *χεῖρα*, TVB *χειρός*. — V. 4. *βαρβαρικὴν*, TVB *βαρβαρικῆς*. Reiske coni. *ἀπὸ* (Schneidewin *ὑπὸ*) *χειρῶν ῥύσατο βαρβαρικῶν*.

Epigr. 140. Athen. XIII. 573. C: *Νόμιμόν ἐστιν ἀρχαῖον ἐν Κορίνθῳ, ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν τῷ περὶ Πινδάρου, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν τὰς ἑταίρας ὡς πλείστας καὶ ταύτας προσεύχεσθαι τῇ θεῷ καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι. Καὶ ὅτε δὴ ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, ὡς καὶ Θεόπομπος ἱστορεῖ καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ, αἱ Κορίνθιαι ἑταῖραι ηὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών· διὸ καὶ Σιμωνίδης ἀναθέντων τῶν Κορινθίων πίνακα τῇ θεῷ τὸν ἔτι καὶ νῦν διαμένοντα καὶ τὰς ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε ποιησαμένας τὴν ἱκετείαν καὶ ὕστερον παρούσας* (videtur *συνθύειν* excidisse, nisi *παρεῖναι* scribere malis) *συνέθηκε τόδε τὸ ἐπίγραμμα· Αἴδ' κτλ.* Idem epigr. affert Sch. Pind. Ol. XIII. 32: *Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν (Κορινθίων) εὔξασθαι τῇ Ἀφροδίτῃ ἔρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν μάχεσθαι ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν τῆς Ἀφροδίτης . . . εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι εἰς τὸν ναὸν τῆς ἀριστερᾶς χειρός· Αἴδ' κτλ.* Plut. de Herodot. malign. 39: *καὶ μὴν ὅτι μόναι τῶν Ἑλληνίδων αἱ Κορίνθιαι γυναῖκες εὔξαντο τὴν καλὴν ἐκείνην καὶ δαιμόνιον εὐχήν, ἔρωτα τοῖς ἀνδράσι τῆς πρὸς τοὺς βαρβάρους μάχης ἐμβαλεῖν τὴν θεόν, οὐχ ὅπως τοὺς περὶ τὸν Ἡρόδοτον ἀγνοῆσαι πιθανὸν ἦν, ἀλλ' οὐδὲ τὸν ἔσχατον Καρῶν· διεβοήθη γὰρ τὸ πρᾶγμα, καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα, χαλκῶν εἰκόνων ἀναστηθεισῶν ἐν τῷ ναῷ τῆς Ἀφροδίτης . . . τὸ δ' ἐπίγραμμα τοῦτό ἐστιν· Αἴδ' κτλ.* adde Iriarte Codd. Mat. 263., ubi *Ἀριστοτέλους* inscribitur, cuius

Digitized by Google

ἐστάθεν εὐξάμεναι Κύπριδι δαιμονίᾳ·
οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

* 141. [195.]

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν,
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

142. [196.]

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
παῖδας Δεινομένευς, τὸν τρίποδ' ἀνθέμεναι,
ἓξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαμαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν,

lectiones cum schol. Pind. consentiunt. Sed quamquam omnes iisdem auctoribus usi sunt, tanta tamen est dissensio, ut lectio certo constitui nequeat: nam utrum Corinthiorum uxores an meretrices intelligendae sint, incertum: pariter ambiguum, quale fuerit donarium: Plutarchi tamen lectiones maxime secutus sum. Ceterum suspicor epigramma non integrum servatum esse, videtur enim iam antiquitus in Theopompi sive Timaei codicibus post v. 2. distichon excidisse, quo Simonides ipsas mulierum preces accuratius significaverat: et sic demum v. 3. et 4. habent, quo referantur, nec iam displicet repetitum *δῖ' Ἀφροδίτη*. V. 1. *Ἑλλάνων*, Ath. *Ἑλλήνων*. — *ἐθυμάχων*, Ath. *εὐθυμάχων* (P *ἐθυμάχων*), Schol. *ἀγχεμάχων* (Vrat. D *ἐγχεμ.*). — V. 2. *ἐστάθεν* scripsi, Plut. *ἔσταθεν*, Ath. *ἔσταθεν*, Schol. *ἔστασαν*. — *εὐξάμεναι* Plut., *εὐχόμεναι* Schol., *εὔχεσθαι* Ath. (B *εὔχεσθε*). — *δαιμονίᾳ*, Plut. *δαιμόνιαι*, Lobeck *δαμοσίᾳ*, Hecker *καδεμόνι*. Conieci aliquando *δαμόσιαι*, ut aperte meretrices significentur, sed videtur *δαιμονίᾳ* adverbium esse (nisi *δαιμόνια* malis) idque etiam Plutarchi locus confirmare videtur. — V. 3. *ἐμήδετο* Plut., *ἐμήσατο* Schol., *ἐβούλετο* Ath. — *δῖ' Ἀφροδίτα*, ap. Schol. Vrat. D *δῖα θεοῖσιν Ἀφρ.* unde Boeckh coni. *δῖα θεάων*. — V. 4. *Μήδοις*, Ath. *Πέρσαις*. — *προδόμεν*, Schol. *δόμεναι*.

Epigr. 141. Diod. Sic. XI. 33: *Οἱ δὲ Ἕλληνες ἐκ τῶν λαφύρων δεκάτην ἐξελόμενοι κατεσκεύασαν χρυσοῦν τρίποδα καὶ ἀνέθηκαν εἰς Δελφούς, ἐπιγράψαντες ἐλεγεῖον τόδε· Ἑλλάδος κτλ.* Adde Arsen. 118. Simonidi tribuit Schneidewin. V. 1. *εὐρυχόρου*, FL *εὐρυχώρου*. — V. 2. *δουλοσύνης*. Ars. *δουλοσύνας*.

Epigr. 142. Schol. Pind. Pyth. I. 155: *Φασὶ δὲ τὸν Γέλωνα τοὺς ἀδελφοὺς φιλοφρονούμενον ἀναθεῖναι τῷ θεῷ χρυσοῦς τρίποδας, ἐπιγράψαντα ταῦτα· Φημὶ κτλ* ubi medio disticho omisso leguntur v. 1. 2. 5. 6. *Simonidis* epigramma esse ostendit Anthol. Pal. VI. 214: *Ἀνάθημα τοῦ αὐτοῦ Σιμωνίδου*. ubi item omissi sunt v. 3. 4. At cf. Suidas v. *Δαρετίου*. ubi legitur: *τὸν τρίποδ'* (Med. *τρίποδα δ'*) *ἀνθέμεναι* (E *ἀνθέμεθα*). *Ἓξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων Δαρετίου χρυσοῦ τᾶς δεκάτας δεκάταν* (vulgo *τὰς δεκάτας*, VC *τὰς δεκάτας δεκάτας*, A *δεκάτας δεκατ'*). V. 1. Schneidewin *ψαμι* et *Πολύζαλον* probabiliter. — V. 2. *Δεινομένευς*, cod. Pal. *διομένευς*. — *τὸν τρίποδ' ἀνθέμεναι* Anth. (Suid.), *τοὺς τρίποδας θέμεναι* Schol. sed unum tantum tripodem fuisse testatur etiam Diod. Sic. XI. 26. — V. 3. *ἓξ* Boeckh (Metrol. Quaest. 295. et 304., ubi hoc distichon vindicat a Schneidewini suspicione, cui v. 3. et 4. subditicii videntur), legebatur *ἑξ*. — *λιτρῶν*, corrigunt *λιτρᾶν*. — V. 4. *Δαμαρετίου* Bentley, legebatur *Δαρετίου*, nisi forte *Δαμαρέτου* praestat. — *τᾶς*, codd. ut videtur *τὰς*.

Digitized by Google

βάρβαρα νικήσαντας ἔθνη· πολλὴν δὲ παρασχεῖν
σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

143. [198.]

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

144. [199.]

Τόνδε ποθ' Ἕλληνες, νίκης κράτει ἔργῳ Ἄρηος
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

145. [200.]

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

V. 5. Schneidewin *νικάσαντας* et *πολλὰν*, sicut v. 6. Ἕλλασιν et *ἐλευθερίαν*.

Epigr. 143. Thuc. I. 132: *Καὶ ὅτι (ὁ Παυσανίας) ἐπὶ τὸν τρίποδα πυτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε· Ἑλλήνων ἀρχηγὸς* (Bgh ἀρχὸς) *κτλ. Simonidis* esse epigramma ostendit Pausan. III. 8, 2: *Ὅτι γὰρ μὴ τῇ Κυνίσκᾳ τὸ ἐπίγραμμα ἐποίησεν ὅστις δὴ καὶ ἔτι πρότερον Παυσανίᾳ τὸ ἐπὶ τῷ τρίποδι Σιμωνίδης τῷ ἀνατεθέντι ἐς Δελφούς, ἄλλο δέ γε παρὰ ἀνδρὸς ποιητοῦ Λακεδαιμονίων τοῖς βασιλεῦσιν οὐδέν ἐστιν ἐς μνήμην.* Legitur etiam ap. Demosth. in Neaer. 97. Plutarch. de Herod. mal. c. 42. Anth. Pal. VI. 197 (*Σιμωνίδου εἰς Παυσανίαν*, ubi *ὤλεσα* et *ἀνέθηκα* est), Suid. v. *Παυσανίας*. Apostol. VII. 9, d. Cf. etiam Nepot. vit. Paus, c. 1. Respicit Aristid. II. 234. V. 1. *Ἑλλάνων ἀρχαγὸς* et v. 2. *μνᾶμ'* Anthol., reliqui *Ἑλλήνων ἀρχηγὸς* et *μνῆμ'*. — V. 2. *τόδε*, om. V ap. Suid.

Epigr. 144. Plut. de Herod. malign. c. 42: *τέλος δὲ (Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι) τῷ βωμῷ τὸ ἐπίγραμμα τοῦτο γράφοντες ἐνεχάραξαν· Τόνδε κτλ.* (v. 2. in codd. Par. deest). Idem legitur in vit. Aristid. c. 19., ubi omissus est v. 2. et in Anth. Pal. VI. 50: *Εἰς ναὸν ἀνατεθέντα τῇ Λιτ· Σιμωνίδου*. Cf. Pausan. IX. 2, 5. V. 1. Ἕλληνες, Anth. Ἕλλανες. — *νίκης κράτει*, ap. Plut. vit. Arist. *νίκας κράτει* (i *ἐκράτει*). et ib. pro *ἔργῳ Ἄρηος Fa πόθῳ ἄργεος*, L *πόθῳ ἄργος*. contra Anth. *ῥώμῃ χερός, ἔργῳ Ἄρηος*. Schneidewin coni. *νίκης κρατεῖ ἔργῳ Ἄρηος*. — V. 2. *ψυχῆς λήματι*, Anth. *ψυχᾶς* (cod. P *ψυχῆς*) *λάματι*. — V. 3. *ἐλευθέρᾳ ... κοινόν*, Anth. *ἐλεύθερον ... κόσμον*, et *ἐλεύθερον* etiam Plut. vit. Arist.

Epigr. 145. Anth. Pal. VI. 2: *Σιμωνίδου ἐπὶ τόξοις ἀνατεθεῖσιν ἐν τῷ τῆς Ἀθηνᾶς ναῷ*. V. 2. *Ἀθηναίης* cod. supra, a pr. manu *Ἀθηναίῳ*, *ὑπ' Ἀθηναίης* Plan. — *ὑπωρόφια*, *ὑποῤῥόφια* cod. Pal.

Digitized by Google

146. [201.]

Οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρόν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι
πυκνὰ κραδαινομένα δαΐῳ ἐν πολέμῳ.

147. [202.]

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα·
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

148. [203.]

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα·
Ξεινοφίλου δὲ τόθ' υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ·
ἀμφὶ διδασκαλίῃ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

Epigr. 146. Anth. Pal. VI. 52: *Ἀνάθημα τῷ Διὶ παρὰ στρατιώτου Σιμωνίδου.* V. 1. et 2. affert Suid. v. *ἧσο*, v. *Μελία*, v. *Ταναή*. — *μελία ταναά*, Plan. Iriart. 94. *μελίη ταναή*. — *ποτὶ*, Suid. v. *ταναή* exhibet *ἀνὰ* (A *ἀντικίονα*). — V. 3. *αὐτά* Schneidewin, vulgo *αὐτή*. Affert hunc versum Suidas v. *τετρύσθαι*. — V. 4. *δαΐῳ* cod. P supra, *δηΐῳ* a m. pr. ut Plan., ubi etiam *κραδαινομένη*.

Epigr. 147. Anth. Pal. VI. 213: *Ἀνάθημα τοῦ αὐτοῦ (Σιμωνίδου)*. Respicit Tzetz. Chil. IV. 487. qui I. 636 affert epigramma in Simonidem mortuum, quod ad huius similitudinem compositum est. V. 1. *Σιμωνίδη ἤραο* Tzetz. altero loco, cod. Pal. *Σιμωνίδης ἤρατο*, sed a pr. m. *ἤραο*. — *αι*
ταύρους, Tzetz. *νίκας*. — V. 2. cod. Pal. *ἀνθέμεν*.

Epigr. 148. Max. Plan. Walz. V. 543: *Οὗτος (ὁ Σιμωνίδης) πάσης ἐπιστήμων ποιητικῆς καὶ μουσικῆς ὑπῆρχεν, ὡς ἐκ νεότητος ἄχρι γήρως ἐν τοῖς ἀγῶσι νικᾷ· ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ· Ἦρχεν κτλ.* et Tzetz. in Cram. An. Ox. III. 353, 4. — V. 5. et 6. Plutarch. an seni sit resp. ger. c. 3. affert. Resp. Val. Max. VIII. 7, 13. V. 1. *Ἀδείμαντος μὲν* Tzetz., *μὲν Ἀδείμαντος* Plan. — V. 2. Tzetz. *φυλὴ Ἀντιοχίς*. — V. 3. Resp. Plut. vit. Alcib. c. 1. — *δὲ τόθ'* scripsi, vulgo *δέ τις*, Schneidewin *δ' ἔῦς*. — V. 5. *διδασκαλίῃ* Plut. Tzetz., *διδασκαλίᾳ* Plan. — V. 6. Tzetz. et nonnulli libri Plan. *ὀγδοηκονταέτει*. — *Λεωπρέπεος* Tzetz., vulgo *Λεωπρεπίος*.

Digitized by Google

149. [204.]

Μνήμῃ δ' οὔτινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

150. [205.]

Πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος ἐν χοροῖσιν Ὧραι
ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις
αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις
σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν,
οἳ τόνδε τρίποδα σφίσι μάρτυρα Βακχίων ἀέθλων
ἔθηκαν· κείνους δ' Ἀντιγένης ἐδίδασκεν ἄνδρας.
εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὅπα Δωρίοις Ἀρίστων·
Ἀργεῖος ἡδὺ πνεῦμα χέων καθαροῖς ἐν αὐλοῖς·
τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος,
Στρούθωνος υἱός, ἅρμασιν ἐν Χαρίτων φορηθείς,
αἳ οἱ ἐπ' ἀνθρώπους ὄνομα κλυτὸν ἀγλαάν τε νίκαν
θῆκαν, ἰοστεφάνων θεᾶν ἕκατι Μοισᾶν.

151. [206.]

Γνῶθι Θεόγνητον προσιδὼν τὸν Ὀλυμπιονίκαν

Epigr. 149. Aristid. II. 510: *Ἐτόλμησε γοῦν (Σιμωνίδης) εἰπεῖν· Μνήμην ... ἰσοφαρίζειν· τουτὶ γὰρ οὐχ ἕτερος ὁήπου περὶ τοῦ Σιμωνίδου λέγει, ἀλλ' αὐτὸς εἰς ἑαυτὸν πεποίηκεν· ἵνα δὲ μὴ δόξῃ νέος ὢν ἔτι καὶ ὡραϊζόμενος λέγειν, ταῦτα ποστίθησιν· Ὀγδωκονταέτει κτλ.* Elegiae fragmentum Schneidewin esse censet. V. 1. *μνήμῃ ΓΘ*, vulgo *μνημην.* — *ἰσοφαρίζειν, Θ ἰσοφερίζειν.* — V. 2. *Γ ὀγδωκυνταέτη.* — *Λεωπρέπεος* scripsi, v. *Λεωπρεπέος.*

Epigr. 150. Anth. Pal. XIII. 28: *Καλλιμάχου* (huius poetae epigramma excidisse videtur). *Βακχυλίδου ἢ Σιμωνίδου.* Simonidi tribuere videtur Steph. Byz. s. v. *Ἀκαμάντιον· ἐκαλεῖτο καὶ φυλὴ Ἀκαμαντὶς τῆς Ἀττικῆς, ὡς Σιμωνίδης.* V. 1. *δὴ* Brunck, cod. *δι.* — V. 2. *ἀνωλόλυξαν* Brunck, cod. *ἀνώλουξαν.* — V. 5. *Βακχίων* Brunck, cod. *βαχχείων.* — V. 6. *ἔθηκαν· κείνους* cod., *θήκαντο· κείνους* Bentley, *θήκαντο· Κεῖος* Schneidewin, *θῆκαν· Κικυννεὺς* ego conieci, possis *ἔθεντο· κείνους* alia coniicere. Sed fortasse turbatus est ordo versuum, ut sit scribendum versibus transpositis hoc modo 5. 12. 9. 10. 11. 6. 7. 8: *Μοισᾶν ἕκατι θῆκαν ἰοστεφάνων θεάων· Τῶν ἐχορήγησεν . . . . ἀγλαάν τε νίκαν ἔθεντο· κείνους δ' Ἀντιγένης ἐδίδασκεν ἄνδρας· εὖ δ' ἐπιθηνεῖτο . . . αὐλοῖς.* — V. 7. *ἐτιθηνεῖτο* Brunck, cod. *ἐτίθην εἰ τό.* — *Δωρίοις*, fortasse *Δωριεὺς* legendum. — V. 9. *κύκλον* Brunck, cod. *κύκλων.* — V. 10. *Στρούθωνος* Brunck, cod. *στρούθονος*, et deinde *φορηθεὶς* et v. 11. *ὄνομαχ' αὐτὸν*, quae correxit Brunck. — V. 11. et 12. pro subditiciis habet Schneidewin. — V. 12. *θῆκαν ἰοστεφάνων θεᾶν ἕκατι Μοισᾶν* codex; cum huius versus numeri prorsus a reliquis recedant, Neue coni. *Μοισᾶν ἕκατι θῆκαν ἰοστεφάνων θεάων*, Mehlhorn *ἕκατι Μοισᾶν θ. ἰ, θεάων*, Iacobs *Μοισᾶν θεάων θ. ἰ. ἕκατι.*

Epigr. 151. Anth. Plan. 2: *Σιμωνίδου.* V. 1. *Θεόγνητον* Schneidewin corr. ex Paus. VI. 9, 1: *Θεογνήτῳ δὲ Αἰγινήτῃ πάλης μὲν στέ-*

Digitized by Google

παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφῆς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

152. [207.]

Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας
Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
οὐδ' Ἀκαδήμειαν πυλυγαθέα, τῆς ἐν ἀγοστῷ
σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

153. [208.]

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ὤπις Ἀθάνας,
τέκνον μελαίνης γῆς, χαρίεντας αὐλούς
τούσδε σὺν Ἡφαίστῳ τελέσας ἀνέθηκ' Ἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

154. [210.]

Πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ', εἰμὶ δὲ Γλαύκου
υἱὸς καὶ νικῶ πὺξ δύ' ὀλυμπιάδας.

155. [211.]

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

φανον λαβεῖν ὑπῆρξεν ἐν παισίν· τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος ἐποίησεν Αἰγινήτης. Cf. Pind. Pyth. VIII. 35. vulgo Θεόκριτον. — V. 2. ἡνίοχον, Schneidewin ἀνίοχον. — V. 3. μορφῆς, Brunck μορφᾶς.

Epigr. 152. Anth. Pal. VI. 144: Ἀνάθημα τῷ Ἑρμῇ παρὰ Λεωκράτους τοῦ αὐτοῦ (id est Ἀνακρέοντος), sed infra post VI. 213. inter Simonidis epigrammata exhibetur, quod firmatur eo, quod priore loco ante hoc epigr. lacuna est. V. 1. Στροίβου Schneider ex Thucyd. I. 105., cod. Στοίβου et Στρόμβου. — V. 3. Ἀκαδήμειαν (Ἀκαδημείαν) cod. Pal., Ἀκαδημίαν Suidas v. ἀγοστῷ. — πολυγαθέα Anth. et Suid., πολυηθέα Schneidewin. — V. 4. εὐεργεσίην cod. Pal. priore loco, altero εὐεργεσίαν a m. pr.

Epigr. 153. Anth. Pal. XIII. 20. Σιμωνίδου. V. 1. Ὤπις scripsi, cod. ωπις, Iacobs Ὠλπις, Schneidewin Ὤλπις. — Ἀθάνας Schneidewin, Ἀθανὰς cod., idem ἱερὰν pro ἱερὴν scripsit.

Epigr. 154. Paus. VI. 9, 9: Παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνῃ τοῦ Αἰγινήτου Γλαυκίου· τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ Λεωπρεποῦς ἐλεγεῖον δεξιώτατον ἐποίησε· Πατρὶς κτλ. — V. 2. νικῶ Sylburg et sic CSBPcdVbAgLa, νικᾶ LbMVa, vulgo νίκη, unde olim νίκην conieci.

Epigr. 155. Anth. Plan. 8: τοῦ αὐτοῦ (Σιμωνίδου).

Digitized by Google

156. [212.]

Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νίκης;
Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.

157. [213.]

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅσπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἕξῆς, ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερώ, οὐδ' ἐγένοντο
ἀκτίνων τομίδων ποταθμοί.
καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,
καὶ Τεγέᾳ καὶ ἐν Αἰγίνᾳ κρατερᾷ τ' Ἐπιδαύρῳ,
καὶ Θήβᾳ Μεγάρων τε δάμῳ.
ἐν δὲ Φλιοῦντι σταδίῳ τά τε πέντε κρατήσας
ἠΰφρανεν μεγάλαν Κόρινθον.

158. [214.]

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὃς ποτὶ Πίσῃ
ἑπτάκι νικήσας ἐς γόνατ' οὐκ ἔπεσεν.

159. [215.]

Ἀρτέμιδος τί δ' ἄγαλμα — διηκόσιαι γὰρ ὁ μισθός

Epigr. 156. Anth. Plan. 23: *Σιμωνίδου.* V. 1. *εἰπὸν*, Ursinus *εἶπον*. — *νίκης* scripsi, nisi quis *δ' ἐνίκης* malit, vulgo *νικῆς*, Ursinus *νικᾷς*. — V. 2. *Κασμύλος* Iacobs, vulgo *Κάσμυλος*.

Epigr. 157. Anth. Pal. XIII. 19: *Σιμωνίδου.* V. 1. *ἐνίκα*, cod. P *ἐννίκαι*. — V. 2. *ποτε*, Schneidewin *ποκα*. — *Νικολάδας* Schneidewin, v. *Νικολάδας*. — V. 4. *ἑξῆς* Salmasius, cod. P *ἑξήκοντα*. Sed dubito de hac coniectura, nam tum *πέντε* ad numerum victoriarum referendum est, ut iam *ἐπ' ἀέθλοις* langueat. Itaque conieci *ἕξ ἠδ' ἀμφιφορεῖς*, atque etiam si *ἑξῆς* probaveris, praestet *ἀμφιφορεῖς τ' ἐλαίου*. — V. 5. *ζαθέᾳ* cod. P., Brunck *ζαθέῳ*. — V. 5. et 6. nondum persanati, Iacobs coniecit *ἄλλ' ἐγένοντο ἀκτῇ Ποντομέδοντος ἄθλα*, Pflugk *οἶδεν ἑλόντα Ἀκτὰ Ποντομέδοντος ἄθλα*, itaque Schneidewin. — V. 7. *ἐνίκησεν*, *ἐνίκασεν* Schneidewin. — *ἄλλα*, fort. *ἄλλας* (*νίκας*). — V. 9. *Τεγέᾳ* Brunck, cod. *Νεμέᾳ*, nisi supra v. 7. mutare velis. — *κρατερᾷ τ'*, Iacobs *κρατερᾷ δ'*. — V. 11. *Φλιοῦντι*, Reiske *Φλιουντείῳ*. — *σταδίῳ*, Hermann *στάδιον*.

Epigr. 158. Anth. Plan. 24: *τοῦ αὐτοῦ* (*Σιμωνίδου*). V. 1. *ποτὶ* Schneidewin, vulgo *ποτε*. — V. 2. *ἑπτάκι*, Ald. *ἑπτά*, videtur *ἑξάκι* scribendum.

Epigr. 159. Diogen. Laert. IV. 45: *Γεγόνασι καὶ ἄλλοι τρεῖς Ἀρκεσίλαοι, . . . ἕτερος ἀγαλματοποιός, εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα τοιόνδε· Ἀρτέμιδος κτλ.* Eadem Arsen. 119. V. 1. *γὰρ* Menag. et Arsen., vulgo *δ' ἄρ'*.

Digitized by Google

δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα τράγος· —
ἀσκητῶς ἐποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

160. [216.]

Κρὴς Ἄλκων Διδύμου Φοίβῳ στέφος Ἴσθμι' ἑλὼν πύξ.

161. [217.]

Τόνδ' ἀνέθηχ' Ἑρμῆν Δημήτριος, ὄρθια δ' οὐχί,
ἐν προθύροις.

162. [218.]

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν.

163. [219.]

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

164. [221.]

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

V. 2. ταὶ, possis καὶ coniicere, Arsen. τοι, Schneidewin coni. δραχμαῖαι. — τῶν, Arsen. τῶνδ'. — ἐπίσημα τράγος Heyne, legebatur ἐπίσημ' Ἄρατος. — V. 3. ἀσκητῶς ἐποίησεν scripsi, Diog. ἀσκητὸς δ' ἐπ., Arsen. ἀσκητὸς ποίησεν. — V. 4. Ἄξιος scripsi, ut Oaxo oriundus fuerit Arcesilas, vulgo ἄξιος. — Ἀρκεσίλας, cod. Mon. Ars. Ἀρκεσίλαος. — Ἀριστοδίκου, Ars. Ἀριστοδήμου.

Epigr. 160. Codex Pal. apud Huschk. Anal. Crit. p. 198. (librum novi tantum ex Welckeri Sylloge Epigr. 222.) Σιμωνίδου. Διδύμου scripsi, Διδύμοις Welcker, Διδυμεῖ Schneidewin, cod. δι...

Epigr. 161. Trypho in Boisson. Anecd. T. III. p. 274: Ἔνιοι καὶ ἐν ταῖς συλλαβαῖς ὑπερβατὰ πεποιήκασιν, ὡς καὶ Σιμωνίδης ἐν ἐπιγράμμασι· Ἑρμῆν τόνδε ἀνέθηκε Δημ. ὄρθια δ' οὐκ ἐν προθύροις, ἀντὶ τοῦ οὐκ ὄρθια δέ. Correxi haec, et οὐχί iam Schneidewin.

Epigr. 162. Pausan. X. 27, 4: Κατὰ τοῦτο τῆς γραφῆς καὶ ἐλεγεῖόν ἐστι τοῦ Σιμωνίδου· Γράψε κτλ. Idem exstat Anth. Pal. IX. 700. (ubi cod. P. v. 1. γράψεν Ἀρίγνωτος et v. 2. ἡλίου) et Plut. de orac. def. c. 47. Schol. Plat. Gorg. p. 338. ed. Bekk. Respicit Philostr. Vit. Apoll. VI. 11. Phot p. 80, 16. Arsen. 291. et Hesych. v. Θάσιος παῖς Ἀγλαοφῶντος. — V. 2. περθομέναν Plutarch., περθομένην reliqui.

Epigr. 163. Anth. Pal. IX. 758: Εἰς θύρας· τοῦ αὐτοῦ. Simonidis esse Planudes docet. Pertinet fort. ad idem templum, ad quod Ep. 164., ut Iphion et Cimon in eadem aede ornanda occupati fuerint.

Epigr. 164. Anth. Pal. IX. 757. εἰς . . . nomen poetae excidit, sed Simonidi tribuit Planudes. V. 1. ἔνι, malim ἔπι.

Digitized by Google

165. [223.]

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

166.

Εὔχεό τοι δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥςπερ ὑπὸ ξείνων τε καὶ οἳ ναίουσι Κόρινθον
αἶνον ἔχεις Χαρίτων, δέσποτα, τοῖς στεφάνοις.

167.

Σῶσος καὶ Σωσὼ σωτήρια τόνδ' ἀνέθηκαν·
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

168. [225.]

Ἦν ἑκατὸν φιάλαι δίχα σφίσιν.

169. [226.]

Schol. Pind. Nem. VII. 1: *Ἀριστόδημος δὲ ὁ Ἀριστάρχου μαθητὴς βέλτιον οὕτω φησίν· ὑψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν προήκοντι εὐξαμένῳ τῇ θεῷ Σωγένη τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γέννησιν οἷον Εἰλειθυίας εἶναι χάριν· διὰ τὴν ἰδιότητα γοῦν*

Epigr. 165. Aristot. Rhet. I. 7: *δθεν καὶ τὸ ἐπίγραμμα τῷ Ὀλυμπιονίκῃ· Πρόσθε κτλ.* Et v. 1. ibid. legitur I. 9: *καὶ τὸ τοῦ ὀλυμπιονίκου· πρόσθε . . . τραχεῖαν. καὶ τὸ τοῦ Σιμωνίδου,* sequitur Epigr. 114, 3., ut appareat Aristoteli auctorem vel prorsus ignotum vel alium fuisse: Simonidi tamen tribuit Aristophanes ap. Enstath. 1761, 25: *Ὁ δὲ τὸν σάνναν τοῦτον παρασημηνάμενος Ἀριστοφάνης ὁ γραμματικὸς καὶ ἄλλας ἐκτίθεται καινοφώνους λέξεις, οἷον ἄσιλλαν, σκεῦός τι ἰχθυηρόν, οὗ χρῆσις παρὰ Σιμωνίδῃ ἐν τῷ· Πρόσθε κτλ.* V. 1. *ἄσιλλαν*, Zb *ἄσηλλαν*. — V. 2. *Τεγέαν*, Qb *Τέγαιαν*, Eust. *Τεγέην* et *ἔφερε*. Apparet epigramma imperfectum esse, Victorius in codd. dicit se reperisse versum tertium: *Νῦν δὲ κράτος φέρομεν μέγα* (Schneidewin *μετὰ*) *πᾶσιν ὀλυμπιονίκαι.*

Epigr. 166. Anthol. Pal. VI. 212: *ἀνάθημα Σιμωνίδου.* Schneidewin iniuria in suspicionem vocat. V. 1. *τοι*, Salmasius *τοῖς*, fort. *σοῖς*. — V. 3. *οἳ* Brunck, cod. *οἱ* et *Κόρυνθον*. — V. 4. Iacobs coni. *αἶσι πάτραν στεφανοῖς*, Hecker *μεστοτάτοις στεφάνοις*. Simplicissimum fuerit: *αἶνον ἔχεις· χαῖρ' ὦν, δέσποτα, τοῖς στεφάνοις*, ut ipse deus invocetur, sed videtur aliud latere, fort. *αἶνον ἔχεις, Χαρίτων δ' ἔσπετ' ὅπις στεφάνοις.*

Epigr. 167. Anth. P. VI. 216: *τοῦ αὐτοῦ ἀνάθημα τῷ Διὶ παρὰ Σώσου καὶ Σωσοῦς.* Abiudicavit Schneidewin Simonidi, sed insertum est genuinis epigrammatis, neque talis lusus indignus hoc poeta. V. 1. *σωτήρια* nescio quis coniecit, Reiske *Σωτείρῃ*, cod. P. *σωτῆρι*.

Epigr. 168. Herod. *περὶ μον. λέξ.* 45, 2: *Καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν τοῖς ἐπιγράμμασιν· ἦν . . . σφίσιν, ἀντὶ γὰρ τοῦ ἡμεν ἦν. δίχα σφίσιν* corruptum expedire nequeo; Lehrs coni. *δίχα δέ σφισιν (ἤνδανε βουλή, Ἀνδράσιν Ἑλλήνων).*

Digitized by Google

τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν Θεὸν ταύτην ἐπήρεισε τὸν λόγον· ἐπιστοῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος (ed. Rom. ὑπογράμματος) Σιμωνίδου.

(ΠΑΙΓΝΙΑ.)

170. [227.]

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρῄκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

171. [186.]

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπών
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

172. [288.]

Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

173. [229.]

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

Epigr. 170. Athen. III. 125. C: *Καλλίστρατος ἐν ἑβδόμῳ συμμίκτων φησίν, ὡς ἑστιώμενος παρά τισι Σιμωνίδης ὁ ποιητὴς κραταιοῦ κατέματος ὥρᾳ καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῷ δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα· Τήν ῥά ποτ' κτλ.* V. 1. *τῇ* Casaubonus, libri *τήν*. — V. 2. *ὠκὺς*, *ὀξὺς* Valckenaer. — V. 3. *ἐθάφθη* Porson, vulgo *ἐκάμφθη*. — V. 5. *ἔν τις* Schweighaeuser, *ἐν τῖς* B, *ἔν τις* PVL. — *ἐμοὶ καὶ τῆς χεέτω* AC, *ἐμοι κατησχεέτω* B, *ἐμοὶ αὐτῆς χεέτω* VL. — *ἔοικεν*, *ἔοικες* BP, unde *ἐοικός* possis coniicere.

Epigr. 171. Athen. X. 415. F: *Καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος ποιητὴς καὶ ἀθλητὴς πένταθλος ἐνέιραγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ· Πολλὰ κτλ.* Simonidis esse docet Anth. Pal. VII. 348: *τοῦ αὐτοῦ (Σιμωνίδου) εἰς Τιμοκρέοντα τὸν Ῥόδιον, οὑτινα τὴν γνώμην πᾶσαν καὶ τὴν συν ν εἶχεν ὁ θεῖός μου.* et in marg. *Σιμωνίδου.* cf. Iriarte 95. V. 1. Plan. *πολλὰ φαγὼν καὶ πολλὰ πιών.* — V. 2. *ἀνθρώπους*, cod. Pal. *ἀνθρώποις*.

Epigr. 172. Athen. XIV. 656. C: *Περὶ δὲ λαγῶν Χαμαιλέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου, ὡς δειπνῶν παρὰ τῷ Ἱέρωνι ὁ Σιμωνίδης οὐ παρατεθέντος αὐτῷ ἐπὶ τὴν τράπεζαν, καθάπερ καὶ τοῖς ἄλλοις λαγωοῦ, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν· Οὐδὲ κτλ.* unde affert Eust. Od. 1821, 37. Cf. Il. *o'*. 33.

Epigr. 173. Anth. Pal. XIII. 30. *Σιμωνίδου.* V. 1. et 2. *καλλισφύρου* vulgo, sed cod. Pal. *καλλίσφυρον*.

Digitized by Google

174. [230.]

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθύς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτός
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον· οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

175. [231.]

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

176. [224.]

*Φοῖβος ἐσαγεῖται * Τυνδαρίδῃσιν ἀοίδησαν*
ἄμετροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

Epigr. 174. Athen. X. 456. C: *Γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδη αὗτα πεποιημένα, ὥς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Σιμωνίδου· Μιξ. κτλ. φασὶ δὲ οἱ μὲν ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων ν Χαλκίδι τοῦτ' ἐπιγεγράφθαι, πεποιῆσθαι δ' ἐν αὐτῷ τράγον καὶ δελῖνα, περὶ ὧν εἶναι τὸν λόγον τοῦτον. Οἱ δὲ εἰς ἐπιτόνιον ψαλτήριον ελφῖνα καὶ τράγον εἰργασμένον εἰρῆσθαι, καὶ εἶναι τὸν βουφόνον καὶ τὸν ιονύσου θεράποντα τὸν διθύραμβον. οἱ δέ φασιν, ἐν Ἰουλίδι τὸν τῷ ιονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει· πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν· δόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον ληκὴ κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν ρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα· τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι· σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον· νυκτὸς δὲ παῖδα τὸν ὕπνον· βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν.* V. 1. πατὴρ, PVL πατήρ τ'. — V. 2. ἠρείσαντο ABC, ἠρίσαντο PVL. — V. 3. Διωνύσοιο L, διονύσοι PV.

Epigr. 175. Athen. X. 456. E: *Πεποίηκε δὲ καὶ ἕτερον ὁ Σιμωνίδης ἐπίγραμμα, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν· Φημὶ κτλ. Λέγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρίβοντα αὐτὸν διδάσκειν τοὺς χοροὺς· εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ οὐ μακρὰν τῆς θαλάσσης· ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη· ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειὸν διὰ τὸ μυθολογεῖσθαι τοῦτο ὁρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησι· — ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν παρέχειν τῷ ὄνῳ χολίκα κριθῶν. Τοῦτο οὖν κἂν τῷ ποιητῇ λέγεσθαι· καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος ἄεθλον οὐκ ἐθέλοντα ᾄδειν· Πανοπηϊάδην* (Il. ψ'. 665.) *δὲ τὸν ὄνον· μέγα δεῖπνον τὴν χολίκα τῶν κριθῶν* Cf. Sch. Il. ψ'. 665: *ἐλεήσασα δὲ ἡ Ἀθηνᾶ ἐν τοῖς χορευταῖς φησὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον ἀντὶ τοῦ ὃς νίκην μοι περιποιήσαι, τῷ Πανοπῆϊ δηλῶς μετὰ δεῖπνον Ἐπειῷ ζημίαν.* Eust. 1323, 60. et 1606, 60. Affert etiam Io. Sicel. Walz. Rhet. T. VI. p. 200. (ubi v. 2. *μετὰ δεῖπνον δώσειν ἐπ' ἠὼ* legitur, quod ille explicat, sed memorat idem lectionem Ἐπειῷ), et VII. p. 949. (ubi v. 1. *τίν' οὐκ*, sed Mon. *τίνας οὐκ ἐθέλοντας*, Par. 2. *τίνες οὐκ ἐθέλοντες*, deinde v. 2. Mon. Par. 1, 2. *μετὰ δεῖπνον ἐπ' ἠῶ*).

Epigr. 176. Athen. XV. 680. D: *Χορωνόν. Ἀπίων ἐν τῷ περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου φησὶ τὸν στέφανον πάλαι χορωνὸν καλούμενον, ἀπὸ*

Digitized by Google

τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν θεὸν ταύτην ἐπιστοῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος (ed. Rom. νίδου.

(ΠΑΙΓΝΙΑ

170. [227

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ
ὠκὺς ἀπὸ Θρῄκης ὀρνύμε
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε
ζωή, Πιερίην γῆν ἐπιε
ἔν τις ἐμοὶ καὶ τῆς χεέτ ... ον
θερμὴν βαστάζειν ἀν ... ακες.

Πολλὰ πιὼν καὶ π ... ηνίκ' ἀλύξας
ἀνθρώπους κεῖμ

αὐτῷ χρῆσθαι, αὐτούς τε περιχεῖμε
...ζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου ἐπι
...λουμένου (A οὕτως, Pursanus καλούμενον)
Οὐδὲ γὰρ οὐδ' ... ι, Stephanus et Ursinus ἐςάγηται. — ἀοιδη
...τέψαντο A, ἐπέμψαντο Cant. L. Schweighaeu
...neidewin ἐςάγηταί ποτε Τυνδαρίδαισιν ἀοιδάς
ex dittographia (ἀοιδης et ἀοιδαν) ortum esse ...
θ' ἀγεῖται τοῖς Τυνδαρίδαισαιν ἀοιδᾶν, Ἀμ...
Μοῦσά μοι ... uli inter Παίγνια.
υἱὸν Ἀλν ... lut. de cohib. ira c. 6: καὶ ὁ Μαρσύας ὡς ἔοικε φορβεῖ
...μίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε, καὶ τοῦ
...κόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν. Χρυσῷ δ' κτλ.
Epigr. 17 ... ait Tzetz. Chil. I. 372: τὴν δ' ἔριν ταύτην πού φησιν ᾄσμα
φησίν, ὡς ἐ ... χρυσῷ δ' κτλ. Quamquam dubium est, an sit lyrici fragmen
ματος ὥρᾳ ... non est iuniori alicui Simonidi tribuendum. Schneidewin Sim
αὐτῷ δὲ ο' ... ari vult, ego aliquando ex dramate satyrico petitum esse coniec
κτλ. V. ... ἀνήρμοσεν, Tzetz. προςήρμοσεν. — ἀμφιδασείας, vulgo ἀμφὶ δε
V. 3. ἐθ ... quod etiam Dübner correxit.
τῖς B, ...
αὐτῆς ...

Epigr. 178. Anth. Pal. V. 159: Σιμωνίδου (ita etiam codex ap. Iriarte Catal. Matrit. p. 94.) εἰς βοίδιον τὴν αὐλητρίδα. Simonidi omnino abiudicandum, ut opinor Asclepiadis epigramma, vid. Asclepiad. V. 161. (quod epigramma etiam Hedylo et Simonidi tribuitur): Εὐφρὼ καὶ Θαῖς καὶ Βοίδιον αἱ Διομήδους γραῖαι. et V. 164: οἷά μ' ὑβρίζει Πυθιὰς ἡ Κικοῦς οὖσα φιλεξαπάτις (ita enim corrigendum sive φιλεξαπάτης malis) V. 1. ηὐλητρὶς, Plan. αὐλητρὶς. — V. 3. βαλλάντιον, Plan. βαλάντιον.

Epigr. 179. Anthol. P. VI. 217: ἀνάθημα· τοῦ αὐτοῦ ἐπὶ γάλλῳ λάτριδι τῆς κυβέλης. Quae praecedunt epigrammata omnia, etiam 216., Simonidis sunt, sed hoc manifesto ei abiudicandum, ut Iacobs quoque censuit. Nihil probat Phot. p. 183, 1: Κύβηβον. Κρατῖνος Θράτταις τὸν θεοφόρητον· Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον· οὕτως Σιμωνίδης — nam Simonidis testimonium ad Κύβηβον pertinet. Est autem opinor Leonidae Tarentini, in eodemque argumento illustrando versantur proxima Alcaei, Antipatri, Dioscoridae 318, 19. 20., ut alias quoque certatim in eadem materia versantur, neque illud obstat, quod 321. aliud Leonidae epigramma similem fabellam prodit. Celebrem hanc chriam tangit

Digitized by Google

SIMONIDES.

174. [230.]

ἐρίφου καὶ σχέτλιος ἰχθύς
τα· παῖδα δὲ νυκτός
νύσοιο ἄνακτος
εῖσθαι θεράποντα.

ος ἄεθλον
Ἐπειῷ.

ὰ σπιλάδα,
ῦ δὲ κατ' ἴχνος
λέων·
θε χειρὶ

923

ιᾳ
ς.

ος ἀοιδῶν,
τόμενος.

81.

οφοκλῆς ἱδρύσατο πρῶτος,
ης εἶχε κλέος τραγικῆς.

182.

οι, Σπάρτᾳ πατρί, τοῖς συναρίθμοις
ς Θυρεᾶν ἀμφὶ μαχεσσάμενοι

n Saturis ap. Nonium v. *Mansuete*: Non vidisti simulacrum am e loco, ubi quondam subito eum cum vidissent quadrupe- tympanis adeo fecerunt mansuem, ut tractarent manibus. V. 1. Suidas v. κατήλυσιν, ubi ἡνίκ' ἀλύξας om., et deinde exhibet — V. 3. ἀπομόρξατο, P ἀπ' ἐμόρξατο. — V. 5. αὐτὰρ ὁ Suidas v. σον, P αὐτὰρ ὅ. — ὃ σχέθε P in m, vulgo ἔσχεθε, Suid. ἔσχετο. — 9. et 10. affert Suid. v. Λάτρις et partim v. ὀρεία. — τ' δε Ῥείᾳ, P ταδ' ρείαι, Suid. bis τάδ' ὄρεια, Brunck Ῥείῃ.

Epigr. 180. Anthol. P. VII. 20: εἰς σοφοκλέα Σιμωνίδου. ita etiam Iriarte p. 95. Fortasse *Simmiae* est, cf. ad Simm. ep. 2. V. 2. ἐρεπτόμενος, ἐρεπτόμενοι Suid. v. οἴνοψ, (sed V ἐρεπτόμενος).

Epigr. 181. Anth. Pal. VI. 145: τοῦ αὐτοῦ ἀνάθημα Σοφοκλέους ποιητοῦ τῶν τραγῳδιῶν, ut putant Ἀνακρέοντος, cuius sunt epigrammata, quae praecedunt 134—144., sed post in codice est lacuna, nec probandum, quod in margine legitur: οὐ λείπει, ὡς οἶμαι, οὐδ' ἐνταῦθα. nam quod sequitur epigramma (ἀνάθημα τῷ Ἑρμῇ παρὰ Λεωκράτους τοῦ αὐτοῦ) *Simonidis* est (vid. Fr. 152.), itaque videtur hoc quoque epigramma 145. Simonidi tributum esse, sed falso, ut apparet, nec tamen Sophocli ausim vindicare.

Ep. 182. Anth. P. VII. 431: Ἄδηλον, οἱ δὲ Σιμωνίδου ἐπὶ τῷ τάφῳ τῶν τριακοσίων Σπαρτιατῶν, τῶν μετὰ Ὀθρυάδου πεσόντων ἐν τῷ πρὸς ἀργείους πολέμῳ ἐπὶ τῇ θυρεάτιδι. ταῦτα ἐν τῇ βίβλῳ τοῦ συγγραφέως Θουκυδίδου τρανώτερον. Simonidi recte abiudicat Schneidewin, fort. *Leonidae* est, quem verisimile est celebre hoc argumentum tractavisse. V. 1. τριηκόσιοι, quidni τριακόσιοι. — συναρίθμοις, Meineke ἰσαρίθμοις. — V. 2. Ἰναχίδαις, P Ἰναχίδας. — Θυρεᾶν scripsi, v. Θυρέαν. vid. Steph. B. v. Θυρέα ... λέγεται καὶ πληθυντικῶς. et Anth. P. VII. 721.

Digitized by Google

177.

Χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

EPIGRAMMATA FALSO SIMONIDI TRIBUTA.

178.

Βοίδιον ηὐλητρὶς καὶ Πυθιὰς αἵ ποτ' ἐρασταί
σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν·
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν αἱ πίνακες.

179.

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας

τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι, αὐτούς τε περικειμένους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου ἐπιγράμμασιν ἰδεῖν ἔστιν οὕτω καλουμένου (A *οὕτως*, Pursanus *καλούμενον*) *Φοῖβος κτλ.* V. 1. *ἐςαγεῖται*, Stephanus et Ursinus *ἐςάγηται*. — *ἀοίδησαν* Cant. L. — V. 2. *ἐπεστέψαντο* A, *ἐπέμψαντο* Cant. L. Schweighaeuser coni. *ἀοιδῆς, ἄν*, Schneidewin *ἐςάγηταί ποτε Τυνδαρίδαισιν ἀοιδάς· τᾶν κτλ.* Mihi *ἀοίδησαν* ex dittographia (*ἀοιδης* et *ἀοιδαν*) ortum esse videtur. Fort. *Φοῖβος ὅθ' ἀγεῖται τοῖς Τυνδαρίδαισαιν ἀοιδᾶν, Ἀμέτεροι τέττιγες.* Retuli inter *Παίγνια*.

Epigr. 177. Plut. de cohib. ira c. 6: *καὶ ὁ Μαρσύας ὡς ἔοικε φορβειᾷ τινι καὶ περιστομίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε, καὶ τοῦ προςώπου κατεκόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν. Χρυσῷ δ' κτλ.* Simonidi tribuit Tzetz. Chil. I. 372: *τὴν δ' ἔριν ταύτην πού φησιν ᾄσματι Σιμωνίδης· χρυσῷ δ' κτλ.* Quamquam dubium est, an sit lyrici fragmentum, certe non est iuniori alicui Simonidi tribuendum. Schneidewin Simmiae vindicari vult, ego aliquando ex dramate satyrico petitum esse coniecit. V. 1. *συνήρμοσεν*, Tzetz. *προςήρμοσεν*. — *ἀμφιδασείας*, vulgo *ἀμφὶ δασείας*, quod etiam Dübner correxit.

Epigr. 178. Anth. Pal. V. 159: *Σιμωνίδου* (ita etiam codex ap. Iriarte Catal. Matrit. p. 94.) *εἰς βοίδιον τὴν αὐλητρίδα. Simonidi* omnino abiudicandum, ut opinor *Asclepiadis* epigramma, vid. Asclepiad. V. 161. (quod quidem epigramma etiam Hedylo et Simonidi tribuitur): *Εὐφρὼ καὶ Θαῖς καὶ Βοίδιον αἱ Διομήδους γραῖαι.* et V. 164: *οἷά μ' ὑβρίζει Πυθιὰς ἡ Νικοῦς οὖσα φιλεξαπάτις* (ita enim corrigendum sive *φιλεξαπάτης* malis). V. 1. *ηὐλητρὶς*, Plan. *αὐλητρὶς*. — V. 3. *βαλλάντιον*, Plan. *βαλάντιον*.

Epigr. 179. Anthol. P. VI. 217: *ἀνάθημα· τοῦ αὐτοῦ ἐπὶ γάλλῳ λάτριδι τῆς κυβέλης.* Quae praecedunt epigrammata omnia, etiam 216., *Simonidis* sunt, sed hoc manifesto ei abiudicandum, ut Iacobs quoque censuit. Nihil probat Phot. p. 183, 1: *Κύβηβον. Κρατῖνος Θρᾴτταις τὸν θεοφόρητον· Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον· οὕτως Σιμωνίδης* — nam Simonidis testimonium ad *Κύβηβον* pertinet. Est autem opinor *Leonidae* Tarentini, in eodemque argumento illustrando versantur proxima Alcaei, Antipatri, Dioscoridae 318, 19. 20., ut alias quoque certatim in eadem materia versantur, neque illud obstat, quod 321. aliud Leonidae epigramma similem fabellam prodit. Celebrem hanc chriam tangit

Digitized by Google

Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα,
ὑετὸν ἄρτι κόμης ἀπομόρξατο· τοῦ δὲ κατ' ἴχνος
βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λεών·
αὐτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ὃ σχέθε χειρὶ
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν·
οὐδ' ἔτλη Κυβέλης ἱερὸν βρόμον ὑλονόμος θήρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

180.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

181.

Βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
ὃς πλεῖστον Μούσης εἶχε κλέος τραγικῆς.

182.

Οἵδε τριηκόσιοι, Σπάρτᾳ πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρεᾶν ἀμφὶ μαχεσσάμενοι

etiam Varro in Saturis ap. Nonium v. *Mansuete*: Non vidisti simulacrum leonis ad Idam e loco, ubi quondam subito eum cum vidissent quadrupedem Galli tympanis adeo fecerunt mansuem, ut tractarent manibus. V. 1. 2. affert Suidas v. *κατήλυσιν*, ubi *ἠνίκ' ἀλύξας* om., et deinde exhibet *ἦλθεν*. — V. 3. *ἀπομόρξατο*, P *ἀπ' ἐμόρξατο*. — V. 5. *αὐτὰρ ὁ* Suidas v. *ἤρασσον*, P *αὐτὰρ ὃ*. — *ὃ σχέθε* P in m, vulgo *ἔσχεθε*, Suid. *ἔσχετο*. — V. 9. et 10. affert Suid. v. *Λάτρις* et partim v. *ὄρεια*. — *τ' δὲ Ῥείᾳ*, P *ταδ' ἐρείαι*, Suid. bis *τάδ' ὄρεια*, Brunck *Ῥείῃ*.

Epigr. 180. Anthol. P. VII. 20: *εἰς σοφοκλέα Σιμωνίδου*. ita etiam Iriarte p. 95. Fortasse *Simmiae* est, cf. ad Simm. ep. 2. V. 2. *ἐρεπτόμενος, ἐρεπτόμενοι* Suid. v. *οἶνοψ*, (sed V *ἐρεπτόμενος*).

Epigr. 181. Anth. Pal. VI. 145: *τοῦ αὐτοῦ ἀνάθημα Σοφοκλέους ποιητοῦ τῶν τραγῳδιῶν*, ut putant *Ἀνακρέοντος*, cuius sunt epigrammata, quae praecedunt 134—144., sed post in codice est lacuna, nec probandum, quod in margine legitur: *οὐ λείπει, ὡς οἶμαι, οὐδ' ἐνταῦθα*. nam quod sequitur epigramma (*ἀνάθημα τῷ Ἑρμῇ παρὰ Λεωκράτους τοῦ αὐτοῦ*) *Simonidis* est (vid. Fr. 152.), itaque videtur hoc quoque epigramma 145. Simonidi tributum esse, sed falso, ut apparet, nec tamen Sophocli ausim vindicare.

Ep. 182. Anth. P. VII. 431: *Ἄδηλον, οἱ δὲ Σιμωνίδου ἐπὶ τῷ τάφῳ τῶν τριακοσίων Σπαρτιατῶν, τῶν μετὰ Ὀθρυάδου πεσόντων ἐν τῷ πρὸς ἀργείους πολέμῳ ἐπὶ τῇ θυρεάτιδι. ταῦτα ἐν τῇ βίβλῳ τοῦ συγγραφέως Θουκυδίδου τρανώτερον*. Simonidi recte abiudicat Schneidewin, fort. *Leonidae* est, quem verisimile est celebre hoc argumentum tractavisse. V. 1. *τριηκόσιοι*, quidni *τριακόσιοι*. — *συναρίθμοις*, Meineke *ἰσαρίθμοις*. — V. 2. *Ἰναχίδαις*, P *Ἰναχίδας*. — *Θυρεᾶν* scripsi, v. *Θυρέαν*. vid. Steph. B. v. *Θυρέα ... λέγεται καὶ πληθυντικῶς*. et Anth. P. VII. 721.

Digitized by Google

αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρᾶτον
ὁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει, Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦς ἀπ' Ἀδράστου,
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

183.

Ἠμερὶ πανθέλκτειρα, μεθυτρόφε, μᾶτερ ὀπώρας,
οὔλης ἢ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στίλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου·
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχως κρούων τὴν φιλόπαιδα χέλυν,
κἠν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

184. [171.]

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα Μουσῶν
ὑμνοπόλον πάτρης τίμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων

V. 3. ὅπᾳ, Pl. ὅπα. — ἴχνια πρᾶτον Pl., ἴχνος ἃ πρατὸν P. — V. 5. κεκαλυμμένον, Schneidewin πεπαλυμμένον, Meineke πεπαλαγμένον. Poeta conscriptum dixisse videtur, an forte κεκολαμμένον audacter dixit? — V. 7. αἰ, P αἱ. — ἧς, P ἦς.

Epigr. 183. Anth. Pal. VII. 24: εἰς τὸν αὐτὸν Σιμωνίδου· εἰς ἀνακρέοντα τὸν τήϊον ποιητὴν Σιμωνίδου· ὅτι καὶ αὐτὸς σιμωνίδης τήϊος ἦν· ὅθεν καὶ ἀνακρέων. cf. Iriarte p. 95. Sed neque hoc neque quod sequitur epigr. *Simonideum* est, quamquam de altero non dubitat Schneidewin, magnis illud laudibus efferens, hoc vero abiudicans. At ab eodem poeta utrumque compositum arbitror, fortasse a *Leonida*: nam quod alia praeterea eiusdem poetae in Anacreontem extant carmina, non est offensioni: solet ille, ut est luxuriantis ingenii, eadem argumenta saepius tractare, quem in hac quoque re secutus est Antipater Sidonius, qui etiam haec ipsa epigrammata imitatus est. V. 1. ὀπώρας P, ὀπώρης Pl. Suid. v. ἡμερὶ (sed AVE ὀπώρας.) — V. 2. ἢ — φύεις Suidas (sed ABV οὐ λήγῃ . . . φύεις), ἧ — φύσεις P, ἦ — φύσεις Pl. — V. 5. φιλόκωμος Pl., φιλακωμος P. — V. 6. κρούων P, κρούοι Pl. — V. 7. κἠν, P supra καὶ. — V. 8. ὡραίων Stephanus. v. ὡραῖον. — V. 9. μιν Pl. Suidas in λαρόν., σφιν P. Inde a verbis ἧς ὁ γερ. affert etiam Suidas v. γεραιὸς.

Epigr. 184. Anth. P. VII. 25: τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν ἀνακρέοντα τὸν τήιον. cf. Iriarte 95. Vide de hoc ep. supra. V. 2. ὑμνοπόλον, P ὑμνοπόλων. — V. 5. μοῦνος, fort. μοῦνον. — λείπων, P λειπών.

Digitized by Google

ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὰν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῇκα λέλοιπε πόθον·
μοιρᾶς δ' οὐ λήθᾳ μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον
βάρβιτον οὐδὲ θανὼν εὖνασεν εἰν Ἀΐδῃ.

185. A.

A. Τίς ἄδε; B. Βάκχα. A. τίς δέ μιν ξέσε; B. Σκόπας.
A. Τίς δ' ἐξέμηνε, Βάκχος ἢ Σκόπας; B. Σκόπας.

185. B.

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Χάρης ἐποίει πηχέων ὁ Λίνδιος.

186.

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ', εἰκόνι τῇδε
τίμησ' εὐνοίης εὐσεβίης θ' ἕνεκα.

V. 6. *δόμων*, Pl. *δόμῳ*. — V. 9. P. in m. addit *εἰς ἀνακρεόντα*. — *λήθη* vulgo, *λήθει* P. Pl., *λῆγεν* Suidas v. *Μολπή*, unde Porson *λήγει*. — *ἐκεῖνον* P, *ἐκεῖνο* Pl., *τὸ κλεινὸν* Schneidewin.

Epigr. 185. A. Anth. Plan. 60: *Σιμωνίδου*. cf. Iriarte 95. Recentioris poetae esse manifestum est; isti enim poetae hoc argumentum saepius tractarunt, cf. Anth. IX. 774.

Epigr. 185. B. Anth. Plan. 82: *Σιμωνίδου*. cf. Iriarte 96. Hoc quoque a Simonide alienum esse apparet. Affert etiam Strabo XIV. 652: *ἄριστα δὲ ὅ τε τοῦ Ἡλίου κολοσσός, ὃν φησιν ὁ ποιήσας τὸ Ἰαμβεῖον, ὅτι ἑπτάκις δέκα Χάρης ἐποίει πηχέων ὁ Λίνδιος*. unde suspiceris epigrammatis auctorem incertum fuisse. Ceterum Strabo videtur in initio legisse: *Τὸν Ἡλίου κολοσσόν*, (auctor Epitomes ap. Kramerum T. III. 560. scribit *Κολοσσὸν Ἡλίου ποθ' ἑπτάκις κτλ.*) rectiusque *ἑπτάκις* scribit, quemadmodum etiam Plin. H. N. XXXIV. 41. cf. Eudoc. 429. Eustath. ad Dion. Per. 505. V. 2. *Χάρης* Strabo, *Λάχης* Planudes librarii errore, qui hominibus doctis negotia facessivit; cf. Pseudo-Draco Stratonic. p. 99: *Χάρης τὴν ἄρχουσαν συστέλλει, Σιμωνίδης· τὸν ἐν Ῥ. κ. ὀ. δ. Χάρης ἐποίει.*

Epigr. 186. Append. Anth. Pal. 77. ex cod. Pal., ubi apogr. Dorvill.: *Σίμωνος*. Simonidis certe non est, sed Schneidewin non recte ad Romana tempora refert; subscriptum fuit epigramma statuae, quam Athenienses auctore Lycurgo oratore in honorem Neoptolemi Anticlis filii Melitensis erexerunt, vid. Pseudoplut. vit. X orat. *ἔγραψε δὲ (Λυκοῦργος) καὶ Νεοπτόλεμον Ἀντικλέους στεφανῶσαι καὶ εἰκόνα ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν ἀγορᾷ κατὰ τὴν μαντείαν τοῦ θεοῦ*. Liberalitate et divitiis insignis fuisse videtur, vide Demosth. de Cor. §. 114: *εἶθ' οὑτοσὶ Νεοπτόλεμος πολλῶν ἔργων ἐπιστάτης ὢν ἐφ' οἷς ἐπέθωκε τετίμηται*. cf. Boeckh de re nav. Athen. p. 245.

Digitized by Google

187.

A. *Τίς εἰκόνα τάνδ' ἀνέθηκεν;* B. *Δωριεὺς ὁ Θούριος.*
A. *Οὐ Ῥόδιος γένος ἦν;* B. *Ναί, πρὶν φυγεῖν γε πατρίδα,*
δεινᾷ γε χειρὶ πολλὰ ῥέξας ἔργα καὶ βίαια.

188.

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

Alia plane abieci, nam Anthol. P. V. 161., quod olim Simonidi tribuebatur (cf. Iriarte p. 93.) in cod. P. inscribitur *Ἡδύλου*, οἱ δὲ *Ἀσκληπιάδου*; fortasse *Asclepiadis* est, qui alias et Boedium meretricem (V. 159.) et Cleophontem (V. 153.) memorat. Deinde Anth. P. VII. 187. *Φιλίππου* in cod. P. inscribitur, et infra tantum ubi repetitur post VII. 349. *Simonidi*, in Planudea vero *Leonidae* tribuitur; choliambi ib. VII. 345. ad Simonidem relati, Aeschrionis sunt. — Anth. P. IX. 147. *Antagorae* est, et in Plan. tantum *Σιμωνίδου* inscribitur. Porro Anth. Plan. 204., quod *Σιμωνίδου* inscribitur, potius *Praxitelis* est, vid. Athen. XIII. 591. A. itaque supra exhibui, quemadmodum aliud ap. Stob. Ecl. Phys. I. 9, 16. male adhaesit Simonidis epigrammati, cum *Agathonis* sit. — Epigramma *ἀδέσποτον* in Anth. P. VII. 306. (adde Plut. Themist. I. Athen XIII. 576. C) in Themistoclis matrem Schneidewin Simonidi tribuit, quod prorsus incertum. — Versus qui in Etym. M. p. 135, 30. vulgo *Simonidi* tribuitur, quem Schneidewin ad Simmiam retulit, *Simyli* elegiographi est (de quo vid. Plut. Romul. c. 17.) ut codd. testantur, estque sic scribendus:

Epigr. 187. Anth. P. XIII. 1: *Σιμωνίδου πεντάμετρον ὑποχρηματί.* Dorieus Rhodius sub initium belli Peloponnesiaci tribus deinceps Olympiadibus vicit, vid. Pausan. VI. 7, 1. qui deinde 9, 4. addit: *ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίροδος Θούριοι, διωχθέντες ὑπὸ τῶν ἀντισταντιαστῶν ἐκ τῆς Ῥόδου καὶ ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες.* cf. Xenoph. Hellen. I. 5, 19. Licuerit igitur de *Simonide genealogo* cogitare, sed res nimis incerta: fuit hoc epigramma opinor ut multa similia iam antiquitus *ἀδέσποτον* traditum. — V. 2. *γε*, P *τε*. — V. 3. *γε* scripsi, P *τε*. — *πολλὰ ῥέξας* Iacobs, P *πολλ' ἔρξας*.

Epigr. 188. Hephaest. 113: *Μετρικὰ δὲ ἄτακτα ... τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον· Ἴσθμια κτλ.* ubi v. 3. Fl. cod. Dorv. *πάλαι* pro *πάλᾳ*. Repetitur ib. 119. ubi v. 3. *Ἀριστόδημος Θρασὺς ἀλεῖος*, quod cum Scaliger correxisse perhibeatur, coniicias etiam priore loco eadem in codd. legi. V. 1 *Ἴσθμια*, Brunck coni. *Πύθια*, quoniam Elei ab Isthmiis certaminibus arcebantur, vid. Pausan. V. 2. 2 seqq. VI. 16, 2. et quoniam Paus. VI. 3, 4 dicit: *ἀνάκειται δὲ καὶ ἐξ αὐτῆς Ἤλιδος παλαιστὴς ἀνὴρ Ἀριστόδημος Θράσιδος· γεγονασι δὲ αὐτῷ καὶ Πυθοῖ δύο νῖκαι· ἡ δὲ εἰκὼν ἐστι Ἀριστοδήμου τέχνῃ Δαιδάλου τοῦ Σικυωνίου, μαθητοῦ καὶ πατρὸς Πατροκλέους.* Iam hic Aristodemus sec. Eusebium vicit Ol. 98., eademque aetate ialus vixit, Patroclis filius, hinc sane epigramma Simonidi Ceo abiudicatum, nisi statuas fuisse iam Simonidis aetate Aristodemum Olympionicen

Digitized by Google

Μύσιον ἀπύοντα (ἠπύοντα) παρὰ ῥόον Ἀργανθώνης: videtur autem ista de Hercule Hylam a Nymphis raptum quaerente Simylus dixisse: nam *cui non dictus Hylas puer?* — Contra fortasse poteram alia epigrammata adespota ad hunc poetam revocare, sed nolui nimis incertis coniecturis indulgere. Velut Simonidi, cum post Medicum bellum plurima in gratiam Atheniensium composuerit epigrammata, possis tribuere, quod servavit Harpocr. *πρὸς τῇ πυλίδι Ἑρμῆς· Ἀρξάμενοι πρῶτοι τειχίζειν τόνδ' ἀνέθηκαν βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.*

Simonidi tribuit Schneidewin elegans epigramma, quod est ap. Diodor. XI. 114. (Arsen. 97.):

Μνᾶμά τ' ἀλεξάνδρου πολέμου καὶ μάρτυρα νίκας
Δελφοί με στᾶσαν Ζανὶ χαριζόμενοι,
σὺν Φοίβῳ πτολίπορθον ἀπωσάμενοι στίχα Μήδων
καὶ χαλκοστέφανον ῥυσάμενοι τέμενος.

sed tamen prorsus incerta haec coniectura. Idem ad Simonidem retulit epigramma ap. Athen. XII. 536. B:

Μνᾶμ' ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας, ἄρχων Ἑλλάδος εὐρυχόρου
πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.

Idem Simonidi tribuit versus, qui leguntur ap. Plut. consol. ad Apollon. c. 15. vit. Pelop. c. 1. Stob. CVIII. 83. (ubi *οὔτε τὸ ζῆν . . . οὔτε*):

Οἳ θάνον οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ θνήσκειν,
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

ubi corrigit *οἳ δ' ἔθανον τὸ ζῆν θ. κ. οὔτε κτλ.* contra Goettling Opusc. 320. eosdem versus *Tyrtaeo* vindicare studet.

Brunck tribuit Simonidi epigramma Anthol. Plan. 84:

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε· παντὶ δ' ἐπ' ἔργῳ
μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

(ubi v. 1. malim ἔπ' i. e. ἔπεστι.) non improbabiliter, cum apud Planudem eodem loco legantur alia Simonidis epigrammata. Cf. etiam Iriart. Cod. Matr. 94. Idem vindicare voluit Simonidi epigr. adespoton Anthol. Pal. XIII. 17:

Ἰφίων ἔγραψεν ἑᾷ χερὶ τόν ποκα ὕδωρ
θρέψε Πειράνας ἄπο.

ubi v. 1. Iacobs *τάδ' ἔγραψε*, Schneidewin *ποκα νᾶμα* coniecit. Fort.

Ἰφίων ἔγραψεν ἑᾷ τάδε χειρί, τὸν ποχ' ὕδωρ,

sive *τάδ' ἔγραψεν ἑᾷ χερί, τόν ποχ' ἁγνὸν ὕδωρ* malis.

Digitized by Google

189. [108.]

ΑΤΑΚΤΟΙ ΛΟΓΟΙ.

Aristot. Metaph. N. 3: *πάντα δὴ ταῦτα ἄλογα, καὶ μάχεται καὶ αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος. γίγνεται γὰρ ὁ μακρὸς λόγος, ὥςπερ ὁ τῶν δούλων, ὅταν μηδὲν ὑγιὲς λέγωσιν.* ad quem locum Alex. Aphrodis. T. IV. p. 827. B: *τὸ δὲ καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος, σαφὲς ἔσται προειποῦσιν τίς ἐστιν ὁ Σιμωνίδου λόγος. Ὁ Σιμωνίδης ἐν τοῖς λόγοις, οὓς Ἀτάκτους ἐπιγράφει, μιμεῖται καὶ λέγει, οὓς εἰκός ἐστι λόγους λέγειν δούλους ἐπταικότας πρὸς δεσπότας ἐξετάζοντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι; καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς ἢ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφρασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸν βάρβαρον καὶ παιδείας ἄμοιρον . . . κατὰ γὴ τὸν τραγῳδόν· Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. . . .* Welcker haec retulit ad Simonid. Amorg. Fr. 10. Schneidewin in Museo Rhen. Novo VII. 460 seq. librum pedestri oratione *mimorum* in modum conscriptum fuisse putat et confert Arist. Rhet. III. 14.

ΕΞ ΑΔΗΛΩΝ.

190. [113.]

Mich. Psellus *περὶ ἐνεργ. δαιμ.* p. 5: *Κατὰ Σιμωνίδην ὁ λόγος τῶν πραγμάτων εἰκών ἐστιν.* nisi forte potius apophthegma est.

191. [114.]

Plato de Republ. I. 331. E: *Λέγε δή, εἶπον ἐγώ, σὺ ὁ τοῦ λόγου κληρονόμος, τί φῂς τὸν Σιμωνίδην λέγοντα ὀρθῶς λέγειν περὶ δικαιοσύνης; Ὅτι, ἦ δ' ὅς, τὸ τὰ ὀφειλόμενα ἑκάστῳ ἀποδιδόναι δίκαιόν ἐστι, τοῦτο λέγων δοκεῖ ἔμοιγε καλῶς λέγειν.* Cf. ib. 332. A. 334. E. et 335. D. Respicit huc Proclus ad Hesiod. Op. v. 707: *Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν.*

192. [118.]

Theon Progymnasm. I. 215. Walz: *Ἐκ δὲ τοῦ ἀσυμφόρου, ὅτι βλαβερῶς παραινεῖ Σιμωνίδης παίζειν ἐν τῷ βίῳ καὶ περὶ μηδὲν ἁπλῶς σπουδάζειν.*

193. [126.]

Plut. de Is. et Osir. c. 23: *Ὀκνῶ δέ, μὴ τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν καὶ πολεμεῖν οὐ* (sic AEFGHV, vulgo *ἐν*) *τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δ' ἀνθρώπων ἔθνεσιν κτλ.* Cf. vit. Thes. c. 10: *Οἱ Μεγαρόθεν συγγραφεῖς ὁμόσε τῇ φήμῃ βαδίζοντες καὶ τῷ πολλῷ χρόνῳ κατὰ Σιμωνίδην πολεμοῦντες.*

Digitized by Google

194. [222.]

Athen. V. 210. B: *Ἐν Φλιοῦντι κατὰ τὴν πολεμάρχειον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐπίχαρμος καὶ Σιμωνίδης.* fort. in *Epigrammate.*

195. [55.]

Mythogr. Vatic. III. 27: „Neque enim verum est, animam deserere corpus, cum potius corpus animam deserat. Hinc et Simonides poeta et Statius itidem in VIII.: „Odi artus fragilemque hunc corporis usum Desertorem animi." Cf. Schol. Stat. Theb. VIII. 739.

196. [56.]

Plutarch. Consol. ad Apoll. c. 17: *Τὰ γὰρ χίλια καὶ τὰ μύρια κατὰ Σιμωνίδην ἕτη στιγμή τις ἐστὶν ἀόριστος, μᾶλλον δὲ μόριόν τι βραχύτατον στιγμῆς.* nisi hoc inter apophthegmata est referendum.

197. [57.]

Strabo XV. 711: *Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.*

198. [13.]

Strabo IX. 441: *Διὰ δὲ τὸ ἀναμὶξ οἰκεῖν Σιμωνίδης Περραιβοὺς καὶ Λαπίθας καλεῖ τοὺς Πελασγιώτας ἅπαντας τοὺς τὰ ἑῷα κατέχοντας τὰ περὶ Γυρτῶνα καὶ τὰς ἐκβολὰς τοῦ Πηνειοῦ καὶ Ὄσσαν καὶ Πήλιον καὶ τὰ περὶ Δημητριάδα καὶ τὰ ἐν τῷ πεδίῳ, Λάρισσαν, Κραννῶνα, Σκοτοῦσσαν, Μόψιον, Ἄτρακα καὶ τὰ περὶ τὴν Νεσσωνίδα λίμνην καὶ Βοιβηΐδα.*

199.

Schol. Theocr. XII. 27: *ἀριστεύοντες· καὶ Σιμωνίδης ἐπαινεῖ τοὺς Μεγαρεῖς· ἦγουν ἄριστοι τὰ ναυτικά.* Nisi forte intelligit. Epigr. 110.

200.

Tzetz. Chil. I. 430:

Ἀτρέως ἐν τοῖς θρέμμασιν ἦν τι χρυσοῦν ἀρνίον,
Ὃ Σιμωνίδης πορφυροῦν εἶναι δὲ τοῦτο λέγει.

Schneidewin putat Tzetzen temere ad Atrei historiam transtulisse, quae de vellere Colchico dixit poeta Fr. 21.

201. [37.]

Himer. Or. XVI. 7: *Διὸ δὴ καὶ Σιμωνίδῃ πείθομαι, ὅπερ ἐκεῖνος ἐν μέλεσι περὶ Μουσῶν ἀνύμνησε· φησὶ γὰρ δήπου τοῦτο ἐκεῖνος· Ἀεὶ μὲν αἱ Μοῦσαι χορεύουσι καὶ φίλον ἐστὶ ταῖς θεαῖς ἐν ᾠδαῖς τε εἶναι καὶ κρούμασιν· ἐπειδὰν δὲ ἴδωσι τὸν Ἀπόλλωνα τῆς χορείας ἡγεῖσθαι ἀρχόμενον, τότε πλέον ἢ πρότερον τὸ μέλος ἐκτείνασαι ἦχόν τινα παναρμόνιον καθ' Ἑλικῶνος· ἐκπέμπουσιν.* Sunt fortasse ex *Paeanibus* petita:

Digitized by Google

202. [71.]

Phot. 500, 24: *Σαρδόνιος γέλως· — Σιμωνίδης δὲ τὸν Τάλων* (cod. σιαλον) *τὸν Ἡφαιστότευκτον Σαρδονίους, οὐ βουλομένους περαιῶσαι πρὸς Μίνωα, εἰς πῦρ καθαλλόμενον ὡς ἂν χαλκοῦν, προστερνιζόμενον ἀναιρεῖν ἐπιχάσκοντας.* Similia Suidas v. *Σαρδόνιος γέλως*. Cf. Zenob. V. 85: *Σιμωνίδης δὲ φησὶ τὸν Τάλω πρὸ τῆς εἰς Κρήτην ἀφίξεως οἰκῆσαι τὴν Σαρδὼ καὶ πολλοὺς τῶν ἐν ταύτῃ διαφθεῖραι, οὓς τελευτῶντας σεσηρέναι, καὶ ἐκ τούτου ὁ Σαρδόνιος γέλως.* ibiq. interpr.

203. [80.]

Schol. Hesiod. Theog. v. 313: *Τὴν ὕδραν Ἀλκαῖος μὲν ἑννεακέφαλόν φησι, Σιμωνίδης δὲ πεντηκοντακέφαλον.* Cf. Serv. Aen. VI. 576. et VII. 658.

204. [82.]

Argum. Eurip. Medeae: *Φερεκύδης δὲ καὶ Σιμωνίδης φασίν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε.* Cf. Schol. Arist. Eq. 1321.

205. [84.]

Schol. Pind. Pyth. IV. 450: *Καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία, ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο (οἱ Ἀργοναῦται).*

206. [86.]

Schol. Apoll. Rhod. IV. 1212: *Ἐφύρα ἡ Κόρινθος ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός· Εὔμηλος δὲ (φησὶν) ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως.* sed pro *Εὔμηλος* cod. P *Σιμωνίδης*, itaque scribendum haud dubie *Εὔμηλος δὲ καὶ Σιμωνίδης ἀπὸ Ἐφ.* ut Schneidewin quoque edidit. cf. Fr. 48.

207. [87.]

Schol. Eurip. Orest. 46: *Ὅμηρος δὲ ἐν Μυκήναις φησὶ τὰ βασίλεια Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαιμονίᾳ.*

208. [89.]

Schol. Il. ν'. 517. ubi de Idomeneo et Deiphobo dicit: *ὡς ἀνεραστὴς Ἑλένης· ὡς μαρτυρεῖ Ἴβυκος καὶ Σιμωνίδης.* Cf. Eust. Il. 944, 43: *Ἕτεροι δὲ ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ φασὶν ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηΐφοβος ὡς ἀνεραστῇ· ἦρα γάρ φασι καὶ αὐτὸς τῆς Ἑλένης.*

209. [90.]

Longin. de Sublim. c. 15, 7: *Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐκ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ δυσημείας τινὸς θάπτοντος πεφάνταται, καὶ κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως, προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου· ἦν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι.*

Digitized by Google

210.

Himer. Or. III. 1: *Ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος.* quae oratio habita veris initio. et Simonidis hoc carmen rursus videtur respicere XIII. 7: postquam dixit de Apolline Musageta, *οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος — εἰς Ἑλικῶνα πέμπουσιν, ἢ οἷον τὸν Βακχειώτην* (οὕτω γὰρ αὐτὸν ἡ λύρα καλεῖ τὸν Διόνυσον λέγουσα) *ἥρος ἄρτι τὸ πρῶτον ἐκλάμψαντος, ἄνθεσί τ' ἠρινοῖσι καὶ κισσοῦ κορύμβοις Μούσαις κάτοχοι ποιηταὶ στέψαντες, νῦν μὲν ἐπ' ἄκρας κορυφὰς Καυκάσου καὶ Λυδίας τέμπη, νῦν δὲ ἐπὶ Παρνασσοῦ σκοπέλους καὶ Δελφίδα πέτραν ἄγουσι, πηδῶντά τε αὐτὸν καὶ ταῖς Βάκχαις ἐνδιδόντα τὸν εὖϊον· ὅτε καὶ τὴν γῆν λόγος, οἷον αἰσθανομένην τῆς ἐπιδημίας αὐτοῦ, ῥεῖν μὲν μέλι καὶ γάλα καὶ ποταμούς τινας αὐτοῦ τοῦ νέκταρος Σατύροις τε καὶ Βάκχαις ἀρύεσθαι, καὶ μειδιᾶν μὲν ὁμοῦ ἡδύ τι καὶ χρυσαυγές, πορφύρειν δὲ ὅλην τοῖς ἄνθεσιν, ὅπως ἂν ἔχοι σκιρτᾶν τε καὶ ἀθύρειν ἐπ' αὐτῶν ὁ θεός· ἐμοὶ γὰρ καὶ τοῦτο τῷ θεῷ δοκεῖ εἰκότως ἐργάζεσθαι.* Videntur sane haec ex Simonideo aliquo dithyrambo petita, res tamen in Himerio perquam incerta, cf. ad Pind. Fr. 34.

211.

Cram. An. Paris. I. 166, 11: *Εἴ γε βούλεσθε μὴ ληρεῖν, ἀλλὰ τοὺς Ἕλληνας ἐλευθερῶσαι καὶ κτήσασθαι πάλιν αὖ τὴν πατρῴαν ἡγεμονίαν, ἀπροφασίστως δουλεύοντα κατὰ τὸν Σιμωνίδην· οὐδὲν γάρ που μέγα μικρῷ θεραπεύεται.* Locus nequit satis intelligi, cum quaedam verba excidisse videantur.

212. [6.]

Schol. Apoll. Rhod. I. 583: *Νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας ἐγγὺς Εὐβοίας· ἧς καὶ Σιμωνίδης μέμνηται.*

213. [92.]

Schol. Apoll. Rhod. IV. 815: *Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε, μεθ' ὃν Σιμωνίδης.* cf. Eudoc. 85.

214. [93.]

Schol. Hom. Il. β'. 872: *Ἡ διπλῆ, ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τό· ὃς καὶ χρυσὸν ἔχων, ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει· καὶ ὅτι οὐ λέγει, ὅπλα αὐτὸν ἔχειν χρυσᾶ, ὡς καὶ πάλιν ὁ Σιμωνίδης ἐξέλαβεν, ἀλλὰ κόσμον χρυσοῦν.* Suspicatus aliquando sum, Simonidem genealogum intelligendum esse, ut is iam epigrammata in Iliacos heroes composuerit.

215. [95.]

Schol. Pind. Olymp. XIII. 31: *Καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Ἄϊσων, οὗ μέμνηται Σιμωνίδης.*

Digitized by Google

216. [96.]

Schol. Il. ι'. 556: *Ἴδας ὁ Ἀφαρέως μὲν παῖς κατ' ἐπίκλησιν, γόνος δὲ Ποσειδῶνος, Λακεδαιμόνιος δὲ τὸ γένος, ἐπιθυμήσας γάμου παραγίνεται εἰς Ὀρτυγίαν τὴν ἐν Χαλκίδι καὶ ἐντεῦθεν ἁρπάζει τὴν Εὐηνοῦ θυγατέρα Μάρπησσαν· ἔχων δὲ ἵππους Ποσειδῶνος ἠπείγετο. ὁ δὲ Εὐηνὸς εἰς ἐπιζήτησιν ἐξῆλθε τῆς θυγατρός· ἐλθὼν δὲ κατὰ τὸν Λυκόρμαν ποταμὸν τῆς Αἰτωλίας ἑαυτὸν ἐκεῖ καθῆκεν· ὅθεν ὁ Λυκόρμας Εὐηνὸς ὠνομάσθη· κατὰ δὲ τὴν Ἀρήνην ἀπαντήσας ὁ Ἀπόλλων τῷ Ἴδᾳ λαμβάνεται τῆς Μαρπήσσης· ὁ δὲ ἔτεινε τὸ τόξον καὶ διεφέρετο περὶ τοῦ γάμου· οἷς κριτὴς ὁ Ζεὺς γενόμενος αἵρεσιν τοῦ γάμου ἐπὶ τῇ Μαρπήσσῃ τίθεται· ἡ δὲ δείσασα, μὴ αὐτὴν ἐπὶ γήρᾳ καταλίπῃ ὁ Ἀπόλλων, αἱρεῖται τὸν Ἴδαν· οὕτως δὴ Σιμωνίδης τὴν ἱστορίαν περιείργασται.*

217. [98.]

Plut. vit. Lycurg. c. 1: *ἐπεὶ καὶ Σιμωνίδης ὁ ποιητὴς οὐκ Εὐνόμου λέγει τὸν Λυκοῦργον πατρός, ἀλλὰ Πρυτάνιδος καὶ τὸν Λυκοῦργον καὶ τὸν Εὔνομον.* Cf. Schol. Platon. p. 419. ed. Bekk: *Λυκοῦργος — ἦν δὲ κατὰ Σιμωνίδην Πρυτάνιδος μὲν υἱός, Εὐνόμου δὲ ἀδελφός, καὶ θεῖος τοῦ Εὐνόμου υἱοῦ, Χαριλάου τοῦ βασιλεύσαντος τῆς Σπάρτης, ἧς ἦρξε καὶ Λυκοῦργος αὐτὸς ἔτη ιή'.*

218. [99.]

Plut. vit. Agesil. c. 1: *Διὸ καί φασιν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν, ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους.*

219. [100.]

Schol. Eurip. Rhes. v. 5: *Ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα — Στησίχορον δὲ ὁ Σιμωνίδης πενταφύλακον φησὶν ὑποτίθεσθαι τὴν νύκτα.* Legebatur *Στησίχορος* (cod. στησιχρ.), quod correxi, similiterque Vater, sed fort. rectius Cobet *Στησίχορον δὲ καὶ Σιμωνίδην* scripsit.

220. [101.]

Steph. Byz.: *Ἄκανθος — ἔστι καὶ ἡ Ἀθαμανίας. το ἐθνικὸν τῆς Ἀκάνθου Ἀκάνθιος· ἐξ οὗ καὶ παροιμία Ἀκάνθιος τέττιξ ἐπὶ τῶν ἀφώνων· τοιοῦτοι γὰρ οἱ τῆς χώρας τέττιγες, ὡς Σιμωνίδης.* Cf. Arsen. 444. Apostol. XVI. 33. Paroemiogr. II. p. 5.

221. [102.]

Athen. II. 40. A: *Ὅτι Σιμωνίδης τὴν αὐτὴν ἀρχὴν τίθησιν οἴνου καὶ μουσικῆς.*

222. [197.]

Plut. vit. Themist. c. 1: *ὅτι μέντοι τοῦ Λυκομιδῶν γένους μετεῖχε (Θεμιστοκλῆς), δῆλός ἐστι· τὸ γὰρ Φλυῆσι τελεστήριον, ὅπερ*

Digitized by Google

ἦν Λυκομιδῶν κοινόν, ἐμπρησθὲν ὑπὸ τῶν βαρβάρων, αὐτὸς ἐπεσκεύασε καὶ γραφαῖς ἐκόσμησε, ὡς Σιμωνίδης ἱστόρηκεν. Haud dubie in *Epigrammate*, quod in Themistoclis usum composuerat.

223.

Himer. Or. XXIX: *Καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ ἡ πόλις (Κέως) ἐσπούδασται.*

224. [129.]

Herodian. in Boiss. An. III. 250: *Ὡς δὴ ἐγὼ γελᾷ* (BD *γελῶ*) *παρὰ τῷ λυρικῷ Σιμωνίδῃ· τὸ γὰρ ἐγὼ πρώτου ἐστὶ προσώπου, τὸ δὲ γελᾷ τρίτου· διότι τοίνυν ἐπήνεγκε τῷ πρώτῳ τὸ ἀνακόλουθον, τὴν ὀρθοέπειαν ἔβλαψεν.*

225.

Ammian. Marc. XIV. 6: Ut enim Simonides lyricus docet, beate perfecta ratione victuro, ante alia patriam esse convenit gloriosam.

226. [112.]

Plut. vit. Arat. c. 45: *Καὶ γὰρ εἰ δεινὸν ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργήν, ἀλλ' ἐν ἀνάγκαις γλυκὺ γίνεται καὶ οὐ σκληρὸν κατὰ Σιμωνίδην, ὥςπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων.*

227.

Claudian. Epist. IV. 9:

Fors iuvat audentes, Cei sententia vatis.
Hac duce non dubitem, te reticente loqui.

Dixit fort. Simonides in illo carmine, e quo est Fr. 65. Ceterum alii libri *Chii* vel *prisci* exhibere dicuntur. Sed dubito iam, an Simonidis aut omnino Graeci poetae versum respexerit Claudianus: nam videtur intelligere versum, quem adhibet Seneca Epist. 94:

Audentes fortuna iuvat: piger ipse sibi obstat.

sic enim haec in unum sunt coniungenda. Fortasse Ennianus est versus, ut apud Claudianum legendum sit *Calabri* sententia vatis: quamquam aliquando conieci integrum hunc versum pertinere ad Virg. Aen. X. 284., ubi nunc tantum hemistichium *Audentis fortuna iuvat* extat. Et priori certe coniecturae adversari videtur Macrobius VI. 1. qui cum hoc Virgiliano hemistichio comparat Ennianum: *Fortibus est fortuna viris data.*

228. [134.]

Et. M. 83, 42: *Ἀμιθρῆσαι· Σιμωνίδης τὸν ἀριθμὸν ἀμιθρὸν εἶπε καθ' ὑπέρθεσιν.* nisi est Iambographi, vid. Fr. 3. cf. tamen etiam supra ad 128.

Digitized by Google

229. [115.]

Zonar. et Suid. v. *Ἀμύνασθαι·* — *Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδοῦναι.* cf. Philem. 141.

230. [138.]

Schol. Hom. Il. *o'*. 625: *Καὶ Σιμωνίδης ἀνεμοτρεφέων πυλάων εἴρηκε.* Cf. Kust. 1034, 2.

231. [70.]

Athen. III. 99. B: *Οἶδα δ' ὅτι καὶ Σιμωνίδης που ὁ ποιητὴς ἀρίσταρχον εἶπε τὸν Δία.*

232. [142.]

Schol. Hom. Il. *ω'*. 5: *Πανδαμάτωρ δὲ ὁ μηδένα ἐῶν ἀδάμαστον· Σιμωνίδης δὲ δαμασίφωτα τὸν ὕπνον εἶπεν.* Cf. Kust. 1336, 6.

233.

Schol. Hom. Il. *o'*. 713: *Μελάνδετα, σιδηρόδετα — τὴν δὲ λαβὴν δεσμὸν καλεῖ Σιμωνίδης.*

234. [78.]

Et. M. 60, 36: *Ἀλέρα καὶ Ἐλάρα· Ἐλάρας γενεά· οὕτως παρὰ Σιμωνίδῃ.*

235. [127.]

Et. M. 38, 46: *Αἰριπόλιοι δμωαί· Σιμωνίδης ἐκ τοῦ αἰριοπόλιοι* (DVa *αἰριπόλιοι*, Vba *αἰριοπόλιον*, P *αἰροπόλιοι*) *συγκοπῇ τοῦ ο. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.* Schneidewin *ἐριπόλιοι δμωαί*, sed potius *αἰριπόλοι*, dorica forma pro *εἰριπόλοι*, quod ab *εἴριον*, *ἔριον*, *ἔρι* (ut Philetas dixit) descendit, significatque nihil aliud, quam *ἐριουργοί*.

236. [130.]

Schol. Aesch. Choeph. 362: *Ἡ γνάθος συνήθης ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ, καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ.*

237. [143.]

Schol. Hom. Il. *δ'*. 79: *Τὸ θάμβος δὲ οὐδετέρως παρ' Ὁμήρῳ, παρὰ δὲ Σιμωνίδῃ ἀρσενικῶς.*

238.

Schol. Il. *ι'*. 586: *Κεδνότατοι· ὅτι σωφρονέστατοι. ὁ δὲ Σιμωνίδης κεδνοὺς τοὺς φίλους.*

Digitized by Google

239.

Schol. Il. ω'. 228: *Ἀρίσταρχος δέ φησι τὴν κιβωτὸν νεωτέραν εἶναι, ἀγνοεῖ δὲ ὅτι καὶ Σιμωνίδης καὶ Ἑκαταῖος μέμνηται αὐτῆς.* Schneidewin ad apophthegma refert, de quo auctor Argum. Theocriti Id. XVI: *Χάριτας αὐτὸ ἐπέγραψεν· ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια· λέγουσι γὰρ ἐκεῖνον ἔχειν δύο κιβώτια, τὸ μὲν Χαρίτων, τὸ δὲ Διδόντων. ὅτε οὖν τις παρ' αὐτὸν παρεγίνετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια· εὑρίσκετο οὖν τὸ μὲν τῶν Χαρίτων κενόν, τὸ δὲ τῶν Διδόντων πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.* Sed fortasse in carmine aliquo tale quid poeta significaverat.

240. [147. b.]

Gramm. Cram. An. Ox. I. 429, 15: *Τὰ εἰς τος δισύλλαβα ἀπαρασχημάτιστα ἔχοντα ἐν τῇ πρὸ τέλους τὸ ρ βαρύνεται· κύρτος, Μύρτος ἡ πόλις, κίρτος, παρὰ Σιμωνίδῃ ἡ χρῆσις.*

241. [146.]

Et. M. 692, 25: *Πρῴρα· σὺν τῷ ι ἀπὸ δὲ τῆς ἐτυμολογίας ἀπὸ τοῦ προϊέναι* (cf. Schol. Arati 341.) *καὶ ἀπὸ τῆς διαστάσεως· ἐπειδὴ εὕρηται κατὰ διάστασιν, ὡς παρὰ τῷ ποιητῇ κυανοπρῳῖρους* (cf. Lobeck Paralip. 214.) *καὶ παρὰ τῷ Σιμωνίδῃ κυανοπρῳΐραν* (M *κυανοπρώηραν*)· *τὸ δὲ πρώϊρα οἱ μὲν διὰ τοῦ ι λέγουσιν, ὡς ἀπὸ τοῦ πρῷρα, κατὰ διάστασιν τοῦ ι πρώϊρα, ὁ δὲ Ἡρωδιανὸς διὰ τῆς ει διφθόγγου γράφει.* Cf. Zonar. 1681.

242. [122.]

Tzetz. ad Hesiod. Op. V. 372: *Κωτίλη ἡ χελιδὼν διὰ τὸ λάλος εἶναι παρά τε Ἀνακρέοντι καὶ Σιμωνίδῃ καλεῖται.*

243. [88.]

Hesych.: *Νεαιρήϊσιν ἵπποις, τοῖς ἀπὸ Νεαίρας· καὶ Σιμωνίδης Νεαίραν γνάθον, Νέαιρα δὲ χωρίον ἐν Λήμνῳ.* legendum videtur *νέαιραν γνάθον.*

244. [79.]

Hesych.: *Οἰκιάδης, Σιμωνίδης, καὶ Ἱππόνου πατήρ.* Alberti coni. *Οἰκιάδης· Σιμωνίδης.* (*Δεξαμενοῦ*) *καὶ Ἱππονόου πατὴρ* (*Οἰκεύς*).

245. [131.]

Athen. XI. 498. D: *Σιμωνίδης δ' οὐατόεντα σκύφον ἔφη.* Cf. Eust. 870, 6. et 1775, 19. Favor. 332.

246. [97.]

Schol. Pind. Ol. 28: *Τὸ Πίσας τε συσταλτέον διὰ τὸ ἀντίστροφον· οὕτω δὲ οἱ περὶ Πίνδαρον καὶ Σιμωνίδην.*

Digitized by Google

247. [137.]

Eust. Il. 877, 57: *Προφέρει δὲ ('Αριστοφάνης ὁ γραμματικὸς) καὶ Σιμωνίδου χρήσεις, ἐν αἷς βοῦν ἄῤῥενα ὅτε μὲν ταῦρον, ὅτε δὲ μᾶλον, ἤγουν μῆλον, ὅτε δὲ πρόβατον ἐκεῖνος ὀνομάζει.* Cf. id. 1649, 2.

248. [139.]

Choerobosc. Epim. I. 279 (Bekk. An. III. 1424.): *Τριγλώχιν, — πλατυτέρα δέ ἐστιν ἡ εἰς σ̄ λήγουσα κατάληξις, σπανιωτέρα δὲ ἡ εἰς ν̄, σπανίως γὰρ εὕρηται ἐν χρήσει ἡ εἰς ν̄ κατάληξις, ὡς παρὰ Σιμωνίδῃ· τριγλώχιν ὀϊστός.*

249. [144.]

Gramm. post. Et. Gud. 645, 43: *Φύξιμος ὁδμή, ἡ φυγὴν ἐμποιοῦσα, Σιμωνίδης ὁ Τήϊος ἀπὸ τῆς Τέω.*

Simonidis nomen H. Keil restituere voluit apud Probum ad Virg. Ecl. II. 48: „Narcissus flos *Eu zimades* refert a Narcisso Amarynthi, qui fuit Eretrieus ex insula Euboea.“ — Porro Meineke apud Herodian *π. μ. λέξ.* 9, 31. *Δεξικρῶν Ἑρμονίδης*, coniecit *Σιμωνίδης*. mihi tamen grammaticus videtur Dexicreontem Samium (vid. Plut. Quaest. Graec. 45.) intellexisse, et fortasse *Ἑρμονίδης*, quippe quod sit ortum ex sequente *Ἑρμοκρῶν*, plane fuerit delendum. — Ap. Stob. Flor. CXXI. 3: *Σιμωνίδου* (sic ex Trinc., ubi *Σιμονίδου*)·

Βιοτῆς μὲν γὰρ χρόνος ἔστι βραχύς·
κρυφθεὶς δ' ὑπὸ γῆς
κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

ν ο

at cod. Vind. *Σοφος ταντᾶ χ*, ut appareat scribendum esse *Σοφοκλέους Ταντάλου χόρου*, quemadmodum Wagner nuper correxit. — *Simonidi* tribuitur rursus ap. Stob. Ecl. Phys. I. 2, 19. *Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις*, qui alias etiam Pindaro vel Menandro tribuitur, at est is potius Sophocleus, vid. Orion Anthol. 5, 6. ibique Schneidewin: adde etiam Paroemiogr. T. II. 173. ed. Gotting. — Apud Schol. Soph. Electr. 139: *καὶ Αἰσχύλος· Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ· μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.* extrema haec Schneidewin Simonidi vindicare voluit. — *Scolion*, quod vulgo Simonidi tribuebatur, vid. Scol. 8.

Digitized by Google

XXV.

TIMOCREON.

MELH.

1.

Stropha.



Epodus.



Ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνέεις ἀντ.
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω

Timocreon. Fr. 1. Plut. vit. Themistocl. c. 21: *Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένου δι' ἀργίριον· λέγει δ' οὕτως· Ἀλλ' κτλ.* Numeri quomodo describendi sint, valde dubium, aliter constituit Boeckh in prooemio lect. Berolin. 1833., aliter Hermann in Praef. Epit. doctr. Metr. p. XVIII. ed. 2., aliter denique Ahrens Dial. Dor. 477. qui stropham, antistropham et epodum integras superesse credit, simulque docet, quo pacto Timocreon si genuina Doride uti didicisset, scribere debuisset. V. 1. *Παυσανίαν ἢ καὶ τύγε* om. Fa, *καὶ* om. C ia. — *αἰνεῖς*, Fa *αἰνέσεις*, unde *αἰνέεις* restituere possis. — V. 2. *Ἀριστείδαν*, *ἀριστείδην* ACFa.

Digitized by Google

ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον, ἐπεὶ Θεμιστοκλῆ' ἤχθαρε Λατώ,

ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ἐπῳδ.
ξεῖνον ἐόντ' ἀργυρίοισι κυβαλικοῖσι πεισθεὶς οὐ κατᾶγεν
ἐς πατρίδ' Ἰάλυσον, λαβὼν δέ
τρί' ἀργύρου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων,
ἀργυρίων ὑπόπλεως·
Ἰσθμοῖ δὲ πανδόκευε γλοιῶς ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γενέσθαι.

2.

–́ ⏑ – –̆ –́ ⏑ –
⏑́⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –̆

Μοῦσα, τοῦδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

3.

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
– –́ ⏑ – –̆ –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – –

V. 3. ἄνδρ', libri ἄνδρα. — V. 4. ἐλθεῖν ἕνα λῷστον, Fa ὃς ἦλθε λεκτός, Boeckh coni. ἐλθέμεν λῷστον. — ἐπεὶ Fa, ut Hermann coniecit, vulgo ἐπεὶ δὲ, Vq ἐπὶ δὲ. — Θεμιστοκλῆ' Hermann, vulgo Θεμιστοκλῆα, Fa Θεμιστοκλέα δ', Ahrens Θεμιστοκλῆ. — ἤχθαρε, Fa ἤχθαιρε. — V. 6. ἐόντ', libri ἐόντα. — κυβαλικοῖσι scripsi, nisi κοβαλικοῖσι malis, vulgo σκυβαλικοῖσι, i βαλικοῖσι, Fa et C supra κυμβαλικοῖσι. Cf. Hesychius Κυμβαλικὸν τρόπον et κυβηλικὸν τρόπον. Hermann σκυβαλικτοῖσι. — κατᾶγεν, Fa κατήγαγεν. — V. 7. πατρίδ', vulgo πατρίδα, Hermann πάτραν. — V. 8. τρί' ABc, vulgo τρία. — ἀργύρου scripsi, vulgo ἀργυρίου. — εἰς. Fa ἐπ'. — V. 9. δ' ἐκδιώκων, δὲ ἐκδιώκων A, δὲ διώκων Fa. — καίνων, κενῶν ACRTSBcVi. — V. 10. ἀργυρίων, Hermann ἀργυρέων. — ὑπόπλεως, Ahrens ὑπόπλεος, et sane Fa ἀργυρίου δὲ ὑπόπλειος exhibet. — V. 11. δὲ πανδόκευε FaCA, δ' ἐπανδόκευε vulgo, δ' ἐπανδόκεε Boeckh, δ' ἐπανδόκει Mehlhorn, δὲ πανδοκεὺς Hermann. — γλοιῶς scripsi, legebatur γελοίως. Cf. Hesych. v. γλοιῶς. — ψυχρὰ, Bc ψύχεια, Ahrens ψηχρὰ, Sintenis γλισχρὰ. — V. 12. κηὔχοντο, Fa καὶ εὔχοντο. — ὥραν, Ahrens ὤραν, quod metro non satis convenire videtur: nescio an χώραν scribendum sit. Θεμιστοκλέους, Hermann Θεμιστοκλεῦς, Ahrens Θεμιστοκλέος.

Fr. 2. Plut. vit. Themist. c. 21: Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα βλασφημίᾳ κέχρηται μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή· Μοῦσα κτλ. V. 1. τοῦ, Fa τοῦ δέ. — V. 2. κλέος om. Bc.

Digitized by Google

–́ ⏑ – ⏓ –́ ⏑ – ⏓
5 –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ . . . .

Οὐκ ἄρα Τιμοκρέων μοῦνος
Μήδοισιν ὁρκιατομεῖ,
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί·
οὐκ ἐγὼ μόνα κόλουρις·
5 *ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.*

4.

Diogenian. Praef. 179: *Καρικὸς δὲ αἶνος λέγεται, ὃν ἀναφέρουσιν εἰς γένει Κᾶρα ἄνδρα· τοῦτον γὰρ ἁλιέα τυγχάνοντα χειμῶνος θεασάμενον πολύποδα εἰπεῖν· εἰ μὲν ἀποδὺς κολυμβήσαιμι ἐπ' αὐτόν, ῥιγώσω, ἐὰν δὲ μὴ λάβω τὸν πολύποδα, τῷ λιμῷ τὰ παιδί' ἀπολῶ. Κέχρηται δὲ τῷ λόγῳ τούτῳ καὶ Τιμοκρέων ἐν μέλεσιν.* Cf. Walz. Rhet. II. 11.

5.

Diogenian. Praef. 180: *Ὁ δὲ Κύπριος (αἶνος) προςηγόρευται διὰ τὸ παρὰ Κυπρίοις λέγεσθαι ὡς ἐπιχώριος· κέχρηται δὲ καὶ τούτῳ Τιμοκρέων, ἐμφαίνων ὡς οἱ ἄδικα πράσσοντες καὶ ἐς ὕστερον τῶν προςηκόντων τυγχάνουσιν. Καὶ γὰρ τῷ Ἀδώνιδι ἐν Κύπρῳ τιμηθέντι ὑπὸ τῆς Ἀφροδίτης μετὰ τὴν τελευτὴν οἱ Κύπριοι ζώσας ἐνίεσαν περιστεράς, αἱ δ' ἀποπτᾶσαι καὶ διαφυγοῦσαι αὖθις ἀδοκήτως εἰς ἄλλην ἐμπεσοῦσαι πυρὰν διεφθάρησαν.* Cf. Walz Rhett. II. 12.

6.

⏑ ⏑ –́ – ⏑ ⏑ –́
⏑ ⏑ –́ – ⏑ ⏑ –́

Σικελὸς κομψὸς ἀνήρ
ποτὶ τὰν ματέρ' ἔφα.

Fr. 3. Plut. vit. Themist. c. 21: *Λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους· ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν· Οὐκ ἄρα κτλ.* V. 1. *μοῦνος*, Hermann *μοῦνος ὅς*, Ahrens contra *οὐκ ἄρα Τιμοκρέων μόνος*. — V. 2. *ὁρκιατομεῖ* Hermann, vulgo *ὅρκια τέμοι*, F *μήλοισιν ὅρκια τομή*, A *ὅρκια τέμνω* (vel *τέμω*), x *ὅρκια τέμνει*. V. 3—5. affert Apost. VII. 28. et Arsen. 231., ubi *καὶ ἄλλοι πονηροὶ* scriptum. — V. 3. et 5. *ἐντὶ*, FaAia *ἔντι*. — V. 4. *οὐκ*, Hermann *κοὐκ*. — V. 5. *ἄλλαι*, ia *ἄλλοι*.

Fr. 6. Hephaest. 71: *Τῷ καθαρῷ ἑφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε· Σικελὸς κτλ.* Respicere videtur Plato Gorg. 493. A: *Καὶ τοῦτο ἄρα τις μυθολογῶν, κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πιστικὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους.* ubi Schol. *οἷον Ἐμπεδοκλῆς· Πυθαγόρειος δ' οὗτος ἦν, ὑπῆρχε δὲ Ἀκραγαντῖνος· Ἀκράγας δὲ πόλις Σικελίας . . . ἀφ' ἧς οὗτός τε καὶ Ὀλύμπιος* (Schol. Olympiodori *ὀλύμπος*) *ὁ μελοποιός.*

Digitized by Google

7.

Schol. Aristoph. Vesp. 1063: *Πρὶν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ' οἴχεται· κύκνου τ' ἔτι πολιώτεραι δὴ αἶδ' ἐπανθοῦσιν τρίχες.* Δίδυμός φησιν, ὡς παρῴδησε ταῦτα ἐκ τῶν τοῦ Τιμοκρέοντος τοῦ Ῥοδίου.

8.

ΣΚΟΛΙΟΝ.

⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –
⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – .

Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε, μήτε γῇ μήτ' ἐν θαλάσσῃ
μήτ' ἐν ἠπείρῳ φανῆμεν,
ἀλλὰ Τάρταρόν τε ναίειν κἀχέροντα· διὰ σὲ γὰρ πάντ'
(ἔστ') ἐν ἀνθρώποις κακά.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

9.

Ὠι ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα.

10.

Κηΐα με προσῆλθε φλυαρία οὐκ ἐθέλοντα.
Οὐκ ἐθέλοντά με προσῆλθε Κηΐα φλυαρία.

Fr. 8. Schol. Arist. Acharn. 532: *Τιμοκρέων δὲ ὁ Ῥόδιος μελοποιὸς τοιοῦτον ἔγραψε σκόλιον κατὰ τοῦ Πλούτου, οὗ ἡ ἀρχή· Ὤφελες, ὦ τ. Π.. μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ φανήμεναι, ἀλλὰ Τ. τε ν. κἀχέροντα· διὰ σὲ γὰρ πάντ' ἐν ἀ. κακά.* Eadem Schol. Arist. Ran. 1302. ed. Ald. (ubi *γε ναίειν*) et Suidas v. *Σκόλιον.* (ubi *ὄφελες*). Cf. Isidor. Pelus. Ep. II. 146: *Ἔθος ἦν παλαιὸν μετὰ τὴν συνεστίασιν ἅπτεσθαι λύρας καὶ ᾄδειν· Ἀπόλοιο, ὦ Πλοῦτε, καὶ μήτε ἐν γῇ φανείης, μήτ' ἐν θαλάσσῃ.* V. 1. ὄφελέν σ' Mehlhorn, vulgo ὤφελες vel ὄφελες. — *μήτε γῇ*, legebatur *μήτ' ἐν γῇ*. — *ἠπείρῳ*, Schneidewin *οὐρανῷ*. — *φανῆμεν* scripsi, *φανῆναι* Hoepfner, vulgo *φανῆμεναι*. Natalis Com. 182. *φανήμεναι ποτέ*. — V. 2. *ἔστ' ἐν* Meineke, v. *ἐν*.

Fr. 9. Heph. 4: *Τιμοκρέων ἐν τοῖς Ἐπιγράμμασι· ᾧ ξυμβ. ᾧ*, Boeckh *τῷ*. — *χὲρς ἄπο, νοῦς δὲ* Toup, *σὲρς ἀπὸ νοῦς δὴ* FlBH, *χερσίν σ' ἄπο* C, *σερσ' ἀποίνους δὴ* N, *χέρσ' ἄπο* Turn.

Fr. 10. Anth. Pal. XIII. 31: *Τιμοκρέοντος Ῥοδίου ὁμοίως.* Cf. Ep. Simonid. 173. Aliud epigramma Timocreonti tribuunt edd. vett. Anth. Planud. (cf. Iriarte 92.) sed rectius *Ἑρμοκρέοντος* inscribitur, vid. Anth. Plan. 11.

Digitized by Google

XXVI.

MYRTIS.

Plutarch. Quaest. Graec. c. 40: *Ἐλιέως τοῦ Κηφισοῦ καὶ Σκιάδος Εὔνοστος ἦν υἱός, ᾧ φασὶν ὑπὸ νύμφης Εὐνόστας ἐκτραφέντι τοῦτο γενέσθαι τοὔνομα. Καλὸς δὲ ὢν καὶ δίκαιος οὐχ ἧττον ἦν σώφρων καὶ αὐστηρός· ἐρασθῆναι δὲ αὐτοῦ λέγουσιν Ὄχναν, μίαν τῶν Κολωνοῦ θυγατέρων ἀνεψιὰν οὖσαν. Ἐπεὶ δὲ πειρῶσαν ὁ Εὔνοστος ἀπετρέψατο, καὶ λοιδορήσας ἀπῆλθεν εἰς τοὺς ἀδελφοὺς κατηγορήσων, ἔφθασεν ἡ παρθένος τοῦτο πράξασα κατ' ἐκείνου καὶ παρώξυνε τοὺς ἀδελφοὺς Ἔχεμον καὶ Λέοντα καὶ Βούκολον ἀποκτεῖναι τὸν Εὔνοστον, ὡς πρὸς βίαν αὐτῇ συγγεγενημένον. Ἐκεῖνοι μὲν οὖν ἐνεδρεύσαντες ἀπέκτειναν τὸν νεανίσκον· ὁ δὲ Ἐλιεὺς ἐκείνους ἔδησεν· ἡ δ' Ὄχνη μεταμελομένη καὶ γέμουσα ταραχῆς, ἅμα μὲν αὑτὴν ἀπαλλάξαι θέλουσα τῆς διὰ τὸν ἔρωτα λύπης, ἅμα δ' οἰκτείρουσα τοὺς ἀδελφούς, ἐξήγγειλε πρὸς τὸν Ἐλιέα πᾶσαν τὴν ἀλήθειαν, ἐκεῖνος δὲ Κολωνῷ· Κολωνοῦ δὲ δικάσαντος οἱ μὲν ἀδελφοὶ τῆς Ὄχνης ἔφυγον, αὐτὴ δὲ κατεκρήμνισεν ἑαυτήν, ὡς Μυρτὶς ἡ Ἀνθηδονία ποιητρία μελῶν ἱστόρηκεν.*

XXVII.

CORINNA.

ΒΟΙΩΤΟΣ.

1.

x
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ – ⏓

Τοὺ δέ, μάκαρ Κρονίδα, τοὺ Ποτειδάων ἄναξ Βοιωτέ.

Corinna. Fr. 1. Herodian. *περὶ μον. λέξ.* 11, 8: *Παρὰ μέντοι Βοιωτοῖς Ποτειδάων τραπέντος τοῦ σ εἰς τ· Κόριννα· Βοιωτοὶ τοῦδε μάκαρ Κρονίδη· τοῦ ποτειδάωνος ἄναξ βοίωτε. ὅτι πολλοὺς ἐποίησε σχηματισμοὺς καὶ ἐν ἑτέροις εἴρηται.* Recte Ahrens *Κόριννα Βοιωτῳ· τοὺ δέ.* — *Κρονίδα* scripsi, Ahrens *Κρονιδῆε.* — *Ποτειδάων* scripsi, Ahrens *τοὺ Ποτιδάωνος, Fάναξ.*

Digitized by Google

ΚΑΤΑΠΛΟΤΣ.

2.

x – ⏑ – ⏑ ⏑ – ⏑ –
⏑ ⏑ – – ⏑ – ⏑ ⏑ –
⏑ – ⏑ – ⏑

Νίκασ' ὁ μεγαλοσθένης
Ὠαρίων, χώραν τ' ἀπ' ἐοῦς
πᾶσαν ὠνοίμηνεν.

3.

Schol. Nicand. Ther. 15: Οἱ δὲ πλείους Ταναγραῖον εἶναί φασι τὸν Ὡρίωνα· Κόρινναδ' εὐσεβέστατον αὐτὸν λέγει καὶ ἀπελθόντα πολλοὺς τόπους ἡμερῶσαι καὶ καθαρίσαι ἀπὸ θηρίων.

4.

– ⏑ – ⏑ ⏑ – ⏑ –

Οὐ γὰρ τὶν ὁ φθονερὸς δαίμων.

ΙΟΛΛΟΣ.

5.

Apoll. de pron. 373. B: Διὰ τοῦ ε ἡ νῶε παρὰ Ἀντιμάχῳ ... καὶ τούτε νῶε ἐν Ἰολάῳ Κόρινναδ. Cod. τούτε, divisit Boeckh.

ΕΠΤ' ΕΠΙ ΘΗΒΑΙΣ.

6.

– ⏑ ⏑ – ⏑ –

Οὐμὲς δὲ κομισθέντες.

Fr. 2. Apollon. de Pron. 358. B: Ἐοῦς. Αὕτη ἀκόλουθος Δωριεῖ τῇ τεοῦς, ἢ συνεχῶς καὶ Κόρινναδ ἐχρήσατο. ἐν Καταπλῳ· Νίκασ' κτλ. V. 1. ὁ, Hermann ὅν. — μεγαλοσθένης, Ahrens μεγαλοσθένεις. — V. 2. Ὠαρίων, cod. ὠαρείων.

Fr. 4. Apollon. Pronom. 365. B: (Τὶν) τίθεται παρὰ Κορίννῃ καὶ ἐπ' αἰτιατικῆς ἐν Καταπλῳ· Οὐ κτλ. ἀντὶ τοῦ σέ, καὶ σαφὲς ὡς καὶ ἐναλλαγὴν πτώσεως. — ὁ fort. del. — δαίμων, δήμων Ahrens.

Fr. 6. Apollon. de Pron. 379. B: Βοιωτοὶ μετὰ διφθόγγου τοῦ ου· οὐμὲς δὲ κ. Κόρινναδ ἑπτ' ἐπὶ Θήβαις.

Digitized by Google

ETEPOIA.

7.

Anton. Liberal. c. 25: *Μητιόχη καὶ Μενίππη. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ' καὶ Κόρινναἑτεροίων α'. Ὡρίωνος τοῦ Τριέως ἐν Βοιωτίᾳ ἐγένοντο θυγατέρες Μητιόχη καὶ Μενίππη· αὗται, ὅτε Ὡρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο παρὰ τῇ μητρί, καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν, Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος. ἐπεὶ δὲ Ἀονίαν ὅλην ἔλαβε λοιμὸς καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον· καὶ αὐτοῖς εἶπεν ὁ θεός, ἱλάσσασθαι δύο τοὺς Ἐριουνίους θεούς· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν μῆνιν, εἰ δύο δυσὶν ἑκοῦσαι παρθένοι θύματα γένοιντο· πρὸς δὲ δὴ τὸ μαντεῖον οὐδεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὡρίωνος. αἱ δ' ὡς ἐπύθοντο περὶ τὸν ἱστὸν ἔχουσαι, τὸν ὑπὲρ ἀστῶν θάνατον ἐδέξαντο πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον, τρὶς δὲ βοησάμενοι χθονίους δαίμονας, ὅτι αὐτοῖς ἑκοῦσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα, καὶ ἀνέρρηξαν τὴν σφαγήν· καὶ αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν· Φερσεφόνη δὲ καὶ Ἅιδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν· ἀντὶ δ' ἐκείνων ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες ἀνηνέχθησαν εἰς οὐρανόν, καὶ αὐτοὺς ὠνόμασαν ἄνθρωποι κομήτας· ἱδρύσαντο δὲ πάντες Ἅονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων· καὶ αὐταῖς καθ' ἕκαστον ἔτος κόροι τε καὶ κόραι μειλίγματα φέρουσιν· προσαγορεύουσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς κορωνίδας παρθένους.* Carminis titulus insolentia offendit, sed *Παρθενίων*, quod aliquis coniiciat, nimis recedit, fort. simpliciter *Κόρινναα'* scribendum, ut *ἑτεροίων* temere ex praegresso *ἑτεροιουμένων* sit additum.

* 8.

˘ ∪ ∪ – ⏑ ∪ ∪ – ∪ ∪ –

Καλλιχόρῳ χθονὸς Οὐρίας θυγάτηρ.

9.

Ἦ διανεκῶς εὖδεις; οὐ μὰν πάρος ἦσθα Κόρινα.

Fr. 8. Priscian. I. 35. Krehl: „*In plerisque tamen Aeoles hoc secuti fuerunt: illi enim θυγάτηρ pro θυγάτηρ, ου corripientes, vel magis υ sono u soliti sunt pronunciare, ideoque adscribunt ο, non ut diphthongum faciant, sed ut sonum υ Aeolicum ostendant, ut Καλλιχώρου χθονὸς εὐρείας θυγάτηρ.* Corinnae tribuit Welcker, cum in antiquis editionibus contra codicum auctoritatem Callimacho sit tributum. — *Καλλιχόρῳ, καλλιχόρου* cod. Heidelb., vulgo *καλλιχώρου*. — *Οὐρίας* Müller, vulgo *οὐρίας*, cod. Heidelb. *εὐρείας*, Erl. I. *σηυρηιας*, Lips. I. *συρείας*. — *θυγάτηρ*, Ahrens *θυγάτειρ*.

Fr. 9. Hephaest. 22: *Ἔστι μέντοι καὶ ἐν ἔπει, ὡς παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ· ἦ διανεκῶς κτλ.* ubi C *διαννιεκῶς*, Turn. *οἰσθα*. Locus valde suspectus de vitio: ferrem si *ἦ* abesset, *Διανεκέως εὖδεις*, nisi forte scrib. *Ἦ ἀβακέως εὖδεις*. Post *Κόρινα* Hermann addit *Ὑπναλέα*.

Digitized by Google

10.

⏑ ˊ ˊ – ˣ – – ˊ ⏑ ⏑ – – ˊ ⏑ –

Ἰώνει Fῦδ' εἰρώων ἀρετὰς χειρωάδων.

11.

ˊ
⏑ ⏑ – – ˊ ⏑ ⏑ – ⏑ – ˊ – –

Περὶ τεοῦς Ἑρμᾶς ποτ' Ἄρενα πουκτεύϊ.

12.

ˣ – – ˊ ⏑ ⏑ – ⏑ –

Λάδοντος δονακοτρόφω.

13.

ˊ – – – ˊ ⏑ ⏑ –

Κὴ πεντήκονθ' οὐψιβίας.

14. 15. 16. 17. 18.

ˊ ⏑ ⏑ – ⏑ – –
ˣ ⏑ ⏑ ˊ – ˊ ⏑ ⏑ –
ˣ ⏑ – ˊ ⏑ ⏑ – ⏑ ⏑ –
ˣ ⏑ ⏑ ˊ ⏑ ⏑ – –
ˣ ⏑ ⏑ ˊ ⏑ ⏑ – –

Fr. 10. Apollon. de Pron. 325. A: *Βοιωτοὶ ἰών, . . . Κόρεννα — καὶ ἔτι· ιωνει ἠδ' ἠρώων ἀρετὰς χειρωαδων.* Emendavit Ahrens, ego olim scripseram *ἰὼν ἄειδον εἰρώων ἀρ. χειρωΐδων.*

Fr. 11. Apollon. de Pron. 355. C: *Τεοῦς — καὶ ἔτι Κόρεννα· περὶ τ. Ἑρ. ποτ' αρεναπουκτευϊ.* Correxit Boeckh. (Valckenaer *Ἄρηα πουκτεύει*).

Fr. 12. Theodos. ap. Dindorf. ad Aristoph. Schol. T. III. p. 418. *Κόρεννα· Λάδ. δονακοτρόφου*, quod correxi, nisi forte *Νέδοντος* potius scribendum, vid. Fr. 38.

Fr. 13. Hephaest. 108: *Καὶ ἐπὶ τῶν γλυκωνείων τοιαῦτα σχήματα παραλαμβάνεται· οἷον ἐν τοῖς Κορίννης — ὧδε καὶ τόδε· Καὶ πεντήκονθ' οὐ ψιβίας* (schol. *οὐψιβίας*), *κὴ* Ahrens, idem vero etiam *πεντείκονθ'*.

Fr. 14. 15. 16. 17. 18. Hephaest. 106: *Ἔτι δὲ καὶ πλείοσιν αὔξη* (*Κόρεννα*) *κέχρηται σχήμασιν· Λούρατος κτλ.* Hermann coni. *Λούρατος ὥστ' ἔφ' ἵππίω Κάρτα κε βρεμομενοι πόλιν Διεπράθομεν ἀπροφανές· Γλούκου δέ που τις ἀοιδιῶν Πελέκεσσι δονεῖτ' ἄν.* probante Schneidewino, nisi quod *ὡς ἀφ' ἵππίω κάρτα μέγα βριμούμενοι π. ἐπ. ἀπροφανές· γλ. δέ πω τις ἀΓοιδιῶν πελεκέεσσι δονεῖτη* scripsit. At non cohaerent haec reliquiae, sed ex uno eodemque petitae videntur carmine.

Digitized by Google

Δώρατος ὥστ' ἐφ' ἵππω.
Κατὰ μὲν βριμαόμενοι.
Πόλιν δ' ἐπράθομεν προχάνης.
Γλουκοὺ δή τις ἀΐδων.
Πελέκεσσι δονεῖτη.

19.

. . . – –́ ⏑ ⏑ – ⏑
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ –
–́ ⏑ – ⏑ – –

(*Εὐωνυμίης*)

πῆδα Fὸν θέλωσα φίλης
ἀγκάλης ἑλέσθη.

20.

⏑́⏑⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –
⏑́⏑⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –
⏑́⏑⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –
⏑́⏑⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –

Καλὰ γέροια εἰσομένα
Ταναγρίδεσσι λευκοπέπλυς·
μέγα δ' ἐμῆς γέγαθε πόλις
λιγουροκωτίλης ἐνόπης.

21.

–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑
⏑́⏑⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑́⏑⏑ ⏑ ⏓

Fr. 14. *δώρατος* scripsi, vulgo *δούρατος*. — Fr. 15. *κατά*, C *καὶ τά*. — *βριμαόμενοι* scripsi, vulgo *βριμούμενοι*, C *βριμόμενοι*. — Fr. 16. *προχάνης* i. e. *προχάναις* scripsi, vulgo *προφανής*, schol. *προφάνης*. idque coniungebatur cum Fr. 17. — Fr. 17. *γλουκού*, vulgo *γλούκου*, Turneb. *γλυκοῦ*. — *δή* scripsi, vulgo *δέ*. — *ἀΐδων* Ahrens, C *ἀεῖδων*, Fl. *αἰδών*, A *ἀηδών*, vulgo *δονεῖται*. — Fr. 18. *δονεῖτη* Boeckh, vulgo *ᾄδων*.

Fr. 19. Apollon. de Pron. 396. B: *Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος· ὁμοίως καὶ Βοιωτοί· ευωνιμιης Κοριννα πηδεγον θελωσα φίλης ἀγκάλης ελησθη.* Emendavit Boeckh, sed *εὐωνυμίης* vix rectum, videtur titulus carminis latere.

Fr. 20. Hephaest. 106: *Ὁμοίως δὲ καὶ ἐπὶ τῶν Γλυκωνείων τοιαῦτα σχήματα παραλαμβάνεται, οἷον ἐν τοῖς Κορίννης· Καλὰ κτλ.* ubi repetit schol. Videntur autem hi quatuor versus cohaerere. — *Καλὰ* Fl. Rhed. om. — *γέροια*, sch. et Turn. *γέρεια*, Ahrens *γερή'* (i. e. *γεραιὰ*) *ἀϊσομένα*. — V. 2. *λευκοπέπλυς* Ahrens, vulgo *λευκοπέπλοις*, Fl. *λευκοπέπλους*. — V. 3. *ἐμῆς* Boeckh, vulgo *ἐμή*. — *γέγαθε*, Fl. *μέγαδε*. — *πόλις* om. Sch. in C est *μέγα δὲ . . . σε πόλις*. — V. 4. *ἐνόπης* Boeckh, vulgo *ἐνοπῆς*, C *ἐνωπῆ*.

Digitized by Google

Μέμφομη δὲ κὴ λιγουρὰν Μυρτίδ' ἰώνγα,
ὅτι βανὰ φοῦσ' ἔβα Πινδάροιο ποτ' ἔριν.

22.

..⏑⏑⏑–⏑–⏑–

Τὸ δέ τις οὐμίων ἀκουσάτω.

23.

Θέσπια καλλιγένεθλε, φιλόξενε, μουσοφίλητέ.

24.

Τεῦς γὰρ ὁ κλᾶρος.

25.

Ἀμῶν δόμων.

26.

Ἐσσάρχι πτολέμω.

27.

Athen. IV. 174. F: *Τούτοις (γιγγραΐνοις αὐλοῖς) δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις, εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κορίννῃ καὶ Βακχυλίδῃ ἐστὶν εὑρεῖν.*

Fr. 21. Apollon. de Pron. 324. C: *Θέμα ἐστίν, ὃ συζύγως οἱ αὐτοὶ (Βοιωτοὶ) φασὶ τῇ μὲν ἐγὼν τὴν ἰών, τῇ δὲ ἐγωνγα τὴν ἰωνγα Κόρινν' Μέμφομαι δὲ καὶ λ. Μυρτίδα ἰωνγα, ὅτι β. φοῦσα ἔβα Πινδαρίοιο ποτ' ἔριν.* Emendavit Boeckh. V. 2. Respic. Herod. *περὶ μοντλέξ.* 18, 25: *Τὸ γὰρ παρὰ Κορίννῃ βάνα οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ Ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.* Cf. etiam Hesych. v. *βάννα* et *βανῆκας.* Ceterum conferas quae Pausan. IX. 22, 3. dicit: *ἔστι δὲ ἐν τῷ γυμνασίῳ γραφὴ, ταινίᾳ τὴν κεφαλὴν ἡ Κόριννα ἀναδουμένη τῆς νίκης ἕνεκα, ἣν Πίνδαρον ᾄσματι ἐνίκησεν ἐν Θήβαις.* sed haec ex mystagogorum explicatione petita videntur.

Fr. 22. Apollon. de Pron. 382. B: *Οὐμίων· Βοιωτοί· Τὸ κτλ. Κόριννα.* Cod. *ουμειων.*

Fr. 23. Schol. Hom. Il. *β'*. 498: *Οἷον καὶ παρὰ Κορίννῃ· Θέσπια κτλ.* Adde Cram. An. Par. III. 351, 8. et 137, 10. Matranga An. 426. Respicit Draco 47. et Steph. Byz. v. *Θέσπεια· γράφεται καὶ διὰ τοῦ ι καὶ ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ.* qui hoc dicere videtur. Corinnam alibi etiam *Θέσπιαν* littera media producta dixisse. Cf. etiam Eust. Il. 266, 5.

Fr. 24. 25. 26. recte Corinnae tribuit Ahrens. Fr. 24. Apollon. de Pron. 356. A: *Τεῦς — ἔστι δὲ καὶ Βοιωτιακὸν δῆλον ὡς· τεῦς κτλ. ὃ περισπασθὲν τὴν πρωτότυπον σημαίνει.* — Fr. 25. Idem 381. C: *Ὁμοίως Βοιωτοὶ Ἀμίων, ἐπὶ δὲ τῆς κτητικῆς Ἀμῶν, ἀμῶν δόμων.* — Fr. 26. An. Cram. Ox. I. 172, 14: *Συνεμπίπτει δὲ ἡ ἐς πρόθεσις καὶ ἄλλῃ Βοιωτιακῇ προθέσει τῇ ἐξ, ἐς Μουσῶν ἀντὶ τοῦ ἐκ Μουσῶν· ἂν δὲ φωνῆεν ἐπιφέρηται, διὰ δύο σσ· ἐσσ' Ἀρχιπτολέμου.* Similia leguntur ib. 160, 19. ubi *ἐσσαρχος ποταμός.* Correxit Ahrens, nisi quod *πολέμω* scripsit.

Digitized by Google

28.

Pausan. IX. 20, 2: *Ταναγραῖοι δ' οἰκιστὴν σφισι Ποίμανδρον γενέσθαι λέγουσιν, Χαιρησίλεω παῖδα, τοῦ Ἰασίου, τοῦ Ἐλευθῆρος· τοῦτον δ' Ἀπόλλωνός τε καὶ Αἰθούσης εἶναι τῆς Ποσειδῶνος· Ποίμανδρον δὲ γυναικά φασιν ἀγαγέσθαι Τάναγραν, θυγατέρα Αἰόλου· Κορίννῃ δέ ἐστιν ἐς αὐτὴν πεποιημένα, Ἀσωποῦ παῖδα εἶναι.*

29.

Plut. de Mus. c. 14: *Ἡ δὲ Κόρινα καὶ διδαχθῆναί φησι τὸν Ἀπόλλω ὑπ' Ἀθηνᾶς αὐλεῖν.*

30.

Schol. Apoll. Rhod. III. 1178: *Ὠγύγιαι Θῆβαι ἀπὸ Ὠγύγου τοῦ βασιλεύσαντος αὐτῶν· Κόρινα δὲ τὸν Ὠγυγον Βοιωτοῦ υἱὸν εἶπεν (P υἱὸν δὲ Ὠγύγου Κόρινναν λέγουσι γενέσθαι)· ἀπὸ τούτου δὲ καὶ Ὠγύγιαι τῶν Θηβῶν πύλαι.* Eadem Philemon 128.

31.

Anton. Liberal. c. 10: *Μινυάδες· Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ' καὶ Κόριννα. Μινύου τοῦ Ὀρχομενοῦ ἐγένοντο θυγατέρες Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη, καὶ ἀπέβησαν ἐκτόπως φιλεργοί, πλεῖστα δὲ καὶ τὰς ἄλλας γυναῖκας ἐμέμψαντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν ἐν τοῖς ὄρεσιν ἐβάκχευον, ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρῆνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς ἢ μυστήρια τοῦ Θεοῦ· αἱ δὲ οὐ προσεῖχον· πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος ἀντὶ κόρης ἐγένετο ταῦρος καὶ λέων καὶ πάρδαλις καὶ ἐκ τῶν κελεόντων ἐρρύη νέκταρ αὐτῷ καὶ γάλα. πρὸς δὲ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα. καὶ μετ' οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ ὁ κλῆρος ἐξέπεσε Λευκίππης, ηὔξατο θῦμα τῷ Θεῷ δώσειν, καὶ Ἵππασον τὸν ἑαυτῆς παῖδα διέσπασε σὺν ταῖς ἀδελφαῖς· καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρός, ἐβάκχευον ἐν τοῖς ὄρεσιν καὶ ἐνέμοντο κισσὸν καὶ μίλακα καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἁψάμενος τῇ ῥάβδῳ μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν ἡ μὲν ἐγένετο νυκτερίς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύζα· ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου.* Fortasse huc pertinet Fr. 24.:

Τεῦς γὰρ ὁ κλᾶρος.

32.

Schol. Eurip. Phoen. 26: *Τινὲς δὲ καὶ τὴν μητέρα ὑπ' αὐτοῦ (Οἰδίποδος) ἀνῃρῆσθαι, ἀνελεῖν δὲ αὐτὸν οὐ μόνον τὴν Σφίγγα, ἀλλὰ καὶ τὴν Τευμησίαν ἀλώπεκα, ὡς Κόρινα.*

33.

Schol. Arist. Acharn. v. 720: *Ἀγοράζειν, ἐν ἀγορᾷ διατρίβειν ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστὶν ἀττικῶς, ὅθεν καὶ ἡ Κόρινα, ἐστὶ*

Digitized by Google

τοῦ Πινδάρου ἀττικιστί· ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει. Locus corruptus, vid. ad Pind. Fr. 79.

34.

Schol. Hom. Il. ϱ'. 197: Γηράς — καὶ κ' ὥριννα βροντᾶς ἀντὶ τοῦ βροντήσας. Recte Schneidewin cum aliis correxit Κόριννα βροντάς. Atque fuerunt qui hanc formam etiam apud Sophoclem Philoct. 1199. sibi deprehendisse visi sunt, vid. Schol. ἔστι μέντοι καὶ λαβεῖν βροντᾶς ἀντὶ τοῦ βροντήσας.

35.

Apollon. de pron. 366. B: Ἔστι καὶ ἡ ἓν ἀπὸ τῆς τεῖν παρὰ Ἀντιμάχῳ καὶ Κορίννῃ ἐπὶ δοτικῆς ἔσθ' ὅτε παραλαμβανομένη.

36.

Apollon. de Pron. 354. C: Ἡ ἐμοῦς κοινὴ οὖσα Συρακουσίων καὶ Βοιωτῶν, καθὸ καὶ Κόριννα καὶ Ἐπίχαρμος ἐχρήσατο.

37.

Choeroboscus I. 80. (Bekk. An. III. 1381.) Θρᾶνυξ, θράννυος ἐπὶ τοῦ θρόνου παρὰ Κορίννῃ, Cf. ib. 81.

38.

Choerob. I. 75. (Bekk. An. III. 1393): Τὸ μέντοι Νέδων τῷ λόγῳ τῶν μετοχικῶν διὰ τοῦ ντ κλίνει Κόριννα, οἷον Νέδοντος, οἱ δὲ περὶ Δίδυμον καὶ Ἀπίωνα διὰ τοῦ ω κλίνουσιν ἀναλόγως, οἷον Νέδωνος, Cf. ad Fr. 12.

39.

Hesych.: Τόνθων· παρὰ Κορίννῃ, ἐπὶ νωτιαίου (cod. νοτιβίου) κρέως τὸ ὄνομα.

40.

Cramer An. Ox. I. 62, 20: Φράσσω, ἀφ' οὗ ἡ Κόριννα βοιωτικῶς φράττω λέγει ἀντὶ τοῦ φράσσω. Cf. Eust. Il. 824, 22. Od. 1654, 24. Favor. 121. 444. Schol. Hom. Il. κ'. 572.

41.

Phrynich. 309: Ψίεθος, μιερός, ὕελος· ἁμαρτάνουσιν οἱ διὰ τοῦ ε λέγοντες, ἀδόκιμον γάρ· καὶ ἡ Κόριννα τὸν ὑάλινον παῖδα θήσεις.

Digitized by Google

XXVIII.

LAMPROCLES.

1.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏑ –́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Παλλάδα περσέπολιν, δεινὰν θεὸν ἐγρεκύδοιμον

Lamprocles. Fr. 1. Aristoph. Nub. v. 967: *Εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκεν, τὼ μηρὼ μὴ ξυνέχοντας. Ἢ Παλλάδα περσέπολιν δεινὰν ἢ Τηλέπορόν τι βόαμα, ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν.* Schol. Cod. Rav. et Ven. et G: *Παλλάδα· Ἀρχὴ ᾄσματος Φρυνίχου, ὡς Ἐρατοσθένης φησί (ᾄσμ. φησιν ὡς Ἐρ. φρύν.* V.)· *Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος· Παλλάδα περσέπολιν κλῄζω (περσέπτολιν κληίζω* RV), *πολεμαδόκον (πολεμοδόκον* V.) *ἁγνὰν (ἁγνὴν* G) *παῖδα Διὸς μεγάλου.* Dindorf adiecit *δαμάσιππον* ex Schol. Ald.: *εἴδη ᾀσμάτων ἀμφότερα, τὸ Παλλάδα περσέπτολιν θεὰν καὶ τὸ Τηλέπορόν τι βόαμα· τὸ μὲν οὖν πρότερον Λαμπροκλέους εἶναί φασιν Ἀθηναίου, τοῦ Μίδωνος υἱοῦ· ἔχει δὲ οὕτως· Π. περσέπτολιν κληίζω. π. ἁγνὸν π. Δ. μ. δαμάσιππον.* Si recte se haberent prima verba huius scholii, quicunque haec scripsit, diceret Eratosthenem non recte hoc carmen *Phrynicho* tribuisse, cum sit *Lamproclis*: at commode ipsius Eratosthenis verba servata sunt in alio scholio: *Ἄλλως· οὕτως Ἐρατοσθένης· Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ· ἔχει δὲ οὕτως· Παλλάδα περσέπτολιν δεινὴν θεὸν ἐγρεκύδοιμον ποτικληΐζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον. καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν.* quae Dindorf (cuius quidem editione non licuit uti) ita interpolavit, ut *δεινὴν θεὸν ἐγρεκύδοιμον ποτι* — eiiceret. Non tamen existimandum est, illum scholiastam impudenter Eratostheni adversatum esse, ut quae ille docuerat, mala fraude in suum usum converteret, sed videtur in illo scholio scribendum: *Ἀρχὴ ᾄσματος Φρυνίχου, ὡς δὲ Ἐρατοσθένης φησίν, Φρύνιχος αὐτοῦ τούτου κτλ.* Phrynichi carmen ab Aristophane notari nonnulli ex antiquis grammaticis dixerant, Eratosthenes contra Lamproclis carmen, quod ipse Phrynichus in libello aliquo pedestri, ut videtur, adhibuerat, respici docuit. Errant autem, qui existimant veteres dubitasse de auctore huius hymni in Minervam, sed duo diversa sunt carmina probe discernenda, alterum *Phrynichi*, alterum antiquius *Lamproclis;* hoc Eratosthenes adscripsit, illius initium in priore scholio servatum est: Aristophanes autem *Lamproclis* carmen respexit, id quod docet *δεινάν* additum, quod in Phrynichi carmine non comparet: hoc cum deesse animadverterent comici interpretes, quos Lamproclis hymnus latuit, male coniecerunt hoc ab Aristophane adiectum esse, vid. Schol. Aristidis T. III. 537: *Παλλάδα περσέπτολιν· εἶδος δὲ τοῦτο ᾄσματος καὶ ἀρχή· τὸν δὲ ποιητὴν αὐτοῦ Ῥοῦφος καὶ Διονύσιος*

Digitized by Google

ποτικλήζω πολεμαδόκον, ἀγνάν
παῖδα Διὸς μεγάλου δαμάσιππον.

2.

. . . . . – ∪ ∪ – –
∪ ⏑ ∪ – ∪ ⏑ ∪ ∪ – ∪ – ∪

Αἴτε ποταναῖς
ὁμώνυμοι πελειάσιν αἰθέρι κεῖσθε.

ἱστοροῦσιν ἐν τῇ Μουσικῇ Φρύνιχόν τινα, ἄλλοι δέ φασι Λαμπροκλέα ἢ Στησίχορον· (sed Paris D ap. Frommel *τὸν δὲ ποιητὴν αὐτοῦ Φρύνιχόν τινά φασιν ἢ Λαμπροκλέα, ἢ Στησίχορον.*) *τὸ δὲ δεινὰν Παλλάδα γελοίως ἀντίκειται· τὸ γὰρ ἄσμα οὕτως ἔχει· Παλλάδα περσέπτολιν κλεισοπολεμαδόκον* (BD Ox. *πολεμωδόκον*, Mon. *πολεμηδόκον.*) *ἀγνὰν* (Ox. *ἁγίαν*, B *ἁγνὴν*) *παῖδα Διὸς μεγάλου* (*μεγάλα* B, *μεγάλαυ* D, *μεγάλην* Ox.) *δαμνοπῶλον* (sic A, *δαμνηπῶλον* rel.) *ἄϊστον* (*ἄριστον* Ox. *αὐτοῦ* Paris. D ap. Fromm.) *παρθένον.* Hic igitur, ubi secundum Rufum et Dionysium carmen Phrynicho tribuitur, prorsus eodem modo, quo in schol. I. Aristoph. legitur, adscriptum est, sed paulo auctius:

Παλλάδα περσέπολιν κλήζω, πολεμαδόκον, ἀγνὰν
παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον παρθένον.

Sic enim carmen constituendum, nisi quod insolens *δαμόπωλον* et *ἄϊστον* corruptum videtur, itaque in proecdosi ut Kleine *ἀρίσταν* scripsi, fort. *ἄητον*. Ex Schol. Arist. sua hausit Tzetz. Chil. I. 683: *Τούτου τοῦ Στησιχόρου δὲ μέλος ὑπάρχει τόδε. Παλλάδα περσέπτολιν κλήζω π. ἀγ. π. Δ. μ. δαμόπωλον* (cod. B *δαμνόπλον.*) *ἄϊστων π.* Cf. Schol. in Cram. An. Ox. III. 353, 13. (Tzetz. Epist. ed. Pressel 101.): *μέλος Στησιχόρου. τινὲς Φρυνίχου τοῦτο φασίν, ἕτεροι δὲ Λαμπροκλέους.* Aristophanis autem locum praeterea resp. Dio Chr. XIII. T. I. p. 259: *οἱ ἂν ἱκανῶς κιθαρίσωσι Παλλάδα περσέπολιν* (ita BM, *περσέπτολιν* rel.) *δεινὰν* (ita M, *δεινὰν θεὸν* CP, *Ἀθηνᾶν* rel.) et Suidas v. *Τηλέπουρον. Ἀριστοφάνης· τηλέπουρόν τι βῆμα . . . ἔστι δὲ ἀρχὴ ᾄσματος, ὥσπερ τὸ περσέπολιν* (sic A, vulgo *περσέπτολιν*) *Ἀθάναν.* — Quod autem alii de Stesichoro cogitaverunt, inde repetendum quod hic quoque videtur hymnum aliquem in Minervam similiter exorsus esse, quorsum referendum videtur fr. 62. Iam similitudo illa, quae intercedit inter hymnos (Stesichori) Lamproclis et Phrynichi, haud dubie inde est repetenda, quod Homerici alicuius hymni exordium ex more imitati sunt: antiquum hunc hymnum puto memorari in Et. M. 474, 30: *Ἵππια· ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ, ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ' ἵππων ἀνήλατο, ὡς ὁ ἐπ' αὐτῇ ὕμνος δηλοῖ* (Eadem Bekk. An. I. 207, 32. et 350, 25. sed hoc posteriore loco *ὡς ὁ μῦθος* legitur): nunc in hymnis Homericis non exstant nisi duo prooemia breviuscula XI. et XXVIII.

Fr. 2. Athen. XI. 491. C: *Λαμπροκλῆς δ' ὁ διθυραμβοποιὸς καὶ ζητῶς αὐτὰς (Πλειάδας) εἶπεν ὁμωνυμεῖν ταῖς περιστεραῖς ἐν τούτοις· Αἵ τε κτλ.* Eadem Eust. 1713, 5. V. 1. *τε* om. Eust. — V. 2. *κεῖσθε* L, *κεῖσθαι* ABPV, *κεῖνται* C Eust. Malim *νεῖσθε*, ut etiam Meineke coni.

Digitized by Google

XXIX.

PRATINAS.

ΤΠΟΡΧΗΜΑΤΑ.

1.



Pratinas. Fr. 1. Athen. XIV. 617. B: *Πρατίνας δὲ ὁ Φλιάσιος αὐλητῶν καὶ χορευτῶν μισθοφόρων κατεχόντων τὰς ὀρχήστρας, ἀγαγκτεῖν τινας ἐπὶ τῷ τοὺς αὐλητὰς μὴ συναυλεῖν τοῖς χοροῖς, καθάπερ ἦν πάτριον, ἀλλὰ τοὺς χοροὺς συνᾴδειν τοῖς αὐληταῖς· δν οὖν εἶχε θυμὸν κατὰ τῶν ταῦτα ποιούντων ὁ Πρατίνας ἐμφανίζει διὰ τοῦδε τοῦ ὑπορχήματος· Τίς ὁ θόρυβος κτλ.* Pratinae locum egregium, postquam maximam partem emendatus est, rursus tentavit coniecturis M. Schmidt de dithy-

Digitized by Google

Τίς ὁ Θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπί
Διονυσιάδα πολυπάταγα Θυμέλαν;
ἐμὸς ἐμὸς ὁ Βρόμιος·
ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ παταγεῖν
ἀν' ὄρεα σύμενον μετὰ Ναϊάδων
οἷά τε κύκνον ἄγοντα
ποικιλόπτερον μέλος.
τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν· ὁ δ' αὐλὸς
ὕστερον χορευέτω· καὶ γάρ ἐσΘ' ὑπηρέτας.
κώμῳ μόνον Θυραμάχοις τε πυγμαχίαισι νέων Θέλει παροίνων
ἔμμεναι στρατηλάτας.
παῖε, τὸν Φρύγ' ἀοιδοῦ
ποικίλου προαχέοντα·
φλέγε τὸν ὀλεσισιαλοκάλαμον,
λαλοβαρυόπα παραμελορυθμοβάταν Θ'
ὑπαὶ τριπάνῳ δέμας πεπλασμένον.
ἦν ἰδού· ἄδε σοι δεξιά
καὶ ποδὸς διαῤῥιφά, Θριαμβοδιθύραμβε·
κισσόχαιτ' ἄναξ ἄκουε τὰν ἐμὰν Δώριον χορείαν.

rambo 249. V. 1. *τί τάδε*, Stephanus *τίνα τάδε*. — V. 3. *πολυπάταγα* resp. Io. Alex. 11, 30. — V. 6. *σύμενον* B, *ἐσσύμενον* PVL, *Θύμενον* A, fort. recte. — *Ναϊάδων* Fiorillo, vulgo *Ναΐδων*. — V. 7. *ἄγοντα*, olim conieci *ἄδοντα*. — V. 9. *τὰν . . . βασίλειαν* om. C. — *τὰν ἀοιδὰν* PVL, *τᾶν ἀοιδᾶν* Stephanus. — *κατέστασε Πιερὶς* scripsi, A *κατέστασεπιερεῖς*, ceteri *κατεστάς*, (sic P, *κατεᾶς* VL, *καθεστάς* B) *ἐπιερεῖς*, Heringa *κατέστας σὲ Πιερίς*. — *βασίλειαν* scripsi, vulgo *βασίλεια*. — *ὁ δ'* C et Hoeschelii epitome, v. *οὐ δ'*. — V. 10. *ὑπηρέτας* A, *ὑπηρέτης* PCVL. — V. 11. *κώμῳ* scripsi, *κωμῶν* AP, *κώμων* CVL, quod iungitur cum iis, quae praegressa sunt. — *Θυραμάχοις τε* A et P a m. sec., *πυραμάχοις τε* P a m. pr. VL. *Θῆροα μάχοις τε* C, *Θηροαμάχαισί τε* epit. Hoesch. — *πυγμαχίαισι νέων Θέλει* Dobree, *πυγμαχίασιν ἕων* (A *εων*, P *ἐων*) *Θέα* (A *Θεα*) *εἰς* (B *εἰ*) BPVL, *πυγμαχίαισι νέων Θέα* epit. Hoesch.. *πυγμαχίαι σινέων Θέα* C. — *παροίνων* scripsi, *πάροινον* BPVL, *παρ' οἴνων* Dobree. — V. 12. *στρατηλάτας*, B *στρατηλάτης*. — V. 13. *Φρύγ' ἀοιδοῦ* scripsi, libri *Φρυναίου*, olim conieci *παῦε, παῦε τὸν Φρύγ' ἀοιδοῦ*, Iacobs *παῦε τὸν Φρύγα τὸν ποικίλον Θροῦν προχέοντα*, Emperius *φρυνίου πνοὰν ἔχοντα*. — V. 14. *προαχέοντα* scripsi, legebatur *προανέχοντα*. — V. 15. *ὀλεσισιαλοκάλαμον* scripsi, probante Emperio, A *ὁλοσίαλον κάλαμον*, PVL *ὁλοσιαλοκάλαμον* (P *ὁλ.*), Stephanus *ὀλεσιαυλοκάλαμον*. — V. 16. *λαλοβαρυόπα, παραμελορυθμοβάταν Θ' ὑπαί* scripsi, et *Θ' ὑπαὶ* etiam Emperius, PVL *λαλοβαρυοπαραμελορυθμοβάταν Θυπατρυπάνῳ*, C *λαλοβαρυπαραμελορυθμοβάταν* voce *Θυπα* omissa, sicut C quae post *δέμας* sequuntur om. — V. 18. *ἦν ἰδού* (*ἠνιδοῦ*)· *ἄδε σοι* Schweighaeuser, A *ην ἰδου α δε σοι*, B *ηνϊδουαδεσοι*, P *νηνιδούαδεσοι*, VL *νηνιδόνα δέ σοι*. — *δεξιὰ*, Bamberger *δεξιᾶς*. — V. 19. *ποδὸς* censor Ienensis, legebatur *πόλος*. — *διαῤῥιφα*, A *διάῤιφα*. B *διάῤριφα*, PVL *διάροφα*. — V. 20. *κισσόχαιτ'* Schweighaeuser, *κισσοχαιτ'* PVL. — *Δώριον* A, *δῶρον* B, *δώρειον* PVL.

Digitized by Google

2.

⏑ – ⏑ – – – – ⏑ ⏑ – ⏑ –

Λεκων ὁ τέττιξ εὔτυκος ἐς χορόν.

3.

– – ⏑ – ⏑ – ⏑ –

Γᾶν αὐλακισμέναν ἀρῶν.

ΔΥΣΜΑΙΝΑΙ Η ΚΑΡΥΑΤΙΔΕΣ.

4.

Athen. IX. p. 392. F: *Πρατίνας δ' ἐν Δυσμαίναις ἢ Καρυάτισιν ἀδύφωνον ἰδίως καλεῖ τὸν ὄρτυγα, πλὴν εἰ μὴ παρὰ τοῖς Φλιασίοις ἢ τοῖς Λάκωσι φωνήεντες, ὡς καὶ οἱ πέρδικες,* ubi *Δυσμαίναις* Meineke correxit Anal. Alex. 360. (cf. Hesych. *Δύσμαιναι· αἱ ἐν Σπάρτῃ χορίτιδες Βάκχαι*). *Δυμαίναις* Toup corr., codd. *Δυμάναις. Καρυάτισι* debetur Dalecampio, A *Καριάτισιν*, PVL *Καρίτισιν*. Ceterum Pratinae fort. est quod legitur ap. Steph. Byz. v. *Καρύα. Καρυᾶτις μέλισσα.*

5.

– ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ –
– ⏑ – – – ⏑ – ⏑ – –
– ⏑ – ⏑ – ⏑ –

* * *

⏑ – – – ⏑ ⏑ – – ⏑ – – – – ⏑ ⏑ – ⏑ ⏑ –

Μήτε σύντονον δίωκε, μήτε τὰν ἀνειμέναν Ἰαστὶ μοῖσαν,

Fr. 2. Athen. XIV. 633. A: *Διετήρησαν δὲ μάλιστα τῶν Ἑλλήνων Λακεδαιμόνιοι τὴν μουσικήν, πλείστῃ αὐτῇ χρώμενοι — ὅθεν καὶ Πρατίνας φησί· Λάκων κτλ.* — εὔτυκος AC, εὔτυχος PVL.

Fr. 3. Athen. XI. 461. E: *Κατὰ τὸν Φλιάσιον ποιητὴν Πρατίναν οὐ γᾶν αὐλακισμέναν ἀρῶν, ἀλλὰ σκύφον ματεύων, κυλικηγορήσων ἔρχομαι.* ibi *αὐλακισμέναν* epitome, codd. *αὐλακισμὲν ἀνδρῶν*, unde *ἀρῶν* vir doctus apud Casaubonum restituit.

Fr. 5. Athen. XIV. 624. F: *Ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος,καὶ Πρατίνας δὲ πού φησιν· Μήτε κτλ. ἐν δὲ τοῖς ἑξῆς σαφέστερόν φησι· Πρέπει κτλ.* V. l. *μητε* ABC, *μή* PVL. — *σύντονον*, Iacobs *Λωρίδα* excidisse putat, Dindorf lacunam significavit, sed *σύντονον* poeta eam harmoniam dicere videtur, quae apud Platon. Rep. III. 398. E: *συντονολυδιστί* vocatur, Polluci IV. 78. est *σύντονος Λυδιστί.* — *μήτε τὰν* AC, *μήτ'* ceteri. — *ἀνειμέναν, ἀνειμένην* PVL. — *Ἰαστὶ μοῦσαν* Toup., *Ἰαστὶν οὖσαν* ABP, *ἰαστί' οὖσαν* V, *ἰαστὶ οὖσαν* CL.

Digitized by Google

ἀλλὰ τὰν μέσσαν νεῶν ἄρουραν
αἰόλιζε τῷ μέλει.

* * *

Πρέπει τοι πᾶσιν ἀοιδὰ λαβράκταις Αἰολὶς ἁρμονία.

6.

Plut. de Mus. c. 7: Ἄλλοι δὲ Κράτητος εἶναί φασι τον Πολυπέφαλον νόμον, γενομένου μαθητοῦ Ὀλύμπου· ὁ δὲ Πρατίνας Ὀλύμπου φησὶν εἶναι τοῦ νεωτέρου τὸν νόμον τοῦτον.

7.

Plut. de Mus. c. 9: Ἄλλοι δὲ Ξενόδαμον ὑπορχημάτων ποιητὴν γεγονέναι φασὶ καὶ οὐ παιάνων, καθάπερ Πρατίνας, καὶ αὐτοῦ δὲ τοῦ Ξενοδάμου ἀπομνημονεύεται ᾆσμα, ὃ ἐστι φανερῶς ὑπόρχημα.

8.

Plut. de Mus. c. 42: Τέρπανδρον δ' ἄν τις παραλάβοι τὸν τὴν γενομένην ποτὲ παρὰ Λακεδαιμονίοις στάσιν καταλύσαντα, καὶ Θαλήταν τὸν Κρῆτα, ὃν φασι κατά τι πυθόχρηστον Λακεδαιμονίους παραγενόμενον διὰ μουσικῆς ἰάσασθαι, ἀπαλλάξαι τε τοῦ κατασχόντος λοιμοῦ τὴν Σπάρτην, καθάπερ φησὶ Πρατίνας.

V. 2. μέσσαν AB, μέσαν PVL. — νεῶν C, νέων PVL. — V. 4. τοι πᾶσιν A, τοῖς παισὶν PVL. — ἀοιδὰ AB, ἀοιδὰν PVL. Possis ἀοιδᾶν coniicere, sed malim ἀοιδολαβράκταις.

Digitized by Google

XXX.

PHRYNICHUS.

ΕΙΣ ΑΘΗΝΑΝ.

1.

– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ –

Παλλάδα περσέπολιν κλῄζω, πολεμαδόκον, ἁγνάν
παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον παρθένον.

2.

– – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – –

Λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος,

ΕΠΙΓΡΑΜΜΑΤΑ.

3.

Σχήματα δ' ὄρχησις τόσα μοι πόρεν, ὅσσ' ἐνὶ πόντῳ
κύματα ποιεῖται χείματι νὺξ ὀλοή.

Phrynichus. Fr. 1. Vide ad Lamproclem Fr. 1.

Fr. 2. Athen. XIII. 564. F: *Φρύνιχος δὲ ἐπὶ τοῦ Τρωΐλου ἔφη· λάμπειν ἐπὶ πόρφυραις παρῇσι* (sic Porson, BC *παρησι*, A *παρίησι*, PVL *παρειῇσι*) *φ. ἕ.* Idem rectius 604. A: *ὡς καλῶς Φρύνιχος ἐποίησεν εἴπας· λάμπει δ' ἐπὶ πορφυρέαις* (B *πορφυρέσι*) *παρῇσι* (*παρηΐσι* PVL, *παρειαῖσι* C) *φ. ἕ.* Ap. Eust. 1558, 18. est *λάμπεις* et *πορφυραῖς*. Fortasse ex Dithyrambo, cui *Troilus* nomen fuit, nisi malis ad tragoediam referre.

Fr. 3. Plut. Quaest. Symp. VIII. 9, 3: *Καίτοι καὶ Φρύνιχος ὁ τῶν τραγῳδιῶν ποιητὴς περὶ αὐτοῦ φησιν, ὅτι Σχήματα κτλ.* — Praeterea *Paeanem* Phrynichi memorat Athen. VI. 250. B, ubi Hecker non recte voluit *Tynnichi* nomen substituere.

Digitized by Google

XXXI.

DIAGORAS.

1.

ΕΙΣ ΑΡΙΑΝΘΗΝ ΑΡΓΕΙΟΝ.

⏑ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – –̄ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Θεός, θεὸς πρὸ παντὸς ἔργου βροτείου νωμᾷ φρέν' ὑπερτάταν,
αὐτοδαὴς δ' ἀρετὰ βραχὺν οἶμον ἕρπει.

2.

ΕΙΣ ΝΙΚΟΔΩΡΟΝ ΜΑΝΤΙΝΕΑ.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ – –

Κατὰ δαίμονα καὶ τύχαν
τὰ πάντα βροτοῖσιν ἐκτελεῖται.

Diagoras. Fr. 1. Phaedrus *περὶ θεῶν* p. 23. Petersen: *Ὁ μὲν γὰρ (Διαγόρας) ἔπαιξεν, εἴπερ ἄρα τοῦθ' οὕτως ἐστίν, ἀλλ' οὐκ ἐπενήνεκται. καθάπερ ἐν τοῖς Μαντινέων ἔθεσιν Ἀριστόξενός φησιν· ἐν δὲ τῇ ποιήσει καθ' ἀλήθειαν ὑπ' αὐτοῦ γεγράφθαι τοῖς ὅλοις οὐδὲν ἀσεβὲς παρενέφαινεν, ἀλλ' ἐστὶν εὔφημος, ὡς ποιητής, εἰς τὸ δαιμόνιον, καθάπερ ἄλλα τε μαρτυρεῖ καὶ τὸ γεγραμμένον εἰς Ἀριάνθην τὸν Ἀργεῖον· Θεὸς ... ὑπερτάταν.* Una cum v. 2. affert Didymus Alexandr. de Trinit. III. 2. p. 320.

Fr. 2. Phaedrus *περὶ θεῶν* p. 23. ed. Peters.: *Καὶ τὸ εἰς Νικόδωρον τὸν Μαντινέα· Κατὰ ... ἐκτελεῖσθαι. τὰ παραπλήσια δ' αὐτῷ περιέχει καὶ τὸ Μαντινέων ἐγκώμιον.* Scribendum esse *ἐκτελεῖται* docet Sext. Empir. IX. 402. ed. Bekk: *Διαγόρας δὲ ὁ Μήλιος, διθυραμβοποιός, ὡς φασί. τὸ πρῶτον γενόμενος, ὡς εἴ τις ἄλλος δεισιδαίμων, ὅς γε καὶ τῆς ποιήσεως ἑαυτοῦ κατήρξατο τὸν τρόπον τοῦτον· κατὰ δ. καὶ τύχαν πάντα τελεῖται.* Imitatur Aristoph. Av. 547: *κατὰ δαίμονα καὶ κατὰ συντυχίαν.* Ceterum ex Phaedri loco cognoscimus etiam tertium carmen *ἐγκώμιον εἰς Μαντινέας*, sed quod Schol. Aristoph. Ran. 320. dicit: *Διθυραμβοποιὸς ὁ Διαγόρας ποιητής, συνεχῶς Ἴακχε, Ἴακχε ᾄδων*, id ab inepto interprete confictum est.

Digitized by Google

XXXII.

CLEOMACHUS.

Τίς τὴν ὑδρίην ἡμῶν
ἐψόφησ᾽; ἐγὼ πίνων.

XXXIII.

CLEOMENES.

Athen. IX. 402. A: *Ἐπεὶ δὲ σὺ καὶ τὸ προβληθέν σοι ἀποπροσπεποίησαι περὶ τῆς χρόας τοῦ Καλυδωνίου συός, εἴ τις αὐτὸν ἱστορεῖ λευκὸν τὴν χρόαν γεγονότα, ἐροῦμεν ἡμεῖς τὸν εἰπόντα· τὸ δὲ μαρτύριον ἀνίχνευσον σύ· πάλαι γὰρ τυγχάνω ἀνεγνωκὼς τοὺς Κλεομένους τοῦ Ῥηγίνου διθυράμβους, ὧν ἐν τῷ ἐπιγραφομένῳ Μελεάγρῳ τοῦτο ἱστόρηται.*

Cleomachus. Hephaest. p. 63: *Καὶ δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Κλεομάχειον, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι καὶ οἱ χοριάμβοι, οἷον· Τίς κτλ.* V. 1. *ἡμῶν*, Schol. apud Heph. *ὑμῶν*. — V. 2. fortasse *ψόφησεν· ἐγὼ πίνων*. De Cleomacho conf. Tricha p. 34.: *πολλῷ αὐτῷ Κλεόμαχος χρῆται, ὃς πύκτης μὲν πρότερον, ὡς φασίν, ἦν, ἐρασθεὶς δέ τινος νέου τὴν ποιητικὴν μετεχειρίσατο.* Ceterum ille versus, quem Tricha ibi affert:

Χὼ παῖς πόκα πότνα σέθεν

fictus est a grammatico, quemadmodum omnia exempla, quae p. 1—3. proponit. Filius eius videtur fuisse Gnesippus, qui amatoria carmina composuit, vid. Comment. de Com. Att. Ant. p. 32. — *Κλεομάχειον* dicit Schol. Heph. p. 36: *Ἑρμᾶς ὅπερ Φεραῖος αἰνέσει θεός, Ἔμμι τῶ φυγαίχμα.* sed Heph. *ὁ Καλλίμαχος.*

Digitized by Google

XXXIV.

CYDIAS.

1.

–́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

Εὐλαβεῦ δὲ μὴ κατέναντα λέοντος
νεβρὸς ἐλθὼν μοῖραν αἱρεῖσθαι κρεῶν.

2.

Plutarch. de facie in orbe lunae c. 19: *Εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις τὸν Στησίχορον καὶ τὸν Πίνδαρον ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν* (leg. *ἄστρον*) *φανερώτατον κλεπτόμενον, καὶ μέσῳ ἅματι* (sic Schott, vulgo *ἅμα τὴν*) *νύκτα γενομένην* (hoc fortasse Cydiae est), *καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν . . . . φάσκοντας.*

Cydias. Fr. 1. Plato Charmid. 155. D: *Τότε δή, ὦ γεννάδα, εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου καὶ ἐφλεγόμην καὶ οὐκέτ' ἐν ἐμαυτοῦ ἦν καὶ ἐνόμισα σοφώτατον εἶναι τὸν Κυδίαν* (sic codd., nisi quod Cy *Κηδίαν*, vulgo *Κριτίαν*) *τὰ ἐρωτικά, ὃς εἶπεν ἐπὶ καλοῦ λέγων παιδός, ἄλλῳ ὑποτιθέμενος, εὐλαβεῖσθαι μὴ κατέναντα* (sic vd, *κατ' ἐναντία* 𝔄Θtr, *κατέναντι* vulgo) *λέοντος νεβρὸν ἐλθόντα μοῖραν* (*μοῖρα* 𝔄 et Θ a m. pr.) *αἱρεῖσθαι κρεῶν* (*νεκρῶν* Fi). *αὐτὸς γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοιούτου θρέμματος ἑαλωκέναι.* Praeterea 𝔄Θ addunt post *ἐλθόντα* haec: *ἀθανατώισηι θεια.* Cf. Athen. V. 187. D: *ποιεῖ γὰρ* (*Πλάτων*) *αὐτὸν* (*Σωκράτη*) *ἀσυμφώνως ποτὲ μὲν σκοτοδινιῶντα καὶ μεθυσκόμενον τῷ τοῦ παιδὸς ἔρωτι καὶ γινόμενον ἔξεδρον, καὶ καθάπερ νεβρὸν ὑποπεπτωκότα λέοντος ἀλκῇ, ἅμα δὲ καταφρονεῖν φησι τῆς ὥρας αὐτοῦ.* Ex his Cydiae versus restitui: quod in duobus libris additum est *ἀθανατώισηι θεια*, id nihil omnino confert ad poetae locum redintegrandum, sed puto haec verba ex antiqua parepigraphe orta esse: haud dubie enim in antiquis libris adscriptum erat *εὐλαβεῖσθαι μὴ θανατώσῃ ἡ θέα*, ut explicaretur sententia illius carminis. Contra Sauppe *ἐν θανατοέσσᾳ θέᾳ* elicuit et Cydiae tribuit, ego in proecdosi scripsi *νεβρὸς ἐλθὼν ἀθανάτῳ σ' ἰδέᾳ μοῖραν αἱρῆται κρεῶν*, Car. Fr. Hermann *θανάτου σ' ἡ θέᾳ μοῖραν αἱρεῖσθαι χρεών*, interpretatus: *cave, ne leoni occurrentem hinnuleum te ipso aspectu mori fatale sit.* At sententia est: *Noli hinnuleus cum sis cum leone contendere de praeda*, simile proverbium apud Arsen. 355 (413.): *Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.* Denique M. Schmidt coni. *νεβρὸς ἐλθὼν ἰθείᾳ θανατώδεϊ μοῖρ' ἀφαιρῆαι κρεῶν.*

Digitized by Google

XXXV.

PRAXILLA.

YMNOI.

1.

Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο,
δεύτερον ἄστρα φαεινὰ σεληναίης τε πρόςωπον
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄγχνας.

ΔΙΘΥΡΑΜΒΟΙ.

ΑΧΙΛΛΕΥΣ.

2.

Ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

ΠΑΡΟΙΝΙΑ.

3.

Ἀδμήτου λόγον, ὦ ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει·
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.

Praxilla. Fr. 1. Zenob. IV. 21: *Ἠλιθιώτερος τοῦ Πραξίλης Ἀδώνιδος·* (Cod. Coisl. add. *ἐπὶ τῶν ἀνοήτων*). *Πράξιλλα Σικυωνία μελοποιὸς ἐγένετο, ὡς φησὶ Πολέμων·* αὕτη ἡ *Πράξιλλα τὸν Ἄδωνιν ἐν τοῖς μέλεσιν* (cod. Coisl. *ἐν τοῖς ὕμνοις*) εἰςάγει ἐρωτώμενον ὑπὸ τῶν κάτω, τί κάλλιστον καταλιπὼν κρίνασθαι, ἥλιον καὶ σελήνην καὶ σικύους καὶ μῆλα· ὅθεν εἰς παροιμίαν προήχθη ὁ λόγος. *Ἠλίθιον* γὰρ τὸ τῷ ἡλίῳ παραβάλλειν τοὺς σικύους. Sed cod. Coisl. servavit ipsos versus: *καταλιπὼν ἐλήλυθεν, ἐκεῖνον δὲ λέγοντα οὕτως· Κάλλιστον κτλ. Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικύους καὶ τὰ λοιπὰ συναριθμῶν.* Cf. Diogenian. V. 12. Suid. v. *Ἠλιθιάζω.* Apostol. VIII. 53. Resp. Liban. Epist. 707. V. 3. *ὄγχνας* Schneidewin, cod. *ὄχνους.*

Fr. 2. Hephaest. 22: *Παρὰ Πραξίλλῃ ἐν διθυράμβοις ἐν ᾧ δῇ ἐπιγραφομένῃ Ἀχιλλεύς· Ἀλλὰ κτλ.* nisi forte *τὸν* scribendum. Eadem Sch. Heph. 152. (ubi *ἔπειθεν*) affert, item Cram. An. Ox. IV. 326, 20. ubi *οὔποθε στείθεσιν ἐπείθεον* legitur, Draco Straton. 146. Bachmann. An. II. 180, 17. (*ἔπειθεν*). Eust. 12, 25. 805, 21. et 1372, 9. (ubi *ἀλλ' ἐτεόν*).

Fr. 3. Aristoph. Vesp. 1239: *Ἀδμήτου λόγον, ὦ ταῖρε, μ. τ. ἀ. φίλει. καὶ τοῦτο ἀρχὴ σκολίου· ἕξῆς δέ ἐστι· τῶν δειλῶν ... χάρις. Praxillae*

Digitized by Google

4.

Ὑπὸ παντὶ λίθῳ σκορπίον, ὦ ταῖρε, φυλάσσεο.

5.

– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – –
– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – –

Ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα,
παρθένε τὰν κεφαλάν, τὰ δ' ἔνερθε νύμφα.

6.

Tzetz. Lycoph. 879: *Πολύϊδος δὲ ὁ διθυραμβοποιὸς τὸν Ἄτλαντα τοῦτον ποιμένα Λίβυν φησίν, οὐ μαθηματικόν. ἀπολιθωθῆναι δὲ ὑπο Περσέως, δείξαντος αὐτῷ τὴν Γοργόνα διὰ τὸ μὴ ἐᾶν αὐτὸν διελθεῖν, ἀλλ' ἐρωτᾶν αὐτὸν τίς εἴη· τούτου καὶ τοῦ Ἄτλαντος υἱὸς ἦν ὁ Ἕσπερος κατὰ τοὺς λοιποὺς, οὐ κατὰ τὸν Πολύϊδον.* Adde Tzetz. Exeg. Il. 132, 18. et Et. M. 164, 20: *Ἄτλας, ὄρος Λιβύης· Πολύϊδος δὲ ὁ διθυραμβοποιὸς παρίστησιν αὐτὸν ποιμένα γεγονέναι, καί φησιν, ὅτι παραγενόμενος ὁ Περσεὺς ἐπερωτώμενός τε ὑπ' αὐτοῦ, τίς εἴη καὶ πόθεν ἀφῖκτο, ἐπειδὴ λέγων οὐκ ἔπειθεν, ἀνάγκῃ ἔδειξεν αὐτῷ τὸ τῆς Γοργόνης πρόσωπον καὶ ἀπελίθωσεν αὐτόν, καὶ ἀπ' αὐτοῦ τὸ ὄρος Ἄτλας ἐκλήθη. Οὕτω Λυκόφρονος ἐν ὑπομνήματι.* — Quod habet Schol. Hom. Il. ω'. 804: *Ἀττικοὶ τὸ περίδειπνον τάφον λέγουσι, Πολύϊδος δὲ το μνημεῖον*, corruptum videtur, fort. *Πολυρρήνιοι* vel tale quid legendum.

XLV.

LYCOPHRONIDES.

1.

⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ – ⏑ – –
⏑ – – ⏑ ⏑ ⏑ – ⏑ –

Οὔτε παιδὸς ἄῤῥενος οὔτε παρθένων
τῶν χρυσοφόρων οὔτε γυναικῶν βαθυκόλπων

Lycophronides. Poetam huc referendum esse docet Clearchi auctoritas: non tamen inter antiquiores est numerandus. Fr. 1. Athen. XIII. 564. A: *Πρὸς ἀλήθειαν γάρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν Λυκοφρονίδην εἰρηκέναι [φησίν]· οὔτε κτλ.* V. 2. οὔτε Porson, vulgo *οὐδέ*.

Digitized by Google

καλὸν τὸ πρόςωπον, ἐὰν μὴ κόσμιον πεφύκῃ.
ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

2.



Τόδ' ἀνατίθημί σοι ῥόδον
καλὸν ἀνάθημα καὶ πέδιλα καὶ κυνέαν
καὶ τὰν θηροφόνον λογχίδ', ἐπεί μοι νόος ἄλλᾳ
ἐπὶ τὰν Χάρισι φίλαν παῖδα καὶ καλάν.

V. 3. ἐὰν μὴ κόσμιον πεφύκῃ Meineke, vulgo ἀλλὰ κόσμιον πεφύκει Schaefer πέφυκεν coniecit, ego conieceram μὴ ἁμᾷ κόσμιον ὂν πέφυκεν.

Fr. 2. Athen. XV. 670. E. item ex *Clearcho*: Ὅθεν Λυκοφρονίδης τὸν ἐρῶντα ἐκεῖνον αἰπόλον ἐποίησε λέγοντα· τόδ' ἀνατίθημι κτλ. V. 1. ῥόδον, Hermann ῥόδειον. — V. 2. ἀνάθημα scripsi, vulgo νόημα, Hermann μνῆμα. — κυνέαν AB, κυνέην PVL, τὰν κυνέαν Hermann. — V. 3. τὰν Dindorf, vulgo τὴν. — ἄλλᾳ Schweighaeuser, ἄλλαι ABP, ἀλλὸ V, ἀλλῇ L.

Digitized by Google

XLVI.

CASTORIO.

1.

⏑ – ⏑ – ⏑ – ⏑ –
– ⏑ – ⏑ – –

Ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος ζαθέοις
ἄρχων σε τιμαῖς γεραίρει.

ΕΙΣ ΠΑΝΑ.

2.

Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον
ναιονθ' ἕδος, θηρονόμε Πάν, χθόν' Ἀρκάδων,

Castorio. Fr. 1. Athen. XII. 542. E: *Ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμψεν (Δημήτριος ὁ Φαληρεὺς) ἄρχων γενόμενος, ᾠδε χορὸς εἰς αὐτὸν ποιήματα Σειρῶμενος τοῦ Σολέως* (PVL *Σωλέως*), *ἐν οἷς ἡλιόμορφος προσηγορεύετο· ἐξόχως κτλ.* Recte Leopardus *Καστορίωνος τοῦ Σολέως.* V. 1. *ἐξόχως*, ita etiam Eust. 1558, 1., sed C *ἐξόχος.* — *δ'*, Eust. *τε.* — *εὐγενέτας*, B *εὐγενέτης.* — *ἡλιόμορφος* Kuhn itaque Eust. legit., vulgo *ἠπιόμοιρος.*

Fr. 2. Athen. X. 454. F: *Τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν, εἰς τὸν Πᾶνα ποίημα τοιοῦτόν ἐστιν. τῶν ποδῶν ἕκαστος ὅλοις ὀνόμασι παρειλημμένος πάντας ὁμοίως ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον Σὲ τὸν ... μείλιγμ' ἴης. καὶ τὰ λοιπὰ τὸν αὐτὸν τρόπον. τούτων δ' ἕκαστον τῶν ποδῶν ὡς ἂν τῇ τάξει θῇς τὸ αὐτὸ μέτρον ἀποδώσει, οὕτως· Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον. Νιφοκτύποις σὲ τὸν βόλοις δυσχείμερον. καὶ ὅτι τῶν ποδῶν ἕκαστός ἐστι δεκαγράμματος.* (quod quidem non congruit). Fortasse eiusdem Castorionis ibidem est lusus:

Μέτρον φράσον μοι, τῶν ποδῶν μέτρον λαβών.
Οὐ βούλομαι γὰρ τῶν ποδῶν μέτρον λαβεῖν.

V. 1. aperte corruptus. Coniicio *σὲ τὸν Ὁμόλης νιφοκτύπου.* — V. 2 *ναιονθ'* L, *νέον θ'* ABPV. — *ἕδος* Scaliger, *ὁδὸς* PVL, *ὁδοὶ* B et codd. Cas. — *χθόν'* L, *χθὼν* APV.

Digitized by Google

κλήσω γραφῇ τῇδ' ἐν σοφῇ, πάγκλειτ' ἔπη
συνθείς, ἄναξ, δύσγνωστα μὴ σοφοῖς κλύειν,
μουσοπόλε θήρ, κηρόχυτον ὃς μείλιγμ' ἵης.

V. 3. τῇ δ' ἐν Porson, τῇδε vulgo. — πάγκλειτ' Porson, πάγκλητ' ABPV, πάγκλυτ' L. — V. 5. κηρόχυτον ὃς Porson, κηροχύτονος A, κυροχύτονος P, κηροχίτωνος VL. — μείλιγμ' ἵης, μείλιγμ' ἰὴς VL, μιλιγμίεις B, μελιγμίεις P.

Digitized by Google

XLVII.

HERMODOTUS.

Plut. de Is. et Osir. c. 24: *Ὅθεν Ἀντίγονος ὁ γέρων Ἑρμοδότου τινος ἐν ποιήμασιν αὐτὸν Ἡλίου παῖδα καὶ θεὸν ἀναγορεύοντος, οὐ τοιαῦτά μοι, εἶπεν, ὁ λασανοφόρος σύνοιδεν.* Cf. Apophth. Reg. p. 181. Parum probabilis Schneideri coniectura, qui hic *Ἑρμοδώρου* nomen restituendum putat, cuius epigramma extat in Anth. Plan. 170. (cf. Meleager Prooem. v. 44.) — Huius Hermodoti fortasse sunt versus ap. Stob. LX. 3: (Apostol. XIII. 39. m.)

Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν,
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

Eidemque tribuendum videtur fr. ap. Stob. XCVIII. 66: *Ἑρμολόχου* (Trinc. Vind. *Ἑρμολάου*) Apostol. IV. 23. g. s. p. n., ut sit scr. *Ἑρμοδότου*, quod Meineke quoque coniecit, cum Pflugk Simonidi vindicasset. Videtur autem sic scribendum:

Ἀτέκμαρτος ὁ πᾶς βίος οὐδὲν ἔχων
πιστὸν πλανᾶται συντυχίαις·
ἐλπὶς δὲ φρένας παραθαρσύνει, τὸ δὲ μέλλον ἀκριβῶς
οἶδεν οὐδεὶς θνατὸς ὅπα φέρεται·
θεὸς δὲ πάντας ἔν γε κινδύνοις κυβερνᾷ,
ἀντιπνεῖ δὲ πολλάκις εὐτυχίαις δεινά τις αὔρα.

(vel *ἀντιπνέει δὲ τύχας πολλάκις δεινά τις αὔρα.*) Ceterum Meineke Hermodoti nomen etiam restituere vult ap. Athen. XV. 697. A: *Ἐπ' Ἀντιγόνῳ δὲ καὶ Δημητρίῳ φησὶ Φιλόχορος Ἀθηναίους ᾄδειν παιᾶνας τοὺς πεποιημένους ὑπὸ Ἑρμίππου* (Schweigh. *Ἑρμοκλέους*) *τοῦ Κυζικηνοῦ, ἐφαμίλλων γενομένων τῶν παιᾶνας ποιησάντων πολλῶν, καὶ τοῦ Ἑρμοκλέους προκριθέντος.*

De Damophyla omnia incerta sunt, dubiumque quid veri insit in iis, quae Philostr. v. Apoll. I. 30. narrat: *ἤρου με, ἔφη, πρώην ὅ τι ὄνομα ἦν τῇ Παμφύλου γυναικί, ἣ δὴ Σαπφοῖ τε ὁμιλῆσαι λέγεται καὶ τοὺς ὕμνους, οὓς ἐς τὴν Ἄρτεμιν τὴν Περγαίαν ᾄδουσι, ξυνθεῖναι τὸν Αἰολέων τε καὶ Παμφύλων τρόπον· ἠρόμην, ἔφη, τὸ δὲ ὄνομα οὐκ εἶπας· οὔκ, ὦ χρηστέ, εἶπον, ἀλλ' ἐξηγούμην σοι τοὺς νόμους τῶν ὕμνων καὶ τὰ ὀνόματα καὶ ὅπῃ τὸ Αἰολέων εἰς τὸ ἀκρότατόν τε καὶ τὸ ἴδιον Παμφύλων παρῆλλαξε. πρὸς ἄλλῳ μετὰ ταῦτα ἐγενόμεθα καὶ οὐκέτ' ἤρου με περὶ τοῦ ὀνόματος· καλεῖται τοίνυν ἡ σοφὴ αὕτη Δαμοφύλη, καὶ λέγεται τὸν Σάπφους τρόπον παρθένους τε ὁμιλητρίας κτήσασθαι ποιήματά τε ξυνθεῖναι τὰ μὲν ἐρωτικά, τὰ δὲ ὕμνους· τά τοι ἐς τὴν Ἄρτεμιν καὶ παρῴδηται αὐτῇ καὶ ἀπὸ τῶν Σαπφῴων ᾄσται.* — Eurytus Lacedaemonius

Digitized by Google

cuius aetatis sit, prorsus incertum: memorat Lydus de mens. p. 117. Bekker: *ὁμοίως δὲ καὶ Τύχῃ ἐφόρῳ (ηὔχοντο), Σωφροσύνῃ τε καὶ Ἔρωτι, ὃν οἱ μυθικοὶ Ζεφύρου τοῦ γίγαντος εἶναι παῖδα ἀξιοῦσιν, ὡς φησιν Εὔρυτος ὁ Λακεδαιμόνιος ὁ μελοποιός· ἄρχεται δὲ οὕτως· ἀγαλμοειδὴς Ἔρως.* (ubi Meineke coni. *ἀγλαομειδές*). — Nec magis constat de Areo Lacone, quem memorat Antonin. Liberal. c. 12. — Hermias poeta, cuius versum Hephaest. 120. affert:

Ἑπτά μοι δὶς τριάκοντα βασιλεὺς σχεδόν

non videtur antiquus esse. — Lamynthium non recepi in ordinem, nam titulum tantum carminis testatur Athen. XIII. 597. A: *Ἀλλὰ μικροῦ . . . ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδήν, προστέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδήν, ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος· ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὡς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν κατασταὶς ἐποίησεν ὁ μὲν ἐλεγείοις, ὁ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν.* — Pancrates, quem memorat Plutarchus, satis recens fuisse videtur poeta, atque illud ipsum, quod Plut. de eo memoriae prodidit, non ex carmine aliquo petitum esse videtur: vid. Plut. de Mus. c. 20: *εἰ οὖν τις Αἰσχύλον ἢ Φρύνιχον φαίη δι' ἄγνοιαν ἀπεσχῆσθαι τοῦ χρώματος, ἅρά γ' οὐκ ἂν ἄτοπος εἴη· ὁ γὰρ αὐτὸς καὶ Παγκράτην ἂν εἴποι ἀγνοεῖν τὸ χρωματικὸν γένος. ἀπείχετο γὰρ καὶ οὗτος ὡς ἐπιτοπολὺ τούτου, ἐχρήσατο δ' ἔν τισιν· οὐ δι' ἄγνοιαν οὖν δηλονότι, ἀλλὰ διὰ τὴν προαίρεσιν ἀπείχετο. ἐζήλου γοῦν, ὡς αὐτὸς ἔφη, τὸν Πινδάρειόν τε καὶ Σιμωνίδειον τρόπον, καὶ καθόλου τὸ ἀρχαῖον καλούμενον ὑπὸ τῶν νῦν.* — Philonis versus:

Τί μ' ἀνέμνησας κείνων κυκλίων;

ap. Athen. XV. 697. B: *τοιαῦτα λέγοντος τοῦ Δημοκρίτου ὁ Κύνουλκος ἔφη· τί μ' ἀ. κ. κυκλίων* (ita Schweigh., v. *κυλίκων*) *κατὰ τὸν σὸν* (*τὸν σοφὸν* PV) *Φίλωνα.* non huc pertinet, nam Philo ipsius Athenaei aequalis esse videtur: certe de Philone Aristotelis discipulo (vid. Athen. XIV. 610. F.) non est cogitandum: quem poetam et tibicinem Philonem Stephanus Byz. v. *Μεταπόντιον* intelligat, prorsus incertum.

Digitized by Google

SCOLIA,

CARMINA POPULARIA,

FRAGMENTA ADESPOTA.

Digitized by Google

Digitized by Google

SCOLIA.

1.

ΠΥΘΕΡΜΟΥ.

Οὐδὲν ἦν ἄρα τἄλλα πλὴν ὁ χρυσός.

2.

x ⏑ / – – – ⏑ ⏑ – ⏑ – ⏑ – – ⏑ *)
x – / – ⏑ ⏑ – ⏑ – ⏑ – – ⏑
– ⏑ – / ⏑ – – / ⏑ ⏑ – ⏑
/ – ⏑ ⏑ – ⏑ – / – ⏑ ⏑ – ⏑ – – ⏑ (/ – ⏑ ⏑ – ⏑ – ⏑ – / – ⏑ ⏑ – ⏑ – – ⏑ **)

Παλλὰς Τριτογένει᾽, ἄνασσ᾽ Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων σύ τε καὶ πατήρ.

3.

Πλούτου μητέρ᾽, Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,

Scol. 1. Athenaeus XIV. 625. C: *Φασὶ δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ γένει τῆς ἁρμονίας αὐτῷ τούτῳ ποιῆσαι σκαιὰ (σκόλια) μέλη· καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν· οὗτός ἐστι Πύθερμος, οὗ μνημονεύει Ἀνάνιος ἢ Ἱππῶναξ ἐν τοῖς ἰάμβοις οὕτως· χρυσὸν λέγει Πύθερμος, ὡς οὐδὲν τἄλλα· λέγει δ᾽ οὕτως ὁ Πύθερμος, οὐδ ἐ ν* (PV *οὐθὲν*) *κτλ.* Diogenian. Prov. VI. 94: *Οὐδὲν ἦν τἄλλα πάντα πλὴν χρυσός· αὕτη ἀρχή ἐστι σκολιοῦ. ἀνατιθεῖσι δὲ αὐτὸ Πυθέρμωνι* (*Πυθέρμῳ*). Plut. Prov. I. 96. Suidas v. *οὐδὲν ἦν* (ubi *παρὰ* pro *ἄρα*).

Scol. 2. Athen. XV. 694. C: *Τῶν οὖν δειπνοσοφιστῶν ὁ μέν τις ἔλεγε τῶν σκολίων τόδε, ὁ δέ τις τόδε· πάντα δ᾽ ἦν τὰ λεχθέντα ταῦτα· Παλλὰς κτλ.* V. 3. *καὶ* Hermann, libri *τε καί.* — V. 4. *ἀώρων*, C et epit. Hoeschelii *εὐώρων.*

Scol. 3. Athen. ibid. V. 1. *Ὀλυμπίαν*, Casaub. coni. *Ὀμπνίαν*, quod certe *ὄμπνιαν* esse debebat, v. Herodian *π. διχρ.* p. 354. — *ἀείδω*, A *εἰδω ϑημητραστεστεφ*, B *ἐδωδὴν μήτρας τε στεφ.*

*) In basi etiam singulares aliquot formae reperiuntur ⏑ ⏑ –, ⏑ –, ⏑ ⏑.

**) Hanc pede auctiorem formam restitui Scol. 5. et 10. Cf. Scol. 17—20.

Digitized by Google

σέ τε παῖ Διὸς Φερσεφόνη·
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν.

4.

Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλω,
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.

5.

Ὦ Πάν, Ἀρκαδίας μεδέων κλεεννᾶς,
ὀρχηστά, Βρομίαις ὀπαδὲ Νύμφαις,
γελάσειας, ὦ Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναισι, ταῖσδ' ἀοιδαῖς κεχαρημένος.

6.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.

7.

Εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

V. 3. *σέ τε* A, vulgo deest. — ib. *Φερσεφόνη* A, vulgo *Περσεφόνη*. — V. 4. *ἀμφέπετον* Canter, vulgo *ἄμφετον*.

Scol. 4. Ibid. V. 1. *τέκνα*, Hermann *παῖδα* (*παῖδε*) coniecit. — V. 2. *Ἀπόλλω* Ilgen, libri *ἀπόλλων'* vel *ἀπόλλωνα*.

Scol. 5. Ibid. V. 1. et 3. *ὦ Πάν* Hermann, libri *ἰὼ Πάν*. — *μεδέων*, Hermann *μέδων*. — V. 2. C nihil nisi *βρόμιε* pro *Βρομίαις . . . γελάσειας*. — V. 3. *γελάσειας* Valckenaer, libri *γελασίαις*, nisi praestat *γελάσειας ἰώ*. — V. 4. *εὐφροσύναισι, ταῖς δ' ἀοιδαῖς* scripsi, libri *ταῖς δ' ἀοιδαῖς ἄεισδε* (*ἄοισδε* AB). Vulgo ex Hermanni coniectura *εὐφροσύναις ἀοιδαῖς κεχαρημένος*.

Scol. 6. Ibidem. Hoc scolium recedit ab usitato numero, nam non solum tertius quoque versus est Hendecasyllabus, sed etiam in basi hae formae ∪ – et ∪ ∪ reperiuntur. V. 2. *θεοὶ* AC, vulgo *οἱ θεοί*. — V. 3. de vitio suspectus, coniicio *ὡς φίλης Ἀθηνᾶς*, nam Pandrosus, in cuius sacello primigenia oliva, Minervae carissima ex Cecropis filiabus.

Scol. 7. Ibid. et Eustath. p. 1574, 16. Respicit Aristoph. Eccles. 969. V. 3. *ἐσιδόντα*, Eust. *ἰδόντα*. — *πάλιν*, Dindorf coni. *πάλιν τ'*.

Digitized by Google

8.

(ΣΙΜΩΝΙΔΟΥ.)

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

9.

(ΚΑΛΛΙΣΤΡΑΤΟΥ.)

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,

Scol. 8. Athen. XV. 694. E. et deinde adiicit: *ἐσθέντος δὲ τούτου καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ καὶ μνημονευσάντων ὅτι καὶ ὁ καλὸς Πλάτων αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου, ὁ Μυρτίλος ἔφη Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ λέγοντα οὕτως· Ὃ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν· Τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν* (l. *ὄν*) *Ὠνόμασεν ὀρθῶς· δεύτερον δ' εἶναι καλόν, Τρίτον δὲ πλουτεῖν· τοῦθ', ὁρᾷς, ἐμαίνετο. Μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει· Καλὸς δὲ πέινῶν ἐστιν αἰσχρὸν θηρίον.* Plato respicit Gorg p. 451. E. (*ὁ τὸ σκολιὸν ποιήσας*) ubi Schol. qui integrum adfert, *τὸ σκολιὸν τοῦτο οἱ μὲν Σιμωνίδου φασίν, οἱ δὲ Ἐπιχάρμου.* Cf. Leg. I. p. 631, C. et II. p. 661. A. Respicit etiam Lucian. de lapsu inter salutand. c. 6. *Simonidi* tribuunt Clem. Alex. Strom. IV. 375: *ὁ μὲν οὖν Σιμωνίδης καθάπερ καὶ Ἀριστοτέλης ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ γράφει, δεύτερον δὲ εὐφυᾶ καὶ καλὸν γενέσθαι, τρίτον δὲ πλουτεῖν ἀδόλως.* Apostol. XVII. 48. d. Theodoret. XI. 153. Schol. Lucian. l. l., Arsen. Viol. p. 456. ed. Walz. Cramer An. Par. III. 291. Quod alii Epicharmo tribuunt, fortasse inde repetendum, quod comicus hoc scolium commemoraverat, videturque huc pertinere versus ab Arist. Rhet. II. 21. servatus, *Ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ*, dorica ille quidem dialecto orbatus (ubi Meineke, qui et ipse Epicharmo tribuit, *ἐμὶν* scripsit) ad quem locum schol. ap. Cram. An. Par. I. 290: *τὸ ἀνδρὶ δ' ὑγιαίνειν ἄριστον Σιμωνίδου ἐστὶν ἀπὸ τῶν σκολιῶν αὐτοῦ ἐπῶν, οἳ δ' Ἐπιχάρμου.* Ex hoc loco etiam Walz Rhet. 1154. *ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστι.* Denique Stobaeus Flor. CIII. 9. nomine *Σκληρίου* integrum affert: fortasse hic quoque comicus alicui fabulae inseruit. Respicit etiam Liban. Epist. 1060. V. 1. *θνατῷ*, Athen. epit. *θνητῷ*, Schol. Luc. *θνητῷ ἀνδρί*, Theod., Ars. om. *θνατῷ*. — V. 2. *φυὰν καλόν*, ap. Ath. AC *καλὸν φυάν*, L *καλοφυάν*. — V. 3. *τὸ* om. Apost. Theod. Schol. Luc., (idem exhibet *πλουτέειν*), Schol. Pl. legit *τὸ δὲ τρίτον*. — V. 4. *καὶ τὸ*, Apost. *εἶτα τὸ*, om. Schol. Luc. et Plut. (ubi praeterea *τέταρτον δέ*). — *ἡβᾶν*, Athen. *συνηβᾶν*. — *τῶν*, ap. Stob. Trinc. *σῶν*.

Scol. 9. Athen. XV. 695. A. affert, (adde Eust. 1400, 18.) quod quoniam cum Scol. 10. 11. 12. 13. in eodem argumento versatur, Fritzsche (Quaest. Aristoph. p. 50.) et Schneidewin haec in unius carminis formam redegerunt. Callistratum carminis auctorem esse perhibet Hesychius v. *Ἁρμοδίου μέλος· τὸ ἐπὶ Ἁρμοδίῳ ποιηθὲν σκολιὸν ὑπὸ Καλλιστράτου οὕτως ἔλεγον.* quod ad primam huius argumenti tractationem referendum videtur: sed princeps quae sit ex variis cantilenis incertum, fortasse est scol. 10., quod quodammodo firmat Schol. Acharn. v. 980: *Ἐν ταῖς τῶν πότων συνόδοις ἡδόν τι Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχή· Φίλταθ' Ἁρμόδιε, οὔ τί που τέθνηκας.* Respicit Harmodii scolia praeterea Aristoph. Acharn. 989. Pelarg. fr. 3. Antiphan. Athen. XI. p. 503. E. adde Diogen. Proverb. II. 68. ibique interpr. — Scol. 9. respicit Aristoph. Lysistr. v. 632. ibique Schol., Suid. v. *ἐν μύρτου* et Apost. VIII. 35. V. 1. *φορήσω*, Suidas *κρατήσω*.

Digitized by Google

ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

10.

Φίλταθ' Ἁρμόδι', οὔ τί που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

11.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

12.

Ἀιεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν.
Φίλταθ' Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

* 13.

Οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις.

V. 2. κ' Brunck, legebatur καὶ. Meineke coni. Ἁρμόδιός τ' Ἀριστογείτων θ'. — V. 3. κτανέτην AC, κατανέτην Cant. L.

Scol. 10. Athen. ibid. Respicit Arist. Acharn. v. 1092. V. 1. οὔ τί που Schol. Arist. Acharn. v. 980. Suid. v. οὐδέ ποτ' ἐγὼ et πάροινος et Aristides I. p. 133. (ubi οὔ τι που ΑΘ, οὔτι πω vulgo), ap. Athen. οὔπω. — V. 2. νήσοις, B νήσοισ. — V. 3. Ἀχιλεύς Brunck, vulgo Ἀχιλλεύς. — V. 4. om. Epit. — ib. φασιν ἐσθλὸν scripsi, libri φασι τὸν ἐσθλόν. Vulgo ex Lowthii coniectura τὸν ἐσθλὸν deletum.

Scol. 11. Athen. ibid. V. 2. κ' Cant. L, καὶ AB.

Scol. 12. Athen. ib. V. 1. Ἀιεὶ Schweighaeuser, vulgo ἀεὶ. — V. 2. Ἁρμόδιος Ilgen, vulgo Ἁρμόδιε. — κ', B καὶ. — V. 3. ὅτι AB, sed Cant. L ὅτε. — κτανέτην, B κατανέτην.

Scol. 13. Aristophanes Vespis v. 1224. videtur hoc novi scolii exordium servasse: Ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων, Λίδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ· Οὐδεὶς πώποτ' ἀνὴρ ἐγένετ' Ἀθηναίοις (quae Bentley correxit) Οὐχ οὕτω γε πανοῦργος κλέπτης (scr. οὐδὲ κλέπτης).

Digitized by Google

14.

Αἰαῖ, Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

15.

(– ⏑ ⏑) – – ⏑ ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ –
⏑ ⏑ ⏑ – – ⏑ ⏑ –
⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
* * * *Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,*
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

16.

– ⏑ ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ ⏑ – ⏑ –
x – ⏑ ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ ⏑ – ⏑ –
Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·

Scol. 14. Athen. XV. 695. E. Legitur etiam ap. Etym. M. 361, 31: *Ἐπὶ Λειψυδρίῳ μάχη, χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιονίδαι προεστήκεσαν, ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾖδετο· Αἲ αἲ κτλ.* Apostol. VII. 70. Arsen. 239. Eustath. ad Il. p. 461, 26. (ubi omissus est v. 4.) et Suidam v. *ἐπὶ Λειψυδρίῳ μάχη*. V. 1. *Αἰαῖ* Dindorf, vulgo *αἲ αἲ*. — *προδωσέταιρον* Hermann (et sic in Et. VM, *προδωσέστερον* D), vulgo *προδοσέταιρον*. — V. 3. et 4. desunt in cod. V. Etym. — *μάχεσθαι*, Ars. Apost. *μάχεσθ'*, Eust. et Suidas vulgo *μάχεσθαί τ'* (ABEM *δ'*). — V. 3. *τε καὶ*, Eust. et Suidas vulgo *καὶ* (sed *τε καὶ* AE, *γε καὶ* BV ut Apost). Hermann *μάχεσθαί τ' ἀγαθοὺς γένει. τ'* — V. 4. om. Eustath. — *οἳ τότ'*, in Et. D *ὁπότ'* ut Suid. Arsen. Apost. — *ἔσαν* ap. Suid. ABVE (vulgo *ἦσαν*) et Ars. Apostol., *ἔασιν* Etym. (*ἔασαν* DM), *κυρησαν* Ath.

Scol. 15. Athen. XV. 695. A. *ἐξῆς δ' ἐλέχθη καὶ τάδε· ἐκ γῆς κτλ.* Excidit ab initio *Ἔκηλον* vel *πόρρωθεν* (quod etiam Schneidewin commemorat), Grotefend *ἐκ γῆς μὲν ἄνδρα*, ego antea *ἐκ γῆς Μέλαγχρε*, ut esset Alcaei carmen, conieci: et Aeolici poetae sane videtur esse, sed exuit germanam formam. — V. 3. *δέ κ'* Dindorf, *δὲ κ'* Cant. L, *δὲ καὶ* ABC.

Scol. 16. Athen. ibid. V. 1. *ὁ* A, *ὁ δὲ* BC et Eustath. p. 1574, 14. — *ἔφα*, A Eust. *ἔφη*. — V. 2. *χαλᾷ τὸν* Eustath. C (nisi quod hic *χηλῇ* supra script.) epit. Hoeschel L, *χάλιτὸν* AB cod. Cant.

Digitized by Google

εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν
καὶ μὴ σκολιὰ φρονεῖν.

17.

⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑

Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

18.

Τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

19.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.

V. 3. εὐθὺν, C εὔθεα, Epitome Hoesch. L et Eustath. εὐθέα. — ἔμμεν Casaubonus, codd. ενμεν vel ἐν μέν, Eust. C et cod. Cant. ἔμεν, Cobet εἶμεν. — Fortasse autem scolium sic potius conformandum:

ὁ δὲ καρκίνος ὧδ' ἔφα χαλαῖσιν τὸν ὄφιν λαβών·
εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν καὶ μὴ σκολιὰ φρονεῖν.

quemadmodum etiam Cobet constituit, nisi quod τῷ χαλῷ scripsit. Ceterum conf. Fab. Aesop. 70. Aliorsum pertinet paroemia, qua utitur Plut. de Herodoti malign. c. 27. Μένε, καρκίνε, καὶ σὲ μεθήσω.

Schol. 17. Athen. ibid. p. 695. C. Eust. 285, 2. V. 1. λέγουσί σε, C Cant. L Eust. λέγουσί σ', A λεγούσης. — V. 2. μετ' Eustath. (ubi etiam Ἀχαιῶν pro Δαναῶν), vulgo καὶ. Respiciunt huc Theopompus com. ap. Athen. I. 23. E. et Antiphan. ib. XI. 503. E. cf. etiam Alcaei Fr. 48. Brunck hoc scolium cum sequente in unum coniunxit. Ceterum videntur fuisse, qui *Pindaro* tribuerent hoc scolium, vid. Schol. Arist. Lysistr. 1237: Ἀρχή τινος σκολίου· παῖ Τελαμῶνος αἰχμητά· περὶ οὗ δεδήλωται ἤδη (vid. Schol. Acharn. 980.) ὁ δὲ νοῦς, ὅτι τὰ ἐναντία λέγομεν ἑαυτοῖς καὶ πράττομεν· ὅταν γάρ τις ᾖσῃ ἀπὸ τῶν σκολίων Πινδάρου, λέγομεν ὅτι δεῖ μᾶλλον ᾄδειν ἀπὸ Κλειταγόρας τῆς ποιητρίας.

Scol. 18. Athen. ibid., omisit C. — V. 2. μετ', libri καί.

Scol. 19. Athen. ibid. et Dio Chrysost. I. 36: Ἡ νὴ Δία τῶν Ἀττικῶν σκολιῶν τε καὶ ἐποίνων εὐχὰς οὐ βασιλεῦσι πρεπούσας, ἀλλὰ δημόταις καὶ φράτορσιν ἀγαθοῖς καὶ σφόδρα ἀνειμένοις· Εἴθε λύρα κτλ. V. 1. γενοίμην, Dio γενοίμαν, fortasse recte, ut est in vasculo Attico Annal. Inst. Archaeol. 1837. p. 186. ὦ Ζεῦ πάτερ, αἴθε πλούσιος γενοίμαν. — ἐλεφαντίνη Ath., sed ap. Dion. tantum M (ἐλεφαντία supra, ἐλεφαντίους C, ἐλεφαντίνα BA, ἐλεφαντίη P, ἐλεφαντία rel.). — V. 2. φέροιεν Athen. et ap. Dion. CM (sed ex corr. φορέοιεν, ut rel.).

Digitized by Google

20.

Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

21.

ΠΡΑΞΙΛΛΗΣ.

x ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
x ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Ἀδμήτου λόγον, ὦ' ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις.

22.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

23.

(*ΠΡΑΞΙΛΛΗΣ.*)

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ' ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

24.

Ἃ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ' ἔραμαι λαβεῖν.

Scol. 20. Athen. ibid. et Dio Chrysost. l. l., qui omisit verba *καθαρὸν θ. ν.* V. 1. *γενοίμην*, Dio *γενοίμαν*. — V. 2. *φοροίη* Athenaei codd., et ap. Dion. M (rel. *φοροιεν* vel *φοροῖεν*). Praeterea ap. Dion. est *γυνὴ καλὴ* (sed P *καλὴ γυνή*). Brunck coniunxit cum praegresso scolio.

Scol. 21. Athen. XV. 695. C. Eust. 326, 40. Dixi de hoc scolio ad Praxillae fragm. 3. V. 2. *ὀλίγα* Eust., *ὀλίγη* Athen.

Scol. 22. Athen. ibid. et Eust. 1574, 20. V. 1. *συνήβα* A et Eustath., vulgo *συνῆκα*. — *συστεφανηφόρει* C, *συνστεφανηφόρει* L Cant., *συγκανηφόρει* Eustath. — V. 2. *σὺν σώφρονι σωφρόνει* Canter, *συσσωφρόνει σώφρονι* C Eust., *συσσωφρονήσω σώφρονι* A, *συνσωφρονήσω σώφρονι* L Cant.

Scol. 23. Athen. ibid. V. 1. *ὦ' ταῖρ'*, *ὦ ἑταῖρε* ABC. Confer Praxillae Fr. 4.

Scol. 24. Athen. ibid. V. 2. *τὴν μὲν* AB, et *τὴν δ'* B, vulgo *τὰν μὲν ... τὰν δ'*. — *ἔχω*, *ἔχων* AB.

Digitized by Google

25.

Πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πνέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

26.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

27.

Ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ δὴ χρῆς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

28.

ΥΒΡΙΟΥ.

– ⏑ – – x ⏑ – ⏑ ⏑ – ⏑ ⏑
– ⏑ ⏑ – – – ⏑ – ⏑ – ⏑ ⏑ – –
– – – ⏑ ⏑ – – – ⏑ ⏑ – –
– – – ⏑ – ⏑ x ⏑ – ⏑ ⏑ – ⏑ ⏑
x ⏑ – – ⏑ ⏑ ⏑ – – ⏑ – –

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος στρ.
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δεσπότας μνοίας κέκλημαι.

Τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος ἀντ.
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός,

Scol. 25. Athen. ibid.

Scol. 26. Athen ibid. V. 1. *μεγάλαν* scripsi, vulgo *μεγάλην*. — V. 2. *θεοῖσιν*, *θεοῖς* B.

Scol. 27. Athen. XV. 695. E. V. 1. *καὶ Κήδωνι* AB cod. Cant., *κἀθωνι* Canter, *δὴ κώθωνι* Porson. — *διάκονε* AB, *διάκονε* L Cant. — V. 2. *εἰ δὴ χρῆς* scripsi, vulgo *εἰ δὴ χρὴ τοῖς*, Porson *εἰ χρὴ τοῖς*, Dobree *ἦ χρὴ τοῖς*. Possis *ἦ δὴ χρή σ'*

Scol. 28. Athen. XV. 695. F: *Σκόλιον δέ φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν. ἔχει δ' οὕτως· ἔστι κτλ.* Eadem Eust. 1574, 7. V. 1. *μέγας*, Eust. *μέγα*. — V. 4. *ἀμπέλω* Stephanus, *ἀμπέλων* CL Cant., *ἀμπέλου* Eust. — V. 5. *μνοίας*, C et Eust. om., Hermann *μνωΐας*, possis *μνοίταις* coniicere. — *κέκλημαι*, B *βέβλημαι*. — V. 6. *τολμῶντ'* Hermann, vulgo *τολμῶντες*. — *καὶ ξίφος* om. Eust. — V. 7. *πρόβλημα* L Cant., *πρόβλημά τι* ABC, om. Eust. una cum voce *χρωτός*.

Digitized by Google

πάντες γόνυ πεπτηῶτες ἀμόν
. . . . . (προς)κυνεῦντί (με) δεσπόταν
καὶ μέγαν βασιλέα φωνέοντες.

29.

– ∪ ∪ – ∪ – ⏑ ⏑ – ∪ – ⏑ ∪ ∪ – ∪ –

Χρήματα καὶ βίον Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θεσσαλῶν.

* 30.

x – – ⏑ ∪ – ⏑ ∪ – ⏑ ∪ – ∪ –
⏑ ∪ – ∪ ⏑ ∪ ∪ – ∪ – –

Οὐ χρὴ πόλλ' ἔχειν ϑνητὸν ἄνϑρωπον, ἀλλ' ἐρᾶν,
καὶ κατεσϑίειν· σὺ δὲ κάρτα φείδῃ.

V. 8. *πεπτηῶτες* Eust., *πεπτηότες* Ath. — *ἀμόν* Hermann, vulgo *ἐμόν*. — V. 9. lacunam indicavit Hermann. — *προςκυνεῦντί με* scripsi, vulgo *κυνέοντι*, Hermann *κυνεῦντί τε*. Eust. interpretatur *ἤγουν προςκυνοῦσί με ὡς δεσπότην καὶ προςφωνοῦσι μέγαν βασιλέα*. — V. 10. *φωνέοντες* ABCP, *φωνέοντι* VL Cant. Eust.

Scol. 29. Aristoph. Vesp. 1243: *Μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται ἀνὴρ σοφὸς καὶ μουσικός, κἄτ' ᾄσεται· Χρήματα καὶ βίαν Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θετταλῶν.* Correxi *βίον* et *Θεσσαλῶν*. Ceterum Schol. ad h. loc. *Κλειταγόρας μέλος λέγουσι τὸ εἰς αὐτὴν Κλειταγόραν, ἥ τις ἐγένετο ποιήτρια Θετταλή τις γυνή . . . . ἐκ σκολιοῦ τινός ἐστιν· Ἀθηναίοις δὲ Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ.* et supra ad v. 1239: *Ἡρώδικος δὲ ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραιρε, παραϑεὶς τὰ τοῦ Κρατίνου ἐκ Χειρώνων· Κλειταγόρας ἄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ. Ἀπολλώνιος δὲ ὁ Χαίριδος, ὡς Ἀρτεμίδωρός* (cod. Ven. *ἀρτεμιδώρου*) *φησι, περὶ μὲν τῆς Κλειταγόρας τῆς ποιητρίας, ὅτι ὡς ἀνδρώνυμον ἀναγέγραιφε Κλειταγόραν, Ἀμμώνιος ἀπελέγχει αὐτόν, περὶ δὲ τοῦ Ἀδμήτου παρεῖχεν.* Clitagorae scolium commemoravit etiam Arist. Lysistr. 1236., ubi Schol.: *ἀπὸ Κλειταγόρας τῆς ποιητρίας· ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης.* Hesych. *Κλειταγόρα, ᾠδῆς τι εἶδος καὶ (ποιήτρια) Λεσβία τὸ γένος.* Sed Clitagora an revera poesi operam navaverit prorsus incertum, hoc certe scolium non est ab ea profectum.

Scol. 30. Amipsias ap. Athen. XI. 783. E: *Αὔλει μοι μέλος, Σὺ δ' ᾄδε πρός· τήνδ' ἐκπίομαι δ' ἐγὼ τέως· Αὔλει σὺ καὶ σὺ τὴν ἄμυσιν λάμβανε· Οὐ χρὴ κτλ.* Non videtur hoc ab Amipsia compositum esse, sed vetus scolium. V. 1. *ἄνϑρωπον*, Meineke *ἄνδρ'* vel *ἄνϑρωπον ὄντ'*. — V. 2. Meineke coni. *σὺ δὲ κάρτ' ἀφειδής*, et fuit fortasse sic in scolio, quod consulto mutaverit Amipsias.

Digitized by Google

CARMINA POPULARIA.

ΙΟΥΛΟΣ.

1.

Πλεῖστον οὖλον ἴει, ἴουλον ἴει.

ΛΙΝΟΣ.

2.

Ὦ Λίνε (πᾶσι) θεοῖσιν
τετιμένε, σοὶ γὰρ ἔδωκαν
πρώτῳ μέλος ἀνθρώποισιν
φωναῖς λιγυραῖς ἀείσαι·
Φοῖβος δὲ κότῳ σ' ἀναιρεῖ,
Μοῦσαι δέ σε θρηνέουσιν.

Fr. 1. Athen. XIV. 618. D: *Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων φησί· Τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' αὐτὰ προσηγόρευον ἀμάλας· συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν μίαν γενόμενα δέσμην οὖλους καὶ ἴουλους· καὶ τὴν Δήμητρα ὁτὲ μὲν Χλόην, ὁτὲ δὲ Ἴουλω· ἀπὸ τῶν οὖν τῆς Δήμητρος εὑρημάτων τούς τε καρποὺς καὶ τοὺς ὕμνους τοὺς εἰς τὴν θεὸν οὖλους καλοῦσι καὶ ἰούλους. δημήτρουλοι καὶ καλλίουλοι. Καὶ Πλεῖστον κτλ. ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν.* Eadem Eustath. 1162, 42: *καὶ ἐπιφώνημα ἐμμελὲς τό· πλεῖστον κτλ.* Cf. Sch. Apoll. Rh. I 972. — *οὖλον* semel Eust. PV, *οὖλον οὖλον* L. — *ἴει* AC a m. pr. Eust. *ἴει* PVL, *ἰὴ* C a m. sec. — *ἴουλον*, P *οὖλον*.

Fr. 2. Schol. Hom. Il. σ'. 570: *Ἔστι δὲ μέλος θρηνητικὸν ὁ λίνος μετ' ἰσχνοφωνίας ᾀδόμενος. — ἐθρηνεῖτο γὰρ οὗτος παρὰ τῶν Μουσῶν οὕτως· Ὦ Λίνε θεοῖς τετιμημένε, σοὶ γὰρ πρώτῳ μέλος ἔδωκαν ἀθάνατοι ἀνθρώποισι φωναῖς λιγυραῖς ἀείσαι· Φοῖβος δέ σε κότῳ ἀναιρεῖ, Μοῦσαι δέ σε θρηνέουσιν.* quae correxi, ita quidem ut *πᾶσι* adderem, quod saepe excidit, estque in epigrammate ad imitationem huius cantilenae compositi, et *ἀθάνατοι* eiicerem, quod ex isto epigrammate irrepsit. — V. 5. restituit Schneidewin. Existimo autem ipsum hoc esse exordium antiquae cantilenae, *Lini* sive *Aelini*; est autem eius metri, quod apud Graecos antiquissimum fuit, unde *hexametri* quoque origines sunt repetendae:

vel

semper autem bini paroemiaci, ut fit in popularibus carminibus, copulantur. Fortasse aliquis coniiciat nonnullos Orpheo tribuisse hoc carmen, siquidem

Digitized by Google

ΥΜΝΟΣ ΕΙΣ ΑΡΤΕΜΙΝ.

3.

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον νεναί τε ὄθεν.
. . . .
Ἀ δέ τις ἄλλα χρυσοφάεννα
κρέμβαλα χαλκοπάρᾳα χερσίν.

ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

4.

Ἀνάβαλ' ἄνω τὸ γῆρας,
ὦ καλὰ Ἀφροδίτα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

5.

Μέλπωμεν
Διόνυσον ἀγλαόμορφον,
βακχεύτορα ξανθοκάρηνον.

Schol. paullo ante dixit: *ἥ τε καλουμένη Σφαῖρα ποίημά ἐστιν* (Eustath. 1163, 57. *ποιημάτιον*) *εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα.* Sed hoc incertissimum. Schneidewin haec Melanippidae tribuit, (quoniam idem schol. paulo ante dicit: *Ἡ κατὰ Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ' καὶ παρὰ Μελανιππίδῃ*·) a cuius poesi isti versus prorsus abhorrent. Ad hanc veterem autem cantilenam compositi sunt hexametri ap. Schol. Hom., Eust. 1163, 59. Eudoc. 277:

Ὦ Λίνε, πᾶσι θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείσαι
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σε θρήνεον αὐταί
μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἠλίου αὐγάς.

dicit autem Eust. *ἐπίγραμμα.* Adde Cram. An. Par. III. 289, 7. ubi dicitur: *ἐπιγραφὴ ἐστιν ἐν Θήβαις.*

Fr. 3. Athen. XIV. 636. D: *Κρέμβαλα· περὶ ὧν φησὶ Δικαίαρχος ἐν τοῖς περὶ τοῦ Ἑλλάδος βίου ἐπιχωριάσαι φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν ὄργανά τινα ποιᾶ, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή· Ἄρτεμι . . . χερσίν.* Facile apparet duo diversa fragmenta afferri. — V. 1. *ἐφίμερον* AB, *ἐφ' ἥμερον* PVL. — V. 2. *ὕμνον* L, *ὕπνον* PV. — *νεναι* A, *νέναι* B, *λέναι* PVL. — *ὄθεν* BVL, *ὄθε* P. Videtur scribendum: *σοί μ' ἐπὶ φρὴν ἐφίμερον ὕμνον ὐδὲν* (vel *ὑμνὲν*) *ἀνήνοθεν.* — V. 3. *ἃ δέ τις*, P *ἀδέ τις*, vulgo *ᾇδέ τις.* — *χρυσοφάεννα* scripsi, vulgo *χρυσοφανία.* — V. 4. *χαλκοπάρᾳα*, A a m. sec. *χαλκοπάρηα*, a m. pr. *χαλκοπάραα* ut PVL. — *χερσίν*, conieci *χεροῖν.*

Fr. 4. Plut. Quaest. Symp. III. 6, 4: *ἀλλὰ καὶ προσευχόμεθα δήπουθεν αὐτῇ λέγοντες ἐν τοῖς θεῶν ὕμνοις· ἀνάβαλε κτλ. Ἀφροδίτα* Dübner, v. *Ἀφροδίτη.*

Fr. 5. Boeckh Corp. Inscr. I. n. 38. In ara rotunda, quae pompam Bacchicam sculptam exhibet, legitur hic titulus litteris ad antiquitatis speciem

Digitized by Google

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

6.

Καλεῖτε Θεόν.
Σεμελήϊ᾽ Ἴακχε πλοντοδότα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

7.

Ἐλθεῖν, ἥρω Διόνυσε,
Ἀλείων ἐς ναόν
ἀγνὸν σὺν Χαρίτεσσιν,
ἐς ναὸν
τῷ βοέῳ ποδὶ θύων.
ἄξιε ταῦρε,
ἄξιε ταῦρε.

---

scriptis: *ΜΕΛΠΟΜΕΝ: ΔΙΟΝΥΣΟΝ ΑΓΛΑΟΜΟΡΦΟΝ: ΒΑΚΧΕΥΤΟΡΑ ΞΑΝΘΟΚΑΡΕΝΟΝ.* Ara quamquam recentis aetatis, carmen tamen antiquum videtur: usus est hac cantilena auctor hymni in Anth. Pal. IX. 524:

Μέλπωμεν βασιλῆα, φιλεύϊον, εἰραφιώτην,
ἁβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην —
ξυστοβόλον, ξυνόν, ξενοδώτην, ξανθοκάρηνον.

neque enim assentior Boeckhio, qui ex isto hymno hunc titulum mala fraude compositum esse censet.

Fr. 6. Schol. Aristoph. Ran. 479: *Ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ θαδοῦχος κατέχων λαμπάδα λέγει· καλεῖτε Θεόν· καὶ οἱ ἐπακούοντες βοῶσι· Σεμελήϊ᾽ κτλ. ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον· ἐπειδὰν γὰρ σπονδυποιήσωνται, ἐπιλέγουσιν· Ἐκκέχυται· κάλει Θεόν.* Item numeris astrictum videtur, quod servavit Origenes (Hippolyt.) adv. Haeret. p. 115: *ὁ δὲ στάχυς οὐτός ἐστι καὶ παρὰ Ἀθηναίοις ὁ παρὰ τοῖ ἀχαρακτηρίστου φωστὴρ τέλειος μέγας, καθάπερ αὐτὸς ὁ ἱεροφάντης . . . . νυκτὸς ἐν Ἐλευσῖνι ὑπὸ πολλῷ πυρὶ τελῶν τὰ μεγάλα καὶ ἄρρητα μυστήρια βοᾷ καὶ κέκραγε λέγων· ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ βριμὴ τουτέστιν ἰσχυρὰ ἰσχυρόν.* ubi *βριμόν* scribendum esse vidit etiam Miller. Fuit:

Ἱερὸν ἔτεκε πότνια κοῦρον
Βριμὼ βριμόν.

Fr. 7. Plut. Quaest. Graec. 36, 7: *Διὰ τί τὸν Διόνυσον αἱ τῶν Ἠλείων γυναῖκες ὑμνοῦσαι παρακαλοῦσι βοέῳ ποδὶ παραγίγνεσθαι πρὸς αὐτάς· ἔχει δ᾽ οὕτως ὁ ὕμνος· ἐλθεῖν . . . θύων, εἶτα δὶς ἐπάδουσιν· Ἄξιε ταῦρε.* V. 1. *ἥρω*, non ausus sum *ἥρως* substituere. — V. 2. *Ἀλείων* scripsi, ut duo sint molossi, cf. v. 4. Welcker *Ἄλιον*, vulgo *ἅλιον*. De Bacchi cultu apud Eleos eiusque festo *Θυῖα* vid. Paus. VI. 26, 1.

Digitized by Google

8.

Ἀνάγετ', εὐρυχωρίαν
τῷ θεῷ ποιεῖτε·
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος
διὰ μέσου βαδίζειν.

9.

Σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καινάν, ἀπαρθένευτον, οὔτι ταῖς πάρος
κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

10.

Ἀχαΐνην στέατος ἔμπλεων τράγον.

11.

Πόρρω γάρ, ὦ παῖδες, πόδα
μετάβατε καὶ κωμάξατε
βέλτιον.

Fr. 8. *Ithyphallorum* cantilenam affert Semus ap. Athen. XIV. 622. B: *Οἱ δὲ ἰθύφαλλοι ... ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες· ἀνάγετε εὐρυχωρίαν* κτλ. V. 1. *ἀνάγετε κῶμον* addidit Tyrwhitt, rectius Meineke *ἀνάγετ' ἀνάγετε πάντες* coniecit, quamquam praestare videtur *ἀνάγετε πάντες, ἀνάγετ'*. — V. 2. *τῷ θεῷ ποιεῖτε* Porson, codd. *ποιεῖτε τῷ θεῷ*. — V. 3. *ἐθέλει*, Meineke *θέλει*. — *ἐσφυρωμένος*, conieci *ἐσφυδωμένος*, et sic etiam Meineke.

Fr. 9. *Phallophororum* cantilenam servavit Semus ap. Athen. XIV. 622. E: *Οἱ δὲ φαλλοφόροι ... παρέρχονται οἱ μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς θύρας βαίνοντες ἐν ῥυθμῷ καὶ λέγοντες· Σοὶ Βάκχε* κτλ. V. 1. *σοὶ*, B *σύ*. — V. 3 *καινάν* Hemsterhuys, codd. *καὶ μάν*. — V. 4. *κεχρημέναν ᾠδαῖσιν* Porson, A *κεχρημεναν ωδαισιν*, B *κέχρημε κανώδησιν*, P *κέχρημεν κανώδασιν*, VL *κεχρήμεθα πανώδασιν*.

Fr. 10. Athen. III. 109. F: *Ἀχαΐνας· τούτου τοῦ ἄρτου μνημονεύει Σῆμος ἐν ὀγδόῳ Δηλιάδος λέγων ταῖς θεσμοφόροις γίγνεσθαι· εἰσὶ δὲ ἄρτοι μεγάλοι, καὶ ἑορτὴ καλεῖται Μεγαλάρτια, ἐπιλεγόντων τῶν φερόντων· Ἀχαΐνην* (*ἀχαίνου* B) *στ. ἔμπλεων* (sic AD, *ἔμπλεῶ* B, *ἔμπλεον* VL) *τράγον* (hanc imperativi formam esse pro *τράγε* docuit Meineke).

Fr. 11. Lucian. Saltat. 10: *Τοιγαροῦν καὶ τὸ ᾆσμα, ὃ μεταξὺ ὀρχούμενοι (οἱ Λάκωνες) ᾄδουσιν, Ἀφροδίτης ἐπίκλησίς ἐστιν καὶ Ἐρώτων, ὡς συγκωμάζοιεν αὐτοῖς καὶ συνορχοῖντο· καὶ θάτερον δὲ τῶν ᾀσμάτων — δύο γὰρ ᾄδεται — καὶ διδασκαλίαν ἔχει ὡς χρὴ ὀρχεῖσθαι· πόρρω γάρ φασιν (φησιν), ὦ παῖδες* κτλ. *τουτέστιν ἄμεινον ὀρχήσασθε*. ubi *κωμάξατε* Solanus, *κομάξατε* a, *κωμάσατε* codd. Cf. Hesych. *κωμάδδειν· ὀρχεῖσθαι*.

Digitized by Google

12.

Ποῖ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
Ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

13.

Χαλκῆν μυῖαν θηράσω.
Θηράσεις, ἀλλ' οὐ λήψει.

14.

A. *Χέλει χελώνη, τί ποιεῖς ἐν τῷ μέσῳ;*
B. *Μαρύομ' ἔρια καὶ κρόκην Μιλησίαν.*
A. *Ὁ σὸ' ἔκγονός σου τί ποῖων ἀπώλετο;*
B. *Λευκᾶν ἀφ' ἵππων εἰς θάλασσαν ἅλατο.*

15.

Ἔξεχ', ὦ φίλ' Ἥλιε.

16.

Ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος.

Fr. 12. Athen. XIV. 629. E: *Ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα· ταύτην δὲ ᾠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες· Ποῦ κτλ.* V. 2. om. PVL, add. ABC et epit. Hoesch. — *ταδὶ τὰ ῥόδα* censor Ienensis, codd. *ποῦ μοι ταδὶ τὰ ῥόδα κτλ.*

Fr. 13. Poll. IX. 123: *Ἡ δὲ χαλκῆ μυῖα, ταινίᾳ τῷ ὀφθαλμῷ περισφίγξαντος ἑνὸς παιδός, ὁ μὲν περισιρέφεται κηρύττων· χαλκῆν μ. ὀ. οἱ δὲ ἀποκρινάμενοι· θηράσεις κτλ. σκύτεσι βυβλίνοις αὐτὸν παίουσιν, ἕως τινὸς αὐτῶν λάβηται.*

Fr. 14. Pollux IX. 125: *Ἡ δὲ χελὶ χελώνη παρθένων ἐστὶν ἡ παιδιά, παρόμοιόν τι ἔχουσα τῇ χύτρᾳ· ἡ μὲν γὰρ κάθηται, καὶ καλεῖται χελώνη, αἱ δὲ περιτρέχουσιν ἀνερωτῶσαι· χελὶ χελ. . . . ἡ δὲ ἀποκρίνεται· ἔρια μαρύ. . . . εἶτ' ἐκεῖναι πάλιν ἐκβοῶσιν· ὁ δ' ἔκγονός σου . . . ἡ δέ φησι· λευκᾶν κτλ.* Eadem Eust. Qd. 1914, 56. V. 1. *χέλει χελώνη* Eustath., qui dicit: *ἔστι δ' ἐν τούτοις τὸ χέλει προστακτικὸν δῆθεν, παρεχούμενον τῇ χελώνῃ.* Nisi forte malis *χελεῦ*, vid. Hesych. *χελεύς· χελώνη.* Pollux *χελί*, sed Bekker *χελιχελώνη.* Simile est *πόνῳ πόνηρος*, vel rectius *πονωπόνηρος* ap. Arist. Vesp. 466. Lys. 350. — *ποῖεις* Meineke et v. 3. *ποῖων*, vid. Ahrens D. Dor. 208., nisi praestat *ποϊεῖς* et *ποϊῶν*. — V. 2. *μαρύομ' ἔρια* Meineke, v. *ἔρια μαρύομαι*, idem praeterea *κρόκαν* scripsit. — V. 3. *ἔκγονος*, Eust. *ἔγγονος.*

Fr. 15. Pollux IX. 123: *Ἡ δὲ ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρόταν ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπόταν νέφος ἐπιδράμῃ τὸν θεόν, ὅθεν καὶ Στράττις ἐν Φοινίσσαις· εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις, ὅταν λέγωσιν, ἔξεχ' ὦ φίλ' ἥλιε.* Cf. Aristoph. Insul. Fr. 4. Eust. Il. 881, 42. Athen. XIV. 619. B: *Ἡ δὲ εἰς Ἀπόλλωνα ᾠδὴ φιληλιάς, ὡς Τελέσιλλα παρίστησιν.*

Fr. 16. Heraclit. Allegor. Hom. c. 6: *καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλλούμενον· ἥλιος κτλ.* siquidem hoc ex cantilena populari petitum est.

Digitized by Google

17.

Ἄμμες πόκ' ἦμες ἄλκιμοι νεανίαι.
Ἄμμες δέ γ' εἰμές· αἰ δὲ λῆς, αὐγάσδεο.
Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.

18.

Ἴωμεν εἰς Ἀθήνας.

19.

Μακραὶ δρύες, ὦ Μέναλκα.

20.

Ἐκκόρει, κόρη κορώνη.

Fr. 17. Plut. vit. Lycurg. 21: *Τριῶν γὰρ χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ἦδεν· Ἄμμες ποκ' κτλ. ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος ἔλεγεν· Ἄμμες δέ γ' κτλ. ὁ δὲ τρίτος ὁ τῶν παίδων· Ἄμμες κτλ.* Possis ad *Tyrtaeum* referre, siquidem Pollux IV. 107. dicit: *τριχορίαν δὲ Τύρταιος ἔστησε, τρεῖς Λακώνων χορούς, καθ' ἡλικίαν ἑκάστην, παῖδας ἄνδρας γέροντας.* Iidem versus Instit. Lac. 15. et de se ipsum citra inv. laud. 15., (ubi inverso ord. v. 1. 2. 3.) leguntur. V. 1. *ἄμμες*, Plut. secundo loco *ἄμες* (Xyl. *ἄμμες*). In proecdosi *ἀμὲς* ubique scripsi. — *πόκ'* ACS primo Plut. loco, v. *ποτ'*. — *ἦμες*, tertio loco vulgo *ἦ μέν*, sed Mosc. 1, 2. *ἦμες*, primo loco FaL *ἦμεν*. — V. 2. *δέ γ'*, Keil coni. *δ' ἔτ'*. — *εἰμές* Plutarchi primo loco tantum X (*εἰμὲν* ACS, *εἶμεν* ia), secundo *ἐσμέν*, tertio *εἰμέν*. — *αὐγάσδεο* duobus locis, *πεῖραν λαβὲ* primo loco. — V. 3. *ἐσσόμεσθα* primo loco AC, v. *ἐσόμεσθα*. — *πολλῷ* Steph., codd. *πολλῶν* (C *πολλὸν*), qui etiam *κρείσσονες* praebent. Cf. praeterea schol. Platon. p. 223., ubi V. 2. *ἔνεσμεν, ἢν δὲ λῆς, πεῖραν λαβέ.* Diogen. II. 30. et V. 3. Zenob. I. 82. Greg. Cypr. I. 48. Apost. II. 72. Arsen. p. 51. Conferas denique epigramma Laconicum ap. Plut. Consol. c. 15. et Arsen. 369:

Νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλλεον (ἐθάλεον), αὐτίκα δ' ἄλλοι,
ὧν ἄμμες γενεὰν οὐκέτ' ἐποψόμεθα.

Fr. 18. Plut. Quaest. Graec. c. 35: *Τί δήποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις· Ἴωμεν εἰς Ἀθήνας.*

Fr. 19. Athen. XIV. 619. C: *Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν νόμιον καλεῖσθαί τινά φησιν ᾠδὴν ἀπ' Ἠριφανίδος, γράφων οὕτως· Ἠριφανὶς ἡ μελοποιός, Μενάλκου κυνηγετοῦντος ἐρασθεῖσα, ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυμίαις· φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρείους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους Ἰοὺς δρόμους· ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέροντας, ἀλλὰ καὶ τῶν θηρῶν τοὺς ἀνημερωτάτους συνδακρῦσαι τῷ πάθει, λαβόντας αἴσθησιν ἐρωτικῆς ἐλπίδος· ὅθεν ἐποίησέ τε καὶ ποιήσασα περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστι· Μακραὶ δρύες, ὦ Μέναλκα.* (B *Μενάλκαι*). *Eriphanis* cur non sit recipienda in numerum poetarum, facile apparet.

Fr. 20. Horapollo Hierogl. I. 8: *Τῆς δὲ τοιαύτης αὐτῶν (τῶν κορωνῶν) ὁμονοίας χάριν μέχρι νῦν οἱ Ἕλληνες ἐν τοῖς γάμοις ἐκ κορὶ κορὶ κορώνη* (sic cod. Par. C, cf. codd. ap. Bachm. An. II. 407.) *λέγουσιν ἀγνοοῦντες.* sed cod. Aug. et edd. *ἐκκορὶ κορὶ κορώνην*, codd. Par. AB cod. Mor. *κορώνη*. Adde Schol. Pind. Pyth. III. 27: *κἂν τῷ βίῳ ἀκορεῖ* (cod. Gott.

Digitized by Google

21.

Ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ', ἱκετεύω·
πρὶν καὶ μολὲν κεῖνον, ἀνίστω·
μὴ κακὸν μέγα ποιήσῃ σὲ
κἀμὲ τὰν δειλάκραν·
ἀμέρα καὶ δή· τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ὁρῇς;

22.

Ἐς τε μέσον πεδίον Στενυκλήριον, ἔς τ' ὄρος ἄκρον
εἶπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

23.

Ἐν φανερᾷ γενόμαν, πάτραν δέ μου ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μήτηρ δ' ἔστ' ἀριθμοῖο πάϊς.

εὐκορεῖ) ἀντὶ τοῦ κόρας (cod. Gott. κούρους) κορώνας. παροτρύνοντες δ' (cod. Gott. προτρέποντες) ἔνιοί φασιν· ἐκκορεῖ κόρους κορώνας. (cod. Gott. ἐκκόρει κόρει κορώνας). quae Boeckhio ex dittographia orta esse videtur: idem scripsit ἐκκόρει, κόρει κορώνην· exorna, orna cornicem. Hermann Opusc. II. 328: κἂν τῷ βίῳ, ὡςπερεὶ ἀντὶ τοῦ κούρους, κορώνας παροτρύνοντες ἔνιοί φασιν· ἐκκόρει κόρην, κορώνη· i. e. devirgina virginem cornix. Welcker Prometh. 397: ἐκκόρει, κόρε, κορώνην. Mihi leg. videtur: κἀν τῷ βίῳ ἐκκορεῖν ἀντὶ τοῦ ὑποκουρίζεσθαι, καὶ κορώνας παροτρύνοντες ἔνιοί φασιν· ἐκκόρει, κόρη κορώνη. Etenim quod ὑποκουρίζεσθαι vel κουρίζεσθαι dici solebat, vulgo dicebatur ἐκκορεῖν, vid. Hesych. κουριζομέναις, ὑμεναιουμέναις, γαμουμέναις, διὰ τὸ λέγειν· σὺν κούροις τε καὶ κόραις· ὅπερ νῦν παρεφθαρμένως ἐκκορεῖν (cod. ἐκ κόρεν) λέγεται. Haec explicatio etiam adhibenda huic cantilenae nuptiali, restituendum autem ἐκκόρει, κόρη κορώνη, hymenaeum cane, virgo cornix. quo nomine apte appellare licuit cornicem (quod Hesych. habet: κυσθοκορώνη· νύμφη ex comico poeta petitum videtur), nisi forte quis comparare malit χέλει χελώνη, quod extat supra. Ceterum ex eadem hac cantilena nuptiali fortasse etiam petitum est, quod exhibet Schol. Pind. et Hesych.:

Σὺν κόροις τε καὶ κόραις.

Resp. huc etiam Aelian. Hist. An. III. 9: Ἀκούω δὲ τοὺς πάλαι καὶ ἐν τοῖς γάμοις μετὰ τὸν ὑμέναιον τὴν κορώνην καλεῖν, σύνθημα ὁμονοίας τοῦτ' εἶναι τοῖς συνιοῦσιν ἐπὶ τῇ παιδοποιΐᾳ διδόντας.

Fr. 21. Athen. XV. 697. B: Οὗτος γὰρ τὰς καπυρωτέρας ᾠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἷαί εἰσιν αἱ Λοκρικαὶ καλούμεναι, μοιχικαί τινες τὴν φύσιν ὑπαρχουσαι, ὡς καὶ ἥδε· Ὦ κτλ. V. 1. ἥδε· ὦ τί Dindorf, ἡδέω τι A, ἡδεῶ τί B, ἡδέω τί P, ἡδέως τι VL. — V. 2. μολὲν Bentley, μόλεν PVL, μόλιν AB. — ἀνίστω Bentley, ἀνιστῶ PVL. — V. 3. ποιήσῃ σὲ κἀμὲ Dindorf, vulgo ποιήσῃς καί με, Bothe ποιῇς με. — τὰν Bothe, vulgo τὴν. — V. 4. δή scripsi, vulgo ἤδη, contra Dindorf καὶ delevit. — ὁρῇς scripsi, ἐκορῇς A, εκόρης B, ἐσορῇς VL. Schneidewin, ut Locrorum dialectum restitueret, de qua nihil compertum habemus, v. 1. ἀμέ, v. 2. κῆνον et ἀνίστα scripsit.

Fr. 22. Pausan. IV. 16, 6: Ἀριστομένει δέ, ὡ ἀνέστρεψεν ἐς τὴν Ἀρδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθῶν ἐπέλεγον ᾆσμα τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον· ἔς τε μέσον κτλ.

Fr. 23. Athen. X. 455. D: ἔστιν εὐπορῆσαι καὶ ἄλλων γρίφων· ἐν φανερᾷ κτλ. φανερᾷ μὲν οὖν λέγει τῇ Λήλῳ, ἥτις ὑπὸ θαλάσσης περιέχεται, μήτηρ δ' ἡ Λητώ, ἥτις Κοίου ἐστὶ θυγάτηρ, Μακεδόνες δὲ τὸν ἀριθμὸν κοῖον προσαγορεύουσι. cf. Eustath. Od. 1558, 3. V. 1. ἐν φανερᾷ ABCP Eust., ἐν φανερῷ VL. — πάτραν δέ μου AC, πάτρην δέ μου Eust. πάτρη δέ μοι PVL. — V. 2. ἔστ' L Eust., ἐστὶν PV.

Digitized by Google

24.

Κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίει.

25.

ΠΑΝΑΡΚΟΥΣ.

Αἶνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνήρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδών
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην,
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

26.

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῆ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

27.

Σῖτον ἐν πηλῷ φύτευε· τὴν δὲ κριθὴν ἐν κόνει.

28.

Λίψ ἄνεμος ταχὺ μὲν νεφέλας, ταχὺ δ' αἴθρια ποιεῖ,
Ἀργέστῃ δ' ἀνέμῳ πᾶσ' ἕπεται νεφέλη.

Fr. 24. Athen. ib. *καὶ ἐπὶ τῆς πτισάνης· Κριθῆς κτλ.* Sed quod ibid. legitur 457. B: *λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος* ex tragico aliquo poeta petitum videtur.

Fr. 25. Schol. Plut. de Rep. V. p. 479. C: *Κλεάρχου γρίφος· Αἶνός κτλ.* et deinde: *ἄλλως·*

Ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ βαλών τε κοὐ λίθῳ διώλεσεν·

νυκτερίδα ὁ εὐνοῦχος νάρθηκος κισσήρει. (Similiter Schol. Aristot. IV. p. 14. nisi quod ter *ὄρνιν*). Plato ipse dicit: *τῷ τῶν παίδων αἰνίγματι τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι τῆς νυκτερίδος.* Affert etiam Eustath. Il. 713, 10., ubi v. 3: *καθημένην τε κοὐ καθημένην*, Suid. v. *Αἶνος*, ubi v. 2. *ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως*, v. 3. Bernhardy *ἐπὶ ξύλου με*, vulgo *με* deest, v. 4. libri *λίθῳ με βαλὼν διώλεσεν.* Respicit Trypho ap. Walz. Rhet. VIII. 736. Moschopul. 75. — *Panarci* vindicat Athen. X. 452. C: *καὶ τὸ Πανάρκους δ' ἐστὶ τοιοῦτον, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ γρίφων, ὅτι βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνὴρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε καὶ οὐ λίθῳ.* Cf. etiam Photius v. *Νυκτερίδος αἶνος.*

Fr. 26. Plut. Am. et Adul. c. 9: *οὕτως ἄπειρος ἦν κόλακος ὁ νομίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ κόλακι μᾶλλον ἢ τῷ καρκίνῳ* (leg. *τῷ καρκίνῳ μᾶλλον ἢ τῷ κόλακι*) *προσήκειν· Γαστήρ κτλ.* Nisi forte ex comico poeta petitum est.

Fr. 27. Plut. Quaest. Nat. c. 16: *Διὰ τί λέγεται· σῖτον κτλ. φύτευε*, legebatur *φυτεύετε.*

Fr. 28. Theophrast. de vent. 51: *Ἐπεὶ δὲ πρὸς τὰς χώρας ἑκάστοις καὶ τοὺς τόπους ἐπινεφῆ καὶ αἰθρίαι, διὰ τοῦτο καὶ τὰ τῶν ἐν παροιμίᾳ λεγομένων πρός τινας τόπους εἰσίν, ὡς περὶ τοῦ ἀργέστου καὶ λιβός· εἰσχυρὸς δὲ μάλιστα περὶ Κνίδον καὶ Ῥόδον, Λὶψ ἄνεμος κτλ.* V. 2. *αθρια* Turnebus, *αἰθριαι* A, *αἰθρίαν* Vossianus, *αἰθρίας* ed. Bas.

Digitized by Google

29.

Ἦλθ', ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυρῶν τε κάνυστρον·

Extant alia praecepta popularia de tempestate versibus heroicis aut iambicis inclusa, velut ap. Theophr. ib. 37. et Aristot. Probl. 26, 31:

Ἕλκων ἐφ' αὐτὸν ὥστε καικίας νέφη.

ap. Theophr. 49. et Aristot. 26, 9. et 14:

Οὔποτε νυκτερινὸς βορέας τρίτον ἶκετο φέγγος.

ap. Theophr. 50:

Φιλεῖ δὲ νότος μετὰ πάχνην.

ap. Aristot. 26, 48:

Εἰ δ' ὁ νότος βορέαν προκαλέσσεται, αὐτίκα χειμών.
Εἰ βορρᾶς πηλὸν καταλήψεται, αὐτίκα χειμών.

ap. Arist. 20, 2:

Μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε μήτε φύτευε.

ap. Aristot. 26, 21. 28. 43. 47:

Ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο.

ap. Theophrast. 61. et Aristot. 26, 59. et 25, 7:

Μή ποτ' ἀπ' ἠπείρου δείσῃς νέφος, ἀλλ' ἐπὶ πόντου
χειμῶνος, θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης.

Fr. 29. Athen. VIII. 360. B: *Καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος, περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν γράφων οὕτως· Εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί· χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι· Ἦλθ' κτλ. τὸν δὲ ἀγερμὸν τοῦτον καταδείξαι πρῶτος Κλεόβουλος ὁ Λινδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων.* Cf. Eust. 1914, 45. ubi afferuntur v. 1—5., deinde *εἶτα ὡς ἐν συνόψει φάναι, οὐ παλάθαν ζητοῦμεν οἴνου τε δέπαστρον, ἃ χελιδὼν καὶ λεκιθίταν οὐκ ἀπωθεῖται* usque ad v. 15., *μετὰ δὲ ὀλίγα τελειοῦται ἡ ᾠδὴ εἰς τὸ ἄνοιγ' κτλ.* (19. 20.) Dixit de hoc carmine Ahrens Dial. Dor. 478. Schema v. 1—11. 17. et 18. est ⏑⏑ – ⏑ ⏑ – – ⏑ vel ⏑ – ⏑ ⏑ – – ⏑, denique etiam abiecta plane anacrusi – ⏑ ⏑ – – ⏑, ut 11. et 17., quamquam facile hi quoque poterant corrigi. Sed non videtur ferendum schema hoc x ⏑ – ⏑ ⏑ – ⏑, quare V. 3. et 5. correxi. Copulantur autem, ut fit in popularibus cantilenis, bini semper versus, nisi quod primus haud inepte singularis est. V. 1. Hermann ἠνθ' ἠνθε Doctr. Metr. 461. — V. 2. ὥρας Hermann, v. ὥρας. — V. 3. καλοὺς Hermann, v. καὶ καλοὺς. — V. 5. ἐπὶ Eustath., κατὰ vulgo. — μέλαινα Eust., μέλανα BPV. — V. 6. παλάθαν σὺ προκύκλει Hermann, v. παλάθαν οὐ (P1 φαλάνθου, P2 παλαθάνου) προκυκλεῖς. — V. 9. τυρῶν B, τυρῶ PV, τυροῦ L. — κάνυστρον V (cf. Pollux X. 86.), κάννυστρον BDPQ, κάνιστρον L.

Digitized by Google

καὶ πύρνα χελιδών
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν,
ἢ τὰν θύραν φέρωμες ἢ τοὐπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν οἴσομεν·
ἂν δὲ φέρῃς τι,
μέγα δή τι φέροιο.
ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

30.

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν,
ἃν φέρομεν παρὰ τᾶς θεοῦ, ἃν ἐκαλέσσατο τήνα.

31.

Ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει,
μεγάλας Μιτυλάνας βασιλεύων.

V. 10. καὶ πύρα χελιδών scripsi, καὶ πυρῶνα χελιδὼν A, καὶ πυρῶν ἀ χελιδών B, καὶ πυρῶν χελιδὼν VL, vulgo κάνιστρον καὶ πυρῶν; ἀ χελιδών. Ahrens τυρῶν τε κ. καπυρῶν ἀ χελιδών. Conieci etiam καπυρῶνα χελιδὼν καὶ λεκ., ut καπυρῶν fuerit panis genus, quod καπυρίδιον vocat Athen. III. 113. D. — V. 11. λεκιθίταν, λεκιθι τὰν P, λεκίθι τὰν V. Hermann τὸν λεκ., Ahrens καὶ δὴ λεκ. — V. 12. ἀπωθεῖται, P ἀποθεῖται. Deinde Ahrens coni. κενοὶ πότερ'. — ἀπίωμες, ἀπίωμεν C et Eust. — V. 13. cf. Homeri Carm. min. XV. 14., ubi praeterea v. 11. χελιδονισμοῦ mos respicitur: νεῦμαί τοι νεῦμαι ἐνιαύσιος, ὥστε χελιδών, ἔστηκ' ἐν προθύροις, ψιλὴ πόδας. — V. 14. φέρωμες, C φέρομες, Eust. φέρομεν. — τοὐπέρθυρον, vulgo τὸ ὑπέρθυρον. — V. 16. μικρὰ μέν, fort. μικρὰ γάρ. — οἴσομεν PVL, οἴσομαι C. — V. 17. ἂν δὲ scripsi, v. ἂν δή, formam ἄν sollicitare non ausus sum in dorico carmine. — V. 18. τι φέροιο scripsi, τι φέροις B, τοι φέροις P, τι καὶ φέροις VL. Efficiunt vulgo ex his duobus versiculis senarium: Ἐὰν φέρῃς δέ τι, μέγα δή τι καὶ φέροις.

Fr. 30. Argument. Theocriti III: Τοὺς δὲ νενικημένους (βουκόλους) εἰς τὰς περιοικίδας χωρεῖν, ἀγείροντας ἑαυτοῖς τὰς τροφάς· διδόναι δὲ καὶ ἄλλα τινὰ παιδιᾶς καὶ γέλωτος ἐχόμενα, καὶ εὐφημοῦντας ἐπιλέγειν· Δέξαι κτλ. V. 1. Warton scripsit δέξαι δ' ὑγίειαν. — V. 2. φέρομεν, possis φέρμεν coniicere. — τᾶς Hermann, vulgo τῆς. — θεοῦ, Schneidewin θεῶ. — ἂν ἐκ. τήνα om. Vat. 1, 2. Hermann coni. κἀχαρίσσατο τήνα, Duebner ἂν ἐχαρίσσατο τήνα.

Fr. 31. Plut. Sept. Sap. Conv. c. 14: Ἐγὼ γάρ, εἶπε, τῆς ξένης ἤκουον ᾀδούσης πρὸς τὴν μύλην ἐν Λεσβῷ γενόμενος· Ἄλει κτλ. V. 2. ἄλει scripsi, ut etiam Koester coni., vulgo ἀλεῖ legitur. Ceterum Ritschl transposuit καὶ γὰρ Πιττακὸς ἀλεῖ.

Digitized by Google

32.

Ὦ παῖδες, ὅσοι Χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν·
σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως ἐπὶ Χαλκιδέων
θάλλει πόλεσιν.

33.

Τὸν Ἑλλάδος ἀγαθέας
στραταγὸν ἀπ' εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὦ
ἰὴ Παιάν.

Fr. 32. Plut. Amator. c. 17: *Ἀριστοτέλης δὲ τὸν μὲν Κλεόμαχον ἁλῶς ἀποθανεῖν φησι, κρατήσαντα τῶν Ἐρετριέων ἐν τῇ μάχῃ· τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα τῶν ἀπὸ Θράκης Χαλκιδέων γενέσθαι, πεμφθέντα τοῖς ἐν Εὐβοίᾳ Χαλκιδεῦσιν ἐπίκουρον· ὅθεν ᾄδεσθαι παρὰ τοῖς Χαλκιδεῦσιν· Ὦ παῖδες κτλ.* V. 1 ὅσοι, scripsi, vulgo οἵ, quod fortasse servandum in carmine populari. — λάχετ' Meineke, ἐλάχετε vulgo. — V. 2. ὁμιλίαν, in proecdosi ὁμιλεῖν scripsi. — V. 3. ἀνδρείᾳ, BE ἀνδρία.

Fr. 33. Plut. vit. Lys. 18: *Πρῶτον μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις, Λιλήνων ἐκείνῳ (Λυσάνδρῳ) βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς πρῶτον δὲ παιᾶνες ᾠδήσαν, ὧν ἑνὸς ἀρχὴν μνημονεύουσι τοιάνδε· τὸν κτλ.* V. 2. στραταγὸν, Sg στρατηγὸν. — εὐρυχόρου Naeke, v. εὐρυχώρου. — V. 3. ὑμνήσομεν, SgAC ὑμνήσωμεν. — ὦ om. C, praeterea SgATπSV ᾠὴ παιάν. Fort. praestat ἰήϊε, vid. Hephaest. p. 128. et exitum paeanis in Titum Flamininum ap. Plut. vit. Flam. 16:

πίστιν δὲ Ῥωμαίων σέβομεν
τὰν μεγαλευκτοτάταν ὅρκοις φυλάσσειν.
μέλπετε κοῦραι
Ζῆνα μέγαν Ῥώμαν τε
Τίτον θ' ἅμα Ῥωμαίων τε
πίστιν· ἰήϊε Παιάν·
ὦ Τίτε σῶτερ.

quamquam alterum quoque fuit in usu, vid. Athen. XV. 696. E ubi hunc ipsum paeanem memorat: *οὐκ ἔχει δ' οὐδὲ τὸ παιανικὸν ἐπίρρημα, καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην γραφεὶς ὄντως παιάν, ὃν φησὶ Δοῦρις ἐν τοῖς Σαμίων ἐπιγραφομένοις Ὥροις ᾄδεσθαι ἐν Σάμῳ. Παιὰν δ' ἐστὶ καὶ ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γραφείς, ὃν ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαλεκτικός, ὡς φησιν Ἕρμιππος ὁ Καλλιμάχειος ἐν τῷ πρώτῳ περὶ Ἀριστοτέλους· ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς, λυρίζοντός γέ τινος παιδός. Καὶ ὁ εἰς Ἀγήμονα δὲ τὸν Κορίνθιον, Ἀλκυόνης πατέρα, ὃν ᾄδουσι Κορίνθιοι, ἔχει τὸ παιανικὸν ἐπίφθεγμα· παρέθετο δὲ αὐτὸν Πολέμων ὁ περιηγητὴς ἐν τῇ πρὸς Ἀράνθιον ἐπιστολῇ. Καὶ ὁ εἰς Πτολεμαῖον δὲ τὸν πρῶτον Αἰγύπτου βασιλεύσαντα παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γοῦν τὸ ἰὴ παιὰν ἐπίφθεγμα, ὥς φησι Γόργων ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν. Ἐπ' Ἀντιγόνῳ δὲ καὶ Δημητρίῳ φησὶ Φιλόχορος Ἀθηναίους ᾄδειν παιᾶνας τοὺς πεποιημένους ὑπὸ Ἑρμίππου τοῦ Καλλιμαχείου, ἐφαμίλλων γενομένων τῶν παιᾶνας ποιησάντων πολλῶν καὶ τοῦ Ἑρμοκλέους προαχθέντος.*

Digitized by Google

34.

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν·
ἐνταῦθα (γὰρ Δήμητρα καὶ) Δημήτριον
ἅμα παρῆγ' ὁ καιρός·
χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ', ἵνα ποιήσῃ,
ὁ δ' ἱλαρός, ὥςπερ τὸν θεὸν δεῖ, καὶ καλός
καὶ γελῶν πάρεστιν.
σεμνόν, ὅθι φαίνεθ', οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ' αὐτός,
ὅμοιος, ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ
χαῖρε κἀφροδίτης·
ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν,
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν·
εὐχόμεσθα δή σοι.
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.
τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,

Fr. 34. Athen. VI. 253. C ex Demochare haec refert: *Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύρας εἰς τὰς Ἀθήνας οἱ Ἀθηναῖοι ἐδέχοντο οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες, ἀλλὰ καὶ προσόδια καὶ χοροὶ καὶ ἰθύφαλλοι μετ' ὀρχήσεως καὶ ᾠδῆς ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ἦδον ὀρχούμενοι καὶ ἐπᾴδοντες, ὡς εἴη μόνος θεὸς ἀληθινός, οἱ δ' ἄλλοι καθεύδουσιν ἢ ἀποδημοῦσιν ἢ οὐκ εἰσί, γεγονὼς δ' εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης, τῷ δὲ κάλλει διάφορος καὶ τῇ πρὸς ἅπαντας φιλανθρωπίᾳ κοινός· δεόμενοι δ' αὐτοῦ ἱκέτευον καὶ προσηύχοντο.* Deinde Athen. pergit: *Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ αὐτὸν τὸν ἰθύφαλλον· ὡς οἱ μέγιστοι κτλ.* Initio duos tantum versus (fort. *Ἀνάγετε πάντες, ἀνάγετ', εὐρυχωρίαν τοῖς θεοῖς ποιεῖτε*) Meineke deesse censet. — V. 1. ὡς, Hullemann ὥς. — V. 3. γὰρ Δήμητρα καὶ addidit ex coni. Toup. — Δημήτριον Casaub., Δημήτριος PVL. — V. 4. ἅμα PL, ἅμος V. — παρῆγ' Porson, παρῆν PVL. — V. 7. καλὸς καὶ ABC, καλῶς PVL. — V. 9. σεμνόν ABDPQ, σεμνός VL. Sed scribendum σεμνόν τι, quod Meineke quoque coniecit. — φαίνεθ' ABP, φαίνονθ' VL. — V. 10. αὐτός C, αὐτοῖς PVL. — V. 11. ὅμοιος, fort. ὅμοιον, quod etiam Meineke coni. — οἱ, Toup εἰ. — V. 12. ἐκεῖνος, B ἐκεῖνοι. — V. 14. κἀφροδίτης, PVL καὶ ἀφροδίτης. — V. 17. οὐδὲ ἕν, P οὐδεέν. — V. 18. παρόνθ', παρόντα ABCP. — V. 20. εὐχόμεσθα, εὐχόμεθα PVL. — V. 21. μὲν, A με. — V. 24. περικρατοῦσαν Casaub., libri περιπατοῦσαν.

Digitized by Google

Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥςπερ ἡ παλαιά,
τὰ σώμαθ' ἡμῶν πάντ' ἀναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν' εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ,
ἢ σπίνον ποιήσει.

Non recepi cantilenam, quam Meineke sic constituit:

Μήποτ' εὖ ἕρδειν γέροντα, μηδὲ παῖδα βάσκανον,
μηδὲ δαψιλῆ γυναῖκα, μηδὲ γείτονος κύνα,
μὴ κυβερνήτην φίλυπνον, μὴ λάλον καπηλάτην.

(vid. Diogenian. VI. 6. Suid. v. ἄχρηστα et v. μηδέποτ' εὖ. adde Arsen. 356. et Paroemiogr. II. 528. ed. Gotting.) proverbium dicit etiam Aristot. Rhet. I. 15: οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία, Μήποτ' εὖ ἕρδειν γέροντα. — Contra quod Athenaeus VII. 325. D ex Chariclide, comico ut videtur poeta profert: Ἀθήνησι δὲ καὶ τόπος τις Τρίγλα καλεῖται, καὶ αὐτόθι ἐστὶν ἀνάθημα τῇ Ἑκάτῃ Τριγλανθίνῃ (Eust. 1197. 30. τριγλαθήνῃ) Διὸ καὶ Χαρικλείδης ἐν Ἁλύσει φησί· Δέσποιν' Ἑκάτη τριοδῖτι, τρίμορφε, τριπρόσωπε, τρίγλαις κηλευμένα (ita BC, κηλευμένη PVL Eust.) non ab ipso poeta videtur profectum, sed ex populari cantilena adscitum:

Δέσποιν' Ἑκάτη τριοδῖτι,
τρίμορφε θεά, τριπρόσωπε,
τρίγλαις κηλευμένα . . .

— Item ex populari cantilena fortasse petitum est, quod legitur apud Plutarchum de superstit. c. 10: Τοῦ Τιμοθέου τὴν Ἄρτεμιν ᾄδοντος ἐν Ἀθήναις καὶ λέγοντος· Θυάδα, φοιβάδα, μαινάδα, λυσσάδα, Κινησίας ὁ μελοποιὸς ἐκ τῶν θεατῶν ἀναστάς, τοιαύτη σοι, εἶπε, θυγάτηρ γένοιτο. Καὶ μὴν ὅμοια τούτοις καὶ χείρονα περὶ Ἀρτέμιδος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν, αἴτε κἂν ἀπ' ἀγχόνας ἀΐξασα αἴτε καλεχόνα (sic Dübner, καλεφῶνα cod. Harl., καὶ λεχὼ Wyttenbach, Turnebus κἂν λεχὼ) κναίσατε, αἴ τε κἂν ἔκκεκρος μαίουσα (Harl. ἐκέκρος μ' οὖσα) ἂν πεφυρμένα ἐσῆλθες (sic Dübner et cod. Harl., εἰσῆλθες Wyttenbach) αἴ (om. C) τε καὶ (om. Ven.) ἐκ τριπόδων καθ' ἑρμάτεσσι (CE Harl. καθερμάτεσ-

V. 25. Αἰτωλὸς ABP, Αἰτωλὸν DQ, αἰτωλίδ' CVL. — V. 26. ἡ παλαιά Casaubonus, ἡ πάλαι VL, οἱ πάλαι P. — V. 31. κόλασον Toup, σχόλασον PVL. — V. 34. σπίνον Schweighaeuser, σπείνον A, σπεινὸν P, πεινῆν CVL. Videtur aliud quid delitescere, Meineke coni. κρίνον.

Digitized by Google

σιν, cod. coll. Nov. καθ' ἑρμάτεσιν, Wyttenbach καθ' ἑρμάτευσιν) ἐπισπωμένα (Mosc. 1. ἐπιπτωμένα) τῷ παλαμναίῳ συμπλεχθεῖσα. Carminis reliquias delitescere manifestum est, sed cave haec ad *Timothei* hymnum referas, est tamen dubium an haec sint antiqua, habent enim similitudinem aliquam cum noviciis cantilenis superstitionis plenis, quarum particulas quasdam Origenes (sive potius Hippolytus) in libro adv. Haereticos servavit. Scribendum videtur: αἴτε κα(κ') ἀπ' ἀγχόνας ἀΐξασα, αἴτε κα λεχὼ διακναίσασα, αἴτε κ' ἐν νεκροῖς μ' ἀΐουσ' ἀμπεφυρμένα ἐσῆλθες, αἴτε καὶ ἐκ τριόδων καθ' ἑρμάτεσσιν ἐπισπωμένα τῷ παλαμναίῳ συμπλεχθεῖσα, ultima sic interpretor, *sive domum ingressa es ex triviis, ubi dum de coelo detraheris lapidum acervis, piaculo polluta es*, quamquam possis καθαρμάτεσσιν ἐπισπομένα τῷ παλαμναίῳ τε συμπλεχθεῖσα conicere. Ceterum numeros quosdam in his facile agnoscas, sed non possumus ad legitimos versus revocare, ut fieri solet in cantilenis popularibus. — Ex alio sed non dissimili carmine petitum videtur, quod servavit Hesychius: ὦπι ἄνασσα· πυρρὰ πρόθυρος. πῦρ πρὸ τῶν θυρῶν. Scribendum:

Ὦπι ἄνασσα, πυρὰ προθύροις.

et πυρά etiam Palmerius. Interpretatio autem sic restituenda videtur, huc relatis iis, quae falso s. v. ὠπατῆρε leguntur: *Διὰ φαρμάκων εἰώθασί τινες ἐπάγειν τὴν Ἑκάτην ταῖς οἰκίαις, πῦρ πρὸ θυρῶν* (ἀνάπτοντες). — Carmen quod servavit Origenes (Hippolytus) adv. Haeret. p. 72. ed. Miller mihi quidem quamquam non valde antiquum, at certe non prorsus novicium videtur:

Νερτερίη χθονίη τε καὶ οὐρανίη μόλε βομβώ,
εἰνοδίη τριοδῖτι, φαεσφόρε, νυκτεροφοίτη·
ἐχθρὴ μὲν φωτός, νυκτὸς δὲ φίλη καὶ ἑταίρη·
χαίρουσα σκυλάκων ὕλακῇ τε καὶ αἵματι φοινῷ
ἐν νέκυσιν στείχουσα κατ' ἠρία τεθνηώτων,
αἵματος ἱμείρουσα, φόβον θνητοῖσι φέρουσα,
γοργὼ καὶ μορμὼ καὶ μήνη καὶ πολύμορφε,
ἔλθοις εὐάντητος ἐφ' ἡμετέρῃσι θυηλαῖς.

Certe hanc vel simillimam cantilenam Theocritus respicere videtur II. 13., et hinc etiam repetendum quod ibi pro ἀνά τ' ἠρία καὶ μέλαν αἷμα alii legebant ἀνά τ' ἠρία κεκμηώτων. — Ceterum *Βομβώ* mihi quoque suspectum, nec tamen *Βαυβώ*, ut Miller coniecit, scribendum puto, sed *ῥόμβῳ*, ut sit *veni quasi turbine acta*, quamquam possis etiam de magico rhombo interpretari (de quo vid. Sch. Apoll. Rh. I. 144. Interprett. Theocr. II. 30.), ut haec cantilena proprie fuerit composita in usum mulierum, quae rhombo ad magicas artes utebantur. V. 2. Meineke *νυκτεροφοῖτι*. — Porro omnia, quae heroicis versibus composita sunt, procul habui. Seiungenda igitur cantilena notissima Εἰρεσιώνη, cuius exordium cum alii, tum Plut. vit. Thes. c. 22. affert:

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι
καὶ κύλικ' εὐζώρου, ὡς ἂν μεθύουσα καθεύδῃς.

Digitized by Google

quamquam fortasse deinde versus alius generis sequebantur, quemadmodum etiam Homerica Iresione (carm. min. XV.) duobus trimetris iamb. terminatur. — Item seiungenda puerorum cantilena, quando noctuam ceperunt, quae commemoratur Cram. An. Par. IV. 103, 26: *Αἴθ' ὄφελες θανεῖν ἢ πανύστατον ὀρχήσασθαι.* Versus haud dubie fuit:

Αἴθ' ὄφελες θανέειν ἢ ὕστατον ὀρχήσασθαι.

legiturque, si recte memini, etiam alibi. — Aliorum carminum prorsus non constat quae fuerit forma. Ita epicumne an vere lyricum carmen fuerit *hymnus in Herculem*, quem memorat Ptolem. Heph. p. 186. West. ignoramus: *τίνος ἐστὶν ὁ ὕμνος ὁ ᾀδόμενος ἐν Θηβαίοις εἰς Ἡρακλέα, ἐν ᾧ λέγει* (scr. *λέγεται*) *Διὸς καὶ Ἥρας υἱός· ἔνθα περὶ τῶν κατα πόλεις τοὺς ὕμνους ποιησάντων, καὶ ὡς Φιλοστέφανος ὁ Μαντινεὺς ὁ ποιητὴς ἐκ γενετῆς ἰματίῳ οὐκ ἐχρήσατο, καὶ ὡς Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐστεῖτο.* unde coniicio, Ptolemaeum hunc hymnum ad illum ipsum *Matrin* retulisse, de quo cf. Athen. II. 44, C. ubi Meineke *Θηβαῖος* pro *Ἀθηναῖος* coniecit; sed *ἐγκώμιον Ἡρακλέους*, quod Ath. X. 412. B. *Matridis* nomine affert, quodque etiam Diodor. Sic. I. 24. respicit, non huic poetae tribuendum videtur, sed rhetori, quem dicit Longin. de Subl. c. 3., nisi eundem hominem et rhetoricae et poesi operam dedisse censeas. — Non magis constat, id quod exhibet Pollux X. 162: *σίφνιν δ' ἐν τοῖς Ἀττικοῖς ὕμνοις οὐ τὴν γῆν ἔνιοι ἀκούουσι, ἀλλὰ τὴν σιπύαν, ἐξ ἧς ἡ Δημήτηρ προὐκόμιζε τὰς τροφάς.* utrum ex epico an lyrico carmine petitum sit. — Alia autem aliena sunt, velut ex *titulo sepulcrali* virginis Spartanae petitum videtur, quod habet Pollux IV. 102: *Καὶ βίβασις δέ τι ἦν εἶδος Λακωνικῆς ὀρχήσεως, ἧς καὶ τὰ ἆθλα προὐτίθετο οὐ τοῖς παισὶ μόνον, ἀλλὰ καὶ ταῖς κόραις. ἔδει δὲ ἅλλεσθαι καὶ ψαύειν τοῖς ποσὶ πρὸς τὰς πυγὰς καὶ ἠριθμεῖτο τὰ πηδήματα, ὅθεν καὶ ἐπὶ μιᾶς ἦν ἐπίγραμμα·*

Χίλιά ποκα βιβάντι, πλεῖστα δὴ τῶν πῇ ποκά.

ubi Bekker *χίλι' ἅ*, Meineke *βίβατι* coniecit, et deinde *πάποκα*. Legendum videtur:

Χίλια
ὁπόκα βιβᾶτι, πλεῖστα δὴ τῶν πή ποκα.

Alia, quoniam non sunt numeris astricta, seiunxi, velut puerorum cantilenam quam memorat Schol. Aristoph. Av. 56: *Διὸς τὸ σκέλος τῇ πέτρᾳ καὶ πεσοῦνται τὰ ὄρνεα.* — Item preces Atheniensium in honorem Iovis Pluvii, quas adhibet Marcus Anton. V. 7:

Ὕσον, ὕσον, ὦ φίλε Ζεῦ,
κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων.

non videntur numeris adstrictae: ceterum nescio an scribendum sit: *κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν Πεδιαίων*, ut urbani tantum pro se et Pediaeis deorum pacem imploraverint. — Alia carmina non in ordinem recepi, velut versus ex *Hymno in Apollinem*, quem apparet satis novicium esse: sunt autem hi:

Digitized by Google

Σοὶ δ' ἄρα πηγὰς νοερῶν ὑδάτων
τάμον ἄντροις μίμνουσαι, γαίης
ἀτιταλλόμεναι πνεύματι μούσης
θέσπιν ἐς ὀμφήν· ταὶ δ' ὑπὲρ οὔδας
διὰ πάντα νάη ῥήξασαι
παρέχουσι βροτοῖς γλυκερῶν ῥείθρων
ἁλιπεῖς προχοάς.

Servavit hos versus Porphyr. de antro nymph. c. 8: ὅτι δὲ καὶ ταῖς νύμφαις ἀνετίθεσαν ἄντρα, καὶ τούτων μάλιστα ταῖς Ναΐσιν, αἳ ἐπὶ πηγῶν εἰσί, κἀκ τῶν ὑδάτων, ἀφ' ὧν εἰσι ῥοαί, Ναΐδες ἐκαλοῦντο, δηλοῖ καὶ ὁ εἰς Ἀπόλλωνα ὕμνος, ἐν ᾧ λέγεται· Σοὶ δ' κτλ. V. 2. τάμον Barnes, qui praeterea Νύμφαι τάμον scripsit, vulgo τέμον. — μίμνουσαι, van Goens ὑμνοῦσαι. — V. 3. πνεύματι, Barnes πνεύμασι, van Goens γαίην (γαῖαν) ἀτ. ῥεύμασι. — V. 5. νάη vel νατή vulgo, Barnes νασμούς. — Item non recepi reliquias *Hymni in Iovem has*:

Δία τὸν πάντων ὕπατον κλήζω.
* * *
Πολὺ γὰρ πολύ μοι τὸ μέσον βιότου
μέλπειν τε θεοὺς ἔν τ' εὐφροσύναις
ἦτορ ἰαίνειν
τοιῷδ' ὑπὸ παιδονόμῳ.

Affert Aristid. I. 452: δευτέρᾳ ἐδόκουν ἐν τῷ ἱερῷ εἶναι τοῦ Ἀσκληπιοῦ ὄρθριον εὐθὺς ἐξ ὁδοῦ ποθὲν ἥκων, καὶ χαίρειν ὡς ταχέως ἀνεφώνυτο· ἐδόκουν δὲ καὶ τοὺς παῖδας ᾄδειν τὸ ἀρχαῖον ᾆσμα, οὗ ἡ ἀρχή ἐστι· Δία κτλ. καὶ εἶναι ἐν ἐκείνῳ τῷ μέρει τοῦ ᾄσματος· πολὺ κτλ. Hoc quamquam ab Aristide *antiquum* vocatur carmen, satis tamen novicium videtur. V. 1. Aristides quod infra dicit p. 485: κελεύει ... καθέξεσθαι εἰς τὴν αὐλὴν τοῦ ἱεροῦ, καλοῦντα Δία, θεὸν (l. θεῶν) ὕπατον καὶ ἄριστον, ad Homerum referendum. — V. 2. τὸ μέσον, fort. λῷστον. — V. 3. τε θεοὺς ΓΔΘ, v. τοὺς θεούς. — Aperte ficta quae exordia hymni in Minervam:

Ἔπεσθε Περγάμῳ νέοι.

et in Bacchum:

Χαῖρ' ὦ ἄνα κισσεῦ
Διόνυσε.

rhetor halucinabundus profert I. 513. Idem valet de paeane I. p. 62. — Non magis recepi reliquias *Hymnorum in Attin*, qui leguntur apud Origenem (Hippolyt.) adv. Haeret. 118: Τοιγαροῦν, φησίν, ὅταν συνελθὼν ὁ δῆμος ἐν τοῖς θεάτροις εἰςίοι τις ἠμφιεσμένος στολὴν ἑξαλλον, κιθάραν φέρων καὶ ψάλλων, οὕτως λέγει ᾄδων τὰ μεγάλα μυστήρια οὐκ εἰδὼς ἃ λέγει· Εἴτε Κρόνου γένος, εἴτε Διὸς μάκαρος, εἴτε Ῥέας μεγάλης χαῖρε τὸ κατηφὲς ἄκουσμα Ῥέας Ἄττι· σὲ καλοῦσι μὲν Ἀσσύριοι τριπόθητον Ἄδωνιν, ὅλη δ' Αἴγυπτος Ὄσιριν ἐπουράνιον μήνης κέρας, Ἕλληνες σοφίαν, Σαμοθρᾶκες Ἀδὰμ*) σεβάσ-

*) Non lubet ista emendare, illud tantum addo hic scribendum esse Σαμόθρᾳκες Ἄδαμνα σεβάσμιον. Cf. Hes. v. Ἀδαμνεῖν.

Digitized by Google

μιον, Αἱμόνιοι Κορύβαντα, καὶ οἱ Φρύγες ἄλλοτε μὲν Πάκταν, ποτὲ δὲ νέκυν, ἢ θεόν, ἢ τὸν ἄκαρπον, ἢ αἰπόλον ἢ χλοερὸν στάχυν ἀμηθέντα, ἢ ὃν πολύκαρπος ἔτεκεν ἀμύγδαλος ἀνέρα συρικτάν. Τοῦτον φησὶν εἶναι πολύμορφον Ἄττιν, ὃν ὑμνοῦντες λέγουσιν οὕτως· Ἄττιν ὑμνήσω τὸν Ῥείης, οὐ ὠδινῶν συμβόμβοις, οὐδ' αὐλῶν Ἰδαίων Κουρήτων, μύκτητα, ἀλλ' οἷς Φοιβείαν μίξω μοῦσαν φορμίγγων, εὐοῖ. εὐὰν ὡς Πάν, ὡς Βακχεύς, ὡς ποιμὴν λευκῶν ἄστρων. — Ex his Schneidewin in Philologo III. 261. seqq. haec composuit:

Εἴτε Κρόνου γένος εἴτε Διὸς μάκαρος
εἴτε Ῥέας μεγάλης,
χαῖρε τὸ κατηχὲς ἄκουσμα Ῥέας,
Ἄττι, σε καλοῦσι μὲν Ἀσσύριοι
τριπόθητον Ἄδωνιν,
ὅσιον δ' Αἴγυπτος ἐπουράνιον
μήνης κέρας, Ἕλληνες δ' Ὄφιαν,
Σαμόθρᾳκες Ἀδὰμ σεβάσμιον,
Μαιόνιοι Κορύβαντα καὶ οἱ Φρύγες
ἄλλοτε μὲν Πάπταν, ποτὲ δ' αὖ νέκυν
ἢ θεόγνητον ἄκαρπον
ἢ χλοερὸν στάχυν ἀμηθέντα,
ἢ ὃν πολύκαρπος ἔτικτεν
ἀμύγδαλος ἀνέρα συρικτάν.

Alterum autem hoc modo:

Ἄττιν κλήσω τὸν Ῥείης,
οὐ κωδώνων σὺν βόμβοις
οὐδ' αὐλῶν Ἰδαίων
κουρήτων μύκτητα,
ἀλλ' εἰς Φοιβείαν μίξω
μοῦσαν φορμίγγων, εὐοί,
εὐάν, ὡς Πάν, ὡς Βακχεύς,
ὡς ποιμὴν λευκῶν ἄστρων.

Extant praeterea apud Philostratum quaedam carmina, quae quia sophista ipse finxerit, non est dubium. Velut *Hymnus in Thetin*:

Θέτι κυανέα, Θέτι Πηλεία,
σὺ μέγαν τέκες υἱὸν Ἀχιλλέα, τοῦ
θνατὰ μὲν ὅσον φύσις ἤνεγκεν,
Τροία λάχε, σᾶς δ' ὅσον ἀθανάτου
γενεᾶς παῖς ἔσπασε, Πόντος ἔχει·
βαῖνε πρὸς αἰπὺν τόνδε κολωνόν,
μετ' Ἀχιλλέως ἔμπυρα (βαῖνε·)
βαῖν' ἀδάκρυτος μετὰ Θεσσαλίας,
Θέτι κυανέα, Θέτι Πηλεία.

Et item alius:

Ἀχώ, παρὰ μυρίον ὕδωρ
μεγάλου ναίοισα πέραν Πόντου
ψάλλει σε λύρα διὰ χειρὸς ἐμᾶς,
σὺ δὲ θεῖον Ὅμηρον ἄειδέ μοι,

Digitized by Google

κλέος ἀνέρων, κλέος ἀμετέρων πόνων,
δι' ὃν οὐκ ἔθανον, δι' ὅν ἐστί μοι
Πάτροκλος, δι' ὃν ἀθανάτοις ἶσος
Αἴας ἐμός,
δι' ὃν ἁ δορίληπτος ἀειδομένα σοφοῖς
κλέος ἤρατο κοὐ πέσε Τροία.

Prior hymnus legitur ap. Philostrat. Heroic. p. 741. Hanc cantilenam dicit Thessalos theorös, qui Achilli in littore Troiano inferias Dodonaei oraculi iussu offerebant, canere solitos: *νυκτὸς μὲν δὴ καθορμίζεσθαι ἔδει καὶ πρὶν ἅψασθαι τῆς γῆς ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν ἐς τὴν Θέτιν ὧδε συγκείμενον· Θέτι κτλ.* Eadem Eudocia p. 85. V. 1. *Κυανέα, κυαναία* 2. — *Πηλέια* Kaiser, *Πηλία* codd., *Πηλεῖ*, ᾧ coni. Visconti, unde Kaiser deinde ᾧ *τὸν μέγαν* scripsit. — V. 2. *σὺ* scripsi, legebatur *τὸν*. — *τέκες* Boissonade, legebatur *ἔτεκες*. — *Ἀχιλλέα* codd., vulgo *Ἀχιλλῆα*. — V. 3. *ὅσον*, 2 *ὅσων*. — *ἤνεγκεν*, b *ἤνεικε*. — V. 4. *Τροία* codd., *τοι Τροία* vulgo. — V. 6. *βαῖνε πρὸς αἰπὺν* 2 (in i *γρ.*), *βαῖν' ἐπ' αὐτὸν* 1. i. 3. 4. — *τόνδε* om. 1. 3. 4. praeter *β*, in ρ est *τόν*, totum versum om. n. — V. 7. *μετ'* om. Olear. — *ἔμπυρα, ἐν πυρᾷ* e, Eud. — *βαῖνε* adieci, Kaiser coni. *βαῖνε θεά*. — V. 8. *ἀδάκρυτος, εὐδάκρυτος ε* (in m. *γρ. ἀδάκρ.*) et Eud. — *μετὰ Θεσσαλίας* aperte vitiosum, e Morell. et Eud. *μετὰ Θυηλὰς*, scribendum videtur *τάςδε Θυηλάς*. — V. 9. *κυανέα, κυαναία* 2. — *Πηλέια, Πηλία* codd. — Facile apparet hoc carmen non antiquum esse, sed ab ipso Philostrato compositum: istius enim saeculi plane indolem refert.

Alter hymnus extat ib. p. 747: *Καὶ μήν, ξένε, πολλοὶ τῶν προσελθόντων τῇ νήσῳ καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾀδοντος ἀκούειν φασί, τουτὶ δὲ πέρυσιν, οἶμαι, τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης καὶ τῶν διανοιῶν ἔχον, ξύγκειται δὲ ὧδε· Ἀχῶ κτλ.* ubi aperte indicat a se confectam esse cantilenam. V. 1. *Ἀχώ*. suprascr. *ἠ(χὼ)* b, *ἠχὼ* j, e, n. Olear., *ἀλλὰ γ*. — *παρὰ* codd., *περὶ* edd. — V. 2. *μεγάλου* om. l. — *ναίοισα, νέοισα* 2. *ψ*., *οὖσα* p ex corr. et 4. — *πέραν* scripsi, legebatur *πλευρά*. — V. 3. *σε, δέ σε* e n. — V. 4. *μοι, ἐμοὶ γ*. Morell. — V. 5. *ἀνέρων, ἀνδρῶν* Morell. Olear. Sed suspectus versus hypermeter, videtur verbum aliquod excidisse:

Κλέος ἀνέρων,
κλέος ἀμετέρων, Ἀχώ, πόνων.

— V. 6. *δι' ὃν, δι' ὧν π*. — *οὐκ ἔθανον* Mor. Olear., *οὐ θάνον* codd. — V. 7. *ἶσος, ἴσος* a. — V. 8. *ἐμός, ἐμοὶ ψ*. — V. 9. *ἁ δορίληπτος* f, ut Wesseling. coniecit, *ἁ δορύληπτος γ, ἀδορύληπτος* 2. 3, *ἀδορίληπτος* l. 4. edd. — *σοφοῖς* delendum censet Kaiser, sed videtur potius hic quoque ut v. 5. verbum excidisse: *μέλεσιν σοφοῖς*. — V. 10. *κού, καὶ* 4. — Denique conflictum haud dubie quod memorat Philostr. v. Apoll. VIII. 30: *Στεῖχε γᾶς, στεῖχε ἐς οὐρανόν, στεῖχε.*

Digitized by Google

FRAGMENTA ADESPOTA.

I. *ΕΛΕΓΕΙΑ.*

1.

Ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων.

2.

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται,
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη.

3.

Θριαὶ (δὴ) τὴν γρηῢν ἐπιπνείουσι κορώνην.

4.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.

Fr. 1. Plutarch. de aud. poet. c. 13. de fratern. am. c. 13. Quaest. Sympos. I. 4, 3. — V. 1. adhibet etiam Athen. III. 97. D.

Fr. 2. Schol. Eurip. Androm. v. 184: *Κακόν γε θνητοῖς τὸ νέον*] *διὰ τὴν προπέτειαν κακὸν τὸ νέον. Ἡ νεότης κτλ.* Fort. *Eueni* est. V. 2. *πουλὺ, πολὺ* codd., emend. Matthiae. — *χερειοτέρη* Cobet ex cod., v. *χειροτέρη.*

Fr. 3. Cram. An. Ox. IV. 337, 26: *Τὸ νηὺς ἢ γρηὺς διερημένον κατὰ τοὺς Ἴωνας οὐκ ἐκλίθη, τὴν δὲ αἰτιατικὴν καὶ κλητικὴν ἔχει· θριαίτην γρηὺν κτλ.* Scribendum *Θριαὶ τήν*, cf. Homeri Hymn. in Mercur. v. 552. seqq. Inserui *δή*, quamquam alia quoque possunt tentari. Fort. *Archilochi* versus est.

Fr. 4. Zenob. III. 77. Utitur hoc versu Plut. vit. Nic. c. 11. (ubi pro *ἔμμορε* V *ἔλαχε*), compar. Lyc. et Sullae c. 1. (ubi *ἔλλαχε*), vit. Alex. c. 53. (item *ἔλλαχε*), et de frat. am. c. 2. Versus haud dubie antiqui poetae, ad cuius similitudinem facti comicorum versus apud Zenob.:

Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ.

(fort. *κἂν — πολεμαρχοῖ*) et:

Ἐν γὰρ ἀμηχανίῃ καὶ ὁ Καρκίνος ἔμμορε τιμῆς.

Digitized by Google

5.

Οὔ μοι ἔτ' εὐκελάδων ὕμνων μέλει, οὐδ' ἔτι μολπῆς.

6.

Οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας.

7.

Παῖδες Ἀρίστωνος, κλεινοῦ θεῖον γένος ἀνδρός.

8.

Ἔσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν.

9.

Ἦν θεὸς ἢ κρέσσων δή τις· ὀνησόμεθα.

10.

* *Οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν.*

Fr. 5. Chrysippus *π. ἀποφατικῶν* c. 9: *εἰ ποιητής τις οὕτως ἀπεφήνατο· Οὔ μοι κτλ. Alcmani* vindicat Schneidewin, quod si verum, exspectes *μολπᾶς*. — *οὐδ' ἔτι*, Letronne *οὐδέ τι*.

Fr. 6. Aristot. Eth. Eudem. VII. 10: *Καὶ ὥσπερ αἱ πόλεις ἀλλήλαις φίλαι, οὕτω καὶ οἱ πολῖται· καὶ ὁμοίως οὐκέτι . . . Μεγαρῆας καὶ οἱ πολῖται κτλ.* et antea iam VII. 2: *Διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους καὶ μέχρι τούτου, ὥσπερ ἡ παροιμία· Γλαῦξ' ἐπίκουρος ἀνὴρ σὸν σὸν φίλος, ἔσκε μάχηται. καὶ οὐκέτι γ. Ἀθηναῖοι* (Mb *Ἀθῆναι*, Pb *ἀληθῆναι*) *Μεγαρῆας*. Fort. *Solonis* est, is autem qui praecedit versus fortasse *Archilochi* sic scribendus: *Γλαῦξ' ἐπίκουρος ἀνὴρ τόσσον φίλος, ἔσκε μάχηται.* Dubium an item ex elegia petitus sit versus Eth. Nic. VIII. 6. (cf. Apostol. XIV. 59. a):

Πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

Fr. 7. Plato Rep. II. p. 367. E: *Καὶ ἐγὼ ἀκούσας ἀεὶ μὲν δὴ τὴν φύσιν τοῦ τε Γλαύκωνος καὶ τοῦ Ἀδειμάντου ἠγάμην, ἀτὰρ οὖν καὶ τότε πάνυ γε ἤσθην καὶ εἶπον· Οὐ κακῶς εἰς ὑμᾶς, ὦ παῖδες, ἐκείνου τοῦ ἀνδρὸς τὴν ἀρχὴν τῶν ἐλεγείων ἐποίησεν ὁ Γλαύκωνος ἐραστής, εὐδοκιμήσαντας περὶ τὴν Μεγαροῖ μάχην, εἰπών· Παῖδες κτλ.* Respicit Aristid. II. 98: *ταῦτα λέγει Πλάτων τοῦ ἐπιγράμματος μετέχων, καὶ δι' ὃν τὸ Ἀρίστωνος γένος θεῖον ὡς ἀληθῶς.* ubi Schol. III. p. 420: *ἐπίγραμμα γὰρ ἦν τοῦ πατρὸς αὐτοῦ, τοῦ Ἀρίστωνος, λέγον οὕτως ὦ παῖδες Ἀρ. κλεινοῦ θεῖον γένος.* Referunt haec ad *Critiam* Schleiermachero auctore.

Fr. 8. Polybius XV. c. 16: *Ἔστι μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν, ἔστιν δ' ὅτε πάλιν κατὰ τὴν παροιμίαν· ἐσθλὸς κτλ.* Fort. *Theognidis* est.

Fr. 9. Herodian. *π. μον. λέξ.* p. 40, 23: *Λέγεται δὲ καὶ κρέσσων μὴ πλεονάζοντος τοῦ ι — καί· ἦν θεός· ἢ κρέσσων δέ τι ὀνησόμεθα.* Dubitanter pentametrum restitui, Lehrs: *ἦν θεὸς ἢ κρέσσον· τί ὀνησόμεθα.*

Fr. 10. Epigramma incertum in Anthol. XII. 96: *Οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται, ὡς οὐ πάντα κτλ.* Fortasse illud ipsum *ὡς* praemittendum, nisi malis *οὐ γὰρ ἅπαντα*. — Fortasse etiam ex antiquiore

Digitized by Google

11.

Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

12.

Ἡμεῖς δ' εἰς Ἕλλης πόντον ἀπεπλέομεν.

13.

Τὸν φρουρὸν φρουρεῖν χρὴ, τὸν ἐρῶντα δ' ἐρᾶν.

14.

Κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι.

15.

Ὀλίγης ἐστὶ διδασκαλίας.

II. *IAMBOI.*

16.

Ξάνθῃ παλαιῇ γρῇϊ πολλοῖσιν φίλῃ.

elegiaco poeta petitum, quod ib. XII. 18. Alpheus dicit: *τοὔνεκεν οὐ φείγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν πᾶσι λέγω· ψυχῆς ἐστὶν Ἔρως ἀκόνη.*

Fr. 11. Aristot. Eth. Nic. II. 5: *Καὶ διὰ ταῦτ' οὖν τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δὲ ἀρετῆς ἡ μεσότης· ἐσθλοὶ κτλ.* Ceterum LbOb *κακοὶ δὲ παντοδαπῶς.*

Fr. 12. Mar. Victor. p. 154: „Hoc quoque notandum in enuntiatione pentametri elegiaci, nam plerumque aurem fallit, ut in illo graeco versu *Ἡμεῖς δ' εἰς Ἑλλήσποντον ἀπ.*" Sed hoc divisim scribendum esse ipse gramm. docet. Fort. hoc sicut Fr. 14. *Callimachi* est, atque etiam Fr. 13. novicium videtur.

Fr. 13. Macar. Prov. VIII. 40. ubi legitur *χρὴ φρουρεῖν*, quae transposui.

Fr. 14. Dionys. Halic. de comp. verb. c. 25. ubi de pentametro disserit: *ὅμοιον τούτοις· κοῦραι κτλ.* ubi Reg. 1. et Colb. *ἐλαφροπόδων.* — *ἴχνι'* Hermann, vulgo *ἴχνε'*.

Fr. 15. Herodian post Moer. p. 475. ed. Piers: *ὀλίγης ἐστὶ διδασκαλίας· ἀντὶ τοῦ ὀλίγων δεῖται πρὸς μάθησιν.* Ex Attico poeta petitum videtur, fort. *Critia.*

Fr. 16. Rufin. de metr. com. p. 385. hoc iambi exemplum ex Iuba affert: *Ξανθῇ π. γ. πολλῆσιν φ.* quae correxi, nam *Ξάνθη* nomen proprium illius mulieris. *Archilochi* vel *Anacreontis* videtur versus.

Digitized by Google

17.

Περὶ σφυρὸν παχεῖα μισητὴ γυνή.

18.

Ἀνθεῦσαν ἀγαθοῖς πᾶσιν, οἷς θάλλει πόλις.

19.

Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως.

20.

Πολλὰ δ' ἐν μεταιχμίῳ
Νότος κυλίνδει κύματ' εὐρείης ἁλός.

21.

Καὶ παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη.

22.

Βαῖνε λάξ, ἐπὶ τραχήλου βαῖνε, καὶ πέλα χθονί.

23.

Δῆμος ἄστατον κακόν

Fr. 17. Schol. Aristoph. Av. 1620: *μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν καὶ τό· περὶ . . . γυνή οὕτως ἐξηγοῦνται.* ubi Ald. *παχεῖα καὶ μισ.* Eustath. 1651, 1: *χρῶται δ' αὐτῷ καὶ παροιμία ἐν τῷ· περὶ κτλ.* ubi *μισήτη* potius quam *μισητή* scribendum praecipit. Photius 274, 4: *καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον παρὰ κτλ.* (cod. *παχεῖαν*). Eadem Suid. v. *μισητή*. Apostol. XIII. 95. — *Archilocho* tribuunt Iacobs et Meineke Poet. Com. II. 202.

Fr. 18. Luciani Scyth. c. 9: *Καὶ ἔμελλον οὕτω διατεθήσεσθαι τὴν γνώμην ἰδὼν πόλιν ἀκμάζουσαν ἀκμῇ τοσαύτῃ καὶ κατὰ τὸν ποιητὴν ἀνθεῦσαν* (*ἀνθοῦσαν* M) *κτλ.*

Fr. 19. Hesych.: *Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως Ἑλλησποντιακῆς, ἣν τὸν Πρίαπον τὸν Διονύσου καὶ Περικότης φασὶν οἰκῆσαι* (*οἰκίσαι.*)

Fr. 20. Cicero ad Attic. V. 3: „Tu autem abes longe gentium: *πολλὰ κτλ. Archilochi* videntur versus, quo poeta saepius utitur Cicero.

Fr. 21. Plut. non posse suaviter viv. c. 21: *Ἐν δὲ πομπαῖς καὶ θυσίαις οὐ μόνον γέρων καὶ γρηῢς, οὐδὲ πένης καὶ ἰδιώτης, ἀλλὰ καὶ παχ. κτλ.* Nisi forte est versus Eupolideus *Comici* alicuius.

Fr. 22. Plut. de cohib. ira c. 9: *ἄρχομαι καταφρονεῖν τῶν λεγόντων — καὶ Βαῖνε κτλ.* Meineke *Archilocho* tribuit.

Fr. 23. Dio Chrysost. XXXII. p. 432: *Καὶ ταῦτα ἀκούων Ὁμήρου τε καὶ τῶν ἄλλων ποιητῶν ὑμνούντων ἀεὶ τὸν ὄχλον ὡς χαλεπόν τε καὶ ἀπειθῆ καὶ πρὸς ὕβριν ἕτοιμον, τοῦ μὲν οὕτω λέγοντος — ἑτέρου δὲ πάλιν αὖ, Δῆμος κτλ.* Fortasse *Solonis* sunt versus vel *Archilochi*. Respicit autem huc Dio Cassius in aliqua oratione, sed locus nunc non est in promptu.

Digitized by Google

καὶ θαλάσσῃ πάνθ' ὁμοῖον ὑπ' ἀνέμου ῥιπίζεται,
καὶ γαληνὸς ἦν τύχῃ, πρὸς πνεῦμα βραχὺ κορύσσεται,
κἤν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

24.

Πρὸς στάθμῃ πέτρον τίθεσθαι, μήτι πρὸς πέτρῳ στάθμην.

25.

Πέλλα γάρ (πλείη)
τρυγὸς γλυκείης, ἣν ἔτικτεν Ἀνθηδών.

26.

Ὁ τὸν κυσὸν τρωθεὶς
ᾔδεις, ὅπου μάλιστα τοῦ κράνους χρεία.

27.

Βαὺ βαὺ καὶ κυνὸς φωνὴν ἵεις.

V. 2. ὁμοῖον, vulgo ὅμοιον. — V. 3. ἦν τύχῃ Kayser, κεἰ γαληνὸς ὢν τύχοι Emperius, ἐντ' χώρᾳ B, ἐντείχω M, ἔντ' ἠχῶν V, ἔντ' ἠχῷ rel. — πρὸς Meiske, vulgo πᾶν. — βραχύ, Iacobs ταχύ. — V. 4. Fort. ἄντιος (hoc etiam Gecl) τῶν πολιτέων, et M πολίτ' ἄν.

Fr. 24. Plut. de prof. in virt. c. 2: ἀλλ' ὀρθῶς μὲν εἴρηται τὸ πρὸς στάθμῃ κτλ.

Fr. 25. Et. Gud. 57, 33: Ἀνθηδών· ἡ μέλισσα παρὰ τὸ ἄνθη ἐνδεῖν ἐν αὐτῷ· ἁπλαῖ γὰρ τρύγος· γλυκὶς ἦν ἔτικτεν Ἀνθηδών. Et. Sorb. ap. Gaisford. Et. M. 108, 44: Ἀνθηδόνος ἡ μέλισσα, παρὰ τὸ τὰ ἄνθη ἐνδεῖν ἐν αὐτῇ· ἁπλὰ γὰρ τρύγος γλυκίης ἣν ἔτικτεν Ἀνθηδών. Schneidewin coni. Anonii esse versum: Πλεῖα γὰρ τρυγὸς γλυκείης, ἣν ἔτικτεν ἀνθηδών id est μέλισσα. Sed scribendum: Ἀνθηδών· ἡ μέλισσα παρὰ τὸ τὰ ἄνθη ἐδεῖν· (καὶ πόλις Βοιωτίας, διὰ τὸ πλεῖστα ἄνθη ἀνθεῖν) ἐν αὐτῇ· (vid. Steph. Byz. v. Ἀνθηδών et Schol. Il. β'. 508.) deinde possis tetrametrum restituere πέλλα γὰρ τρυγὸς κτλ. sed malui trimetrum conformare, quamquam emendatio incerta: illud certum de musto vini Anthedonii (vid. Athen. I. 31. B) locutum esse poetam, fortasse *Hipponactem*.

Fr. 26. Photius p. 355, 19. ὁ τὸν κῦσον τρωθεὶς ἤδη Αἰσώπου μάλιστα τοῦ κράνους χρείαι. quae emendata sunt in Indice p. 728., nisi praeterea χρείη malis.

Fr. 27. Io. Alexandr. 32, 23: Καὶ τὸ βαὺ κατὰ μίμησιν κυνὸς ὀξύνεται, βαὺ βαὺ καὶ κυνὸς φωνὴν ἵεις· ἐξ οὗ καὶ τὸ βαΰζω ῥῆμα. Meineke olim comico poetae tribuit et ἰείς scripsit, sed Atticis canes latrant αὐ αὐ, vid. Aristoph. Vesp. v. 903., Ionibus βαὺ βαύ, unde etiam Heraclides Clazomenius (de quo vid. Plato Ione 542. D. Athen. XI. 506. A. Aelian. Var. H. XIV. 5.) fortasse βαῦς dictus id est κύων. Conferas Hesych. Κλαζομένιος· οὗτος Ἡρακλείδης ὁ Κλαζομένιός τε καὶ ὁ βαῦς καλούμενος. Est haec glossa, quae intelligi nequit, coniungenda cum praegressa: Κλαζομένια. οὕτοι κωμῳδοῦνται· δοκοῦσι γὰρ ἐπικύπτοντες προχειλᾶν· [Κλαζομένιος] οὕτως Ἡρακλείδης ὁ Κλαζομένιος ὁ καὶ βαῦς καλούμενος. Ceterum conf. Auson. Epigr. 131, 4.

Digitized by Google

28.

Ἐγὼ μέν, ὦ Λεύκιππε, δεξιὴ σίττη.

29.

Κέρδαιν' ἑταῖρε καὶ θέρους καὶ χειμῶνος.

30.

Μέλλοντας ἤδη παρθένοις ἁλινδεῖσθαι.

III. *ΜΕΛΗ.*

31.

Ὀψόμενος Φελέναν ἑλικώπιδα.

32.

Νέστορι δὲ Φῶ παιδός.

33.

Ἄμες δ' Φειρήναν, τὲ δέ, τάρροθε Μῶσα λίγεια.

Fr. 28. Schol. Aristoph. Av. 704: *Λίδυμος δέ, ἐπεὶ ἡ σίττη καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἕρωτας φαίνεται. Ἐγὼ μὲν ὡς Λεύκιππη* (V *λευκίπη*) *δ. σ.* Suidas v. *Λεὶ τοῖς ἐρῶσιν* exhibet *ὦ Λευκίππη δεξιά.* Emendavit Bentley. Meineke praeterea coniecit *δεξιᾷ σίττῃ*, retulit autem ad Hipponactem (Babrius p. 123.) et coniecit pertinere ad narrationem illam de Leucippo et Leucophryne ap. Parthen. Erot. c. 5. Fort. pro *Φαίνεται* scribendum *Φοῖνιξ*, quem sane non est improbabile eam fabellam versibus exposuisse.

Fr. 29. Sext. Empir. adv. Math. XI. p. 270: *Καὶ ἑκάστοτε πρὸς ἑαυτὸν τὸ κωμικὸν ἀναμελετᾶν παράγγελμα· Κέρδαιν' κτλ. Κωμικόν* videtur Sextus paulo liberius adhibuisse, Meincke versum ad Eupolidis Baptas retulit, cum olim *χείματος* coniecisset, quod fortasse non improbandum.

Fr. 30. Et. M. 64, 13. *ἁλινδῶ· τὸ κυλίω· οἷον· μέλλοντας κτλ.* — *παρθένοις* Hemsterh., v. *παρθένους.*

Fr. 31. Priscian. I. p. 21: „Adeo autem hoc verum est, quod pro digamma Aeolico F ponitur u: quod sicut illi solebant accipere digamma modo pro consonante simplici, teste Astyage, qui diversis hoc ostendit usibus, ut in hoc versu: *οὐόμενος Fελέναν ἑλικώπιδα*" cod. Halberst. *οιρομενος Fιελεναν ελικωπιδα*, ed. Ven. 2. *ὀχόμενος.* — *Alcmanis* videtur sicut Fr. 32.

Fr. 32. Priscian. I. p. 21: „Est tamen, quando iidem Aeolenses inveniuntur pro duplici quoque consonante digamma posuisse, ut *Νέστορα δὲ Foῦ παιδός.*" Halberst. necto *ΡΙΔΕFωι ΠΡΑΟC*, Heid. *Νέστορι δὲ Fωι πραος.* Lips. 1. *Νέστορα αε Fωι παραος.* Lips. 2. *Νειτορι εο Fω ιπαραος.* Erl. 1. *Νεστορα δε Fαι παιδας.*

Fr. 33. Prisc. I. p. 22: „Digamma F Aeoles est quando pro nihilo in metris accipiebant, ut *Ἄμμες δ' Φειρήναν τὸ δέ τ' ἄρ θέτο Μῶσα λιγαία.* Est enim hexametrum heroicum," ita Krehl ex Lips. Zwicc. Erl., *αμμες δ' Φειρήσαντο θεοί τοι δ' ὤμοσαν Fαιέν* vulgo, *αμες δε φει ρ. η. ναν το δε ταρε ετο μωσα λιτατα* Heid., AMEC δε ϕEΙ P. HNAN TOδεΤα peeto *ΜωσαΛιτΑΤΑ* Halberst. Itaque scripsi *Ἄμες δ' Φειρήναν, τὲ δέ, τάρροθε Μῶσα λίγεια*, quamquam fortasse potius aliud oblitterati digamma exemplum latet, velut *τὸ δ' Fέαρ.* Versus *Terpandri* vel *Alcmanis.*

Digitized by Google

34. 35. 36. 37. 38.

Κὠ τοξότας Ἡρακλέης.
Κάλλιστ' ὑπαυλέν.
Κἀ μεγασθενὴς Ἀσαναία.
Μελάμποδά τ' Ἀρπόλυκόν τε.
Ἄρχοιμεν γὰρ γὰρ κὠθρασίων.

39.



Οἱ δέ νυ καλον

Fr. 34—38. Apoll. de Synt. p. 335: *Ἀπειράκις γὰρ τὰ Δωρικὰ διὰ ψιλῶν ἀντιστοίχων τὰς συναλοιφὰς ποιεῖται· κὠ τοξότας κτλ.* Fr. 34—36. *Alcmanis* videntur. — Fr. 35. A *κάλιστ'·* — *ὑπαυλέν* scripsi, pro *ὕπανλεν.* — Fr. 36. emendavit Ahrens, legebatur *κἀ μέγ' ἀπενήσασα ναὶ ἀ.*, cod. A *καμεγ' ἀσθενησασαν.* Dud. *ἀπεγήσασα.* — Fr. 37. Fort. rectius *Ἀρπάλυκον* scribas. Ceterum videtur *Stesichori* Fragmentum, vid. ad. Fr. 39. — Fr. 38. A *κοθρασιων.* Possis coniicere *ἄρχοι μὲν γὰρ κὠ βράσσων.*

Fr. 39. Apollod. Bibl. III. 4, 4: *Τὰ ὀνόματα τῶν Ἀχταίονος κυνῶν ἐκ τῶν οὕτω* (sic codd. praeter Rc qui a pr. m. *ἐκ τῶν οὗτοι*, vulgo *ἐξ ὧν οὗτοι.*)

Δὴ νῦν καλὸν σῶμα περισταδόν, ἠΰτε θῆρες,
τοῦδε δάσαντο κύνες κρατεροί· πέλας Ἄρκυα πρώτη.
* * * *μετὰ ταύτην, ἄλκιμα τέκνα·*
Λυγκεὺς καὶ βάνος πόδας ἀνετός, ἠδ' Ἀμάρυνθος·

καὶ τοὺς ὀνομαστὶ διήνεγκεν, ὡς κατέλεξε· (libri *καὶ οὓς ὀνομαστὶ διήνεγκεν, ὡς καταλέξῃ*)

καὶ τότε Ἀχταίων ἔθανεν Διὸς ἐννεσίῃσιν·
πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ' ὠὴν Ἄργος τε Βορῆς τ' αἰψηροκέλευθος.
τοῦ δ' Ἀχταίωνος πρῶτοι φάγον, αἷμα δ' ἔλαψαν·
τοὺς δὲ μετ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες·
ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν.

Digitized by Google

σῶμα περισταδόν, ἠΰτε θηρός,
τοῦδ' ἀάσαντο κύνες κρατεροί· πέλας
Ἄλκαινα πρώτα· μετὰ ταύταν δ' ἄλκιμα τέκνα
Λυγκεὺς καὶ Βαλίος πόδας αἰνετός
ἠδ' Ἀμάρυνθος.

* * * * *
καὶ τότ' Ἀκταίονα κτεῖναν Διὸς ἐννεσίῃσιν·
πρῶτος γὰρ Μέλαμπος σφετέροιο ἄνακτος
Σπαρτός τ' Ὅμαργός τε Βορῆς τ' αἰψηροκέλευθος . . .
* * * * *
οἵδ' Ἀκταίονος πρῶτοι φάγον, αἷμα δ' ἔλαψαν·
τοὺς δὲ μέτ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες.
* * * * * *
ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν.

Ita hae veteris alicuius poetae reliquiae nunc in heroicos versus redactae sunt, at apparet lyricos potius hic numeros deprehendi, et mihi quidem videntur *Stesichori* versus delitescere, quem Pausania auctore IX. 2, 3. constat Actaeonis fabulam illustrasse, ut mihi videtur peculiari carmine, quod Ἀκταιονίς inscriptum fuerit, vide quae dixi in Annal. Antiquitat 1850. p. 401. seqq. Ad idem hoc carmen referas etiam Fr. adesp. 37: *Μελάμποδά τ' Ἀρπόλυκόν τε*, nam utrumque nomen ab Hygino 181. inter Actaeonis canes refertur. Itaque sic fere redintegrandus ille locus: *τὰ δὲ ὀνόματα τῶν Ἀκταίονος κυνῶν ἐκ τῶν (Στησιχόρου) οὕτως· οἱ δέ νυ.κτλ. . . . . καὶ (ἄλλοι), οὓς ὀνομαστὶ ἐξήνεγκεν ὁ Στησίχορος κατὰ λέξιν· καὶ τότ' κτλ.* Apparet autem quatuor fragmenta servata esse. V. 1. *οὕτως· Οἱ δέ νυ* scripsi, quamquam possis etiam *οὕτω δέ νυ*, ut *οὕτω* poetae sit, libri *οὕτω* (*οὗτοι*) *δὴ νῦν*. — V. 2. *θηρός* Scaliger, vulgo *θῆρες*. — V. 3. *τοῦδ' ἀάσαντο* scripsi, (cf. Hesych. *ἀάσαντο, ἔβλαψαν*). P *τοῦ δ' αὖ τό*, Rabc X *τοῦ δάσαντο*, V *τοῦ δάσαντος*, vulgo *τοῦτον ἐδάσαντος*, unde male corrigunt *τοῦδε δάσαντο*, quod ab hoc loco alienum; antea *ὠδάξαντο* conieceram. — *κρατεροί*, libri *κρατερορ*. — V. 4. *Ἄλκαινα* scripsi, *ἄρκενα* libri, unde Scaliger *Ἄρπυια* (cf. Ovid. Met. III. 315). Compares Schol. Il. *υ'*. 29: *οἱ κύνες πολλάκις ὀνομάζονται μετὰ τῶν κτητόρων, οἷον Κέρβερος Ἅιδου, Ὄρθος Γηρυόνου, Ἄλκαινα Ἀκταίωνος*. Ceterum nihil excidit, tres qui deinceps recensentur, Alcaena nati sunt. — *πρώτα, μετὰ ταύταν δ'* scripsi, vulgo *πρώτη, μετὰ ταύτην*, nisi malis *μετὰ δ' αὖ τάν*. — V. 5. *Βαλίος* Mitscherlich (nisi quod *Βάλιος* scripsit), libri *βάνος*. — *αἰνετός* Gale, libri *ἀνετός*, cf. Antimach. ap. Paus. VII. 25. *πόδας αἰνετὼ ἤλασεν ἵππω*, et ap. Schol. Il. *δ'*. 239: *Δείμός τ' ἠδὲ Φόβος, πόδας αἰνετώ, υἱὲ Θυέλλης*. — V. 7. *καὶ τότ'* libri, nisi quod PcV *καὶ* om. — *Ἀκταίονα κτεῖναν* scripsi, VM *ἀκταῖον κτεῖναι*, PlDReX *ἀκταῖον κτεῖνε*. — *ἐννεσίῃσιν*, libri *αἰνεσίῃσι*, fort. *ἐννεσίαισιν*. — V. 8. *πρῶτος* libri, sine causa *πρῶτοι* corrigunt. — *Μέλαμπος* scripsi, libri *μέλαν ἀπὸ*, unde Scaliger *μέλαν αἷμα πίον*. — V. 9. *Σπαρτός* Scaliger, libri *παρτός*. — *τ' Ὅμαργος* scripsi, libri *τ' ὦ* (vel *δὲ ὧν*) *ἀργός*. Cf. Arcad. de Accent. 47, 18: *καὶ τὸ ὄμαργος* (scr. *Ὅμαργος*) *σύνθετον ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ἀργός· ἔστι δὲ ὄνομα κυνός*. — V. 10. *οἵδ' Ἀκταίονος* scripsi, *οὗ ἀκταίον* M, *οὐ δ' ἀκταίου* ceteri libri, *τοὶ δ' Ἀκταίωνος* Scaliger. — *ἔλαψαν* Scaliger ut videtur, libri *ἔδαψαν*. — V. 11. *μέτ'*, vulgo *μετ'*. — *ἐπέσσυθεν* Scaliger, *ἐπέσσυθον* vulgo. — V. 12. alienum ab Actaeonis fabula esse existimant, at dixerat poeta de malis, quae propter Actaeonis caedem invaserant terramque vexabant, donec placatus est Actaeon, cf. Pausan. IX. 38, 5.

Digitized by Google

40.

Ἃ δ' ὑποδεξαμένα θαήσατο
χρύσεον αἶψα ποτήριον . . .

41.

Μήτ' ἐμῶ αὐτᾶς
Μήτε κασιγνήτων πόδας ὠκέας
τρύσῃς.

42.

Καὶ τὺ Διὸς θύγατερ μεγαλόσθενες.

43.

Καί τυ φίλιππον ἔθηκεν.

44.

Ἄλλ' ἃ πολυνεικὴς
δῖ' Ἑλένα.

45.

Ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππω.

Fr. 40. Athenaeus XI. 781. D: *Αὐτός γε μὴν ὁ Ζεὺς τῆς Ἡρακλέους γενέσεως ἄξιον ἠγεῖται δῶρον Ἀλκμήνῃ δοθῆναι ποτήριον, ὅπερ Ἀμφιτρύωνι εἰκασθεὶς δίδωσιν· Ἃ δ' ὑποδεξαμένα κτλ. Ποτήριον* vulgo ad Athenaei sermonem referunt, sed aperte est poetae, quem *Alcmanem* fuisse suspicor, nisi ad recentiorem aliquem, velut *Ibycum* revocare malis, quoniam Athenaeus XI. 460. A ubi recenset eos, qui primum voce *ποτήριον* usi sint, Simonidem Amorginum, Alcmaeonidis poetam, Sapphonem et Alcaeum commemorat. De fabula ipsa vid. Ath. XI. 474. F. 475. C. Pausan. V. 18, 3.

Fr. 41. Apollon. de pronom. p. 318: *Καὶ ἔτι τό· μήτε ἐμῶ αὐτᾶς* (cod. *ἐμ' ωυτᾶς*) *κτλ. διέσταλκε δυσὶ περισπωμέναις· ἠδυνάτει γὰρ συντεθῆναι διὰ τὸ ἐπιφερόμενον ῥῆμα.*

Fr. 42. Apollon. de Pronom. p. 328. B: *Ἡ γὰρ τὺ ὀρθῆς τάσεως οὖσα εὐθεῖαν σημαίνει παρὰ Λωριεῦσι· Καὶ τὺ κτλ.*

Fr. 43. Apoll. de Pron. p. 328. B: *Τὺ — ἐγκλινομένη δὲ αἰτιατικὴν (σημαίνει παρὰ Λωριεῦσιν) καί τυ* (Cod. *τοι*) *κτλ.* Legitur etiam de Synt. p. 131. et 132.

Fr. 44. Schol. Il. *π'*. 52: — *ὅσοις κυρίοις εἰς ης λήγουσι βαρυτόνοις συνθέτοις παράκειται ἐπιθετικὰ ὀξυνόμενα, Διογένης — αὐτὰρ ὁ διογενής, Πολυνείκης — ἀλλὰ* (quod correxi) *πολυνικὴς* (corr. Schneidewin) *διελέγα* (corr. Hermann). Lyrici haud dubie est, cum sequantur exempla ex Bacchylide, Pindaro, Alcmane petita; fort. est *Stesichori*. Ceterum Schneidewin et Lobeck *Δυσελένα*, Meineke *Ἑλένα*, possis etiam *Ἀινελένα*, vid. Eust. Il. 379, 38.

Fr. 45. Hephaest. p. 25: *Βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ ὅλῳ ποδὶ μεμείωται, οἷον ἐπὶ ἰαμβικοῦ· Ἄγ' κτλ. ἐνταῦθα γὰρ ὁ σιππω πους ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας. ἄγατ' ἐς* CM, *Καλλησίππω* cod. Nan., sed cod. Darmst. 1. *κλεσίππω*, 2. *καλεησίππω*. Fort. initio legendum *ἄγ' ἄψ ἐς*.

Digitized by Google

46.

Εἶμ' ὥτ' ἀπ' ὑσσάκω λυθεῖσα.

47.

Cramer. An. Ox. IV. p. 356, 24. *τῷ ἔντι, τὸν ἔντα ἀντὶ τοῦ ὑπάρχοντα, ὡς καὶ ἡ χρῆσις δηλοῖ οὕτως ἔχουσα· παῖδα ἔντα.* Cf. Choerobosc. II. 859. Favor. 205 et 206. Fort. *Alcmanis* est.

48. 49.

Ἄχι Λίχα μέγα σᾶμα.
Ἄχι ὁ κλεινὸς
Ἀμφιτρυωνίδας.

50.

Ὥτε χερνᾶτις γυνὰ
οὐδὲν προμαθιομένα.

51.

⏑ ˊ ⏑ – – ˊ ⏑ ⏑ – ⏑ – – ˊ ⏑ ⏑

Τοιοῦτος εἰς Θήβας πάϊς ἁρμάτεσσ' ὠχημένος.

52.

– ˊ ⏑ – – ˊ ⏑ ⏑ – ⏑ – – ˊ ⏑ ⏑

Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτω λίνον.

Fr. 46. Hephaest. p. 25: *Ὑπερκατάληκτα δέ, ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μέρος ποδός, οἷον ἐπὶ ἰαμβικοῦ· εἶμ' ὥστ' ἀπὸ πυσσάλω λυεῖσα.* CM *εἶμ' ὦ τὰ πύσσα χωλυθεῖσα*, Nan. *εἶμ' ὡς ἀπυσιλάκλω λυθεῖα.* — *ἀπ' ὑσσάκω* Bentley, *ὥτ'* ego restitui.

Fr. 48. 49. Et. M. 417, 12: *Ἰστέον, ὅτι τὸ ἦχι οἱ Δωριεῖς ἀχι λέγουσι διὰ τοῦ α· ἀχι Λ. μ. σ. τουτέστιν ὅπου τοῦ Λίχα τὸ μέγα μνημεῖον καὶ ἀχι ὁ κλ. Ἀμφιτρυωνίδης* (sed DM — *ίδας*) fort. *Ἀμφιτρυωνιάδας. ἄχι* Kulenkamp.

Fr. 50. Apollon. de pron. p. 321. B: *οἱ δὲ βαρυτονοῦσι τὸ ὦ Δωρικῶς δεχόμενοι ἀντὶ τοῦ ὡς, ὁμοίως τῷ ὥτε χερνίτης κτλ.* sed rectius de Synt. p. 156: *καθὼς ἔχει καὶ τὸ ὥ τ ε χ ε ρ ν ᾶ τ ι ς γ υ ν ά.* idem de adv. Bekk. An. II. p. 583. *ὥτε χερνᾶτις γυνή.* et p. 617. *ὥτε χερνῆτις γυνή. Προμαθιομένα* pro *προμαθιουμένα* scripsit Ahrens, qui *Alcmani* vindicat.

Fr. 51. Hephaest. 81: *Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἢ δευτέραν παιωνικήν, τὴν δὲ τρίτην τροχαϊκὴν ἐξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατακλεῖδα· οἷον· τ ο ι ο ῦ τ ο ς κτλ. Μ ό λ ι ς μ ὲ ν κτλ.* (Fr. 52.) — *ἁρμάτεσσ' ὠχημένος* scripsi, Turn. Fl. *ἁρμάτεσσι χήμενος*, C *χείμενος*, Arnaldus *ἁρμάτεσσ' ὀχούμενος*, Ahrens, qui aeolico poetae tribuit: *Τοίουτος εἰς Θήβαις πάϊς ἁρμάτεσσ' ὀχήμενος* (hoc etiam Bentley coni.).

Fr. 52. Hephaest. 81: *Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικὸν — οἷον . . . Μόλις μὲν Ἔννη κτλ. Μᾶλις* scripsi, ut mulieris sit nomen, C *μᾶλις*,

Digitized by Google

53.

Ἐγώ φαμι ἰοπλοκάμων Μοισᾶν εὖ λαχεῖν.

54.

Aristid. I. p. 327: Δοκῶ τοὐναντίον ποιήσειν τοῖς Αἰολεῦσι ποιηταῖς· ἐκεῖνοι μὲν γὰρ, ἐπειδάν τι βούλωνται τῶν καθ' αὑτοὺς φαυλίσαι, μεγάλῳ αὐτὸ παρέβαλον καὶ παρ' ἀρχαίοις περιφανεῖ, ἡγούμενοι μάλιστ' ἂν οὕτως ἐξελέγξειν.

55.

Ὄψι γὰρ ἄρξατο.

56.

Ἀλλά τις ἄμμι δαίμων.

57. 58.

Πατέρων ἄμμων.
Ἀμμετέρων ἀχέων.

59.

Παῖς ὁ χῶρος.

vulgo μόλις — ἔννη scripsi, Ἔνγη Toup, vulgo Ἔννα. cf. Et. M. 344. 1: Ἔννη· ἔστι νῶ· σημαίνει τὸ νήθω· ὁ παρατατικὸς καὶ ἐπὶ πρώτης ἐστὶ συζυγίας καὶ ἐπὶ δευτέρας· ἂν γὰρ ἐστὶ νώμενος ὡς κλώμενος, δηλονότι ἐστὶ δευτέρας· τοῦ νῶ ὁ παρατατικὸς ἔνων, ἔνης, ἔνη, καὶ πλεονασμῷ τοῦ ν ἔννη· οὕτως Ἡρωδιανός. quae, ut etiam Gaisford coniecit, ad hunc ipsum versum referenda sunt. Fort. *Alcaei* est.

Fr. 53. Plut. de garrul. c. 5: Καὶ σκόπει τὴν Λυσίου πειθὼ καὶ χάριν· κἀκεῖνον γὰρ ἐγὼ φαμι κτλ. Fort. *Sapphus* est.

Fr. 55. Apollon. de adv. Bekk. An. II. 573: Ἀνάλογος γὰρ καὶ ἡ παρ' Αἰολεῦσι βαρεῖα τάσις, λέγω δὲ τοῦ· ὄψι γ. ἄ. Herodian. π. μον. λέξ. 26, 11. ubi ὀψὶ γὰρ ἀρξάτω. *Alcaei* videtur, qui videtur sive de vento sive translate dixisse:

Πεσεῖται ταχέως· ὄψι γὰρ ἄρξατο.

vid. proverbium ap. Schol. Soph. Ai. v. 257: Ἀλλ' ἔπεσε ταχέως· δειλινὸς γὰρ ἤρξατο. Futurum πεσεῖται Aeolensibus tribuit Eust.

Fr. 56. Apollon. de pron. p. 383. B: Αἰολεῖς ἄμμι. ἀλλά κτλ.

Fr. 57. 58. Apollon. de Pron. p. 381. C: Αἰολεῖς — ἐπὶ δὲ τῆς συναρθρου π α τ. ἀ. καὶ τῇ ἐντελεστέρᾳ ἀμμ. ἀχέων (Cod. αχαιῶν).

Fr. 59. Herodian. Cram. An. Ox. III. 239, 28: Τὸ μέντοι πὰν ἐπὶ μόνου τοῦ Πανὸς λέγεται καὶ κλίνεται, ἐπὶ δὲ τοῦ οὐδετέρου παντός· ἐπεὶ καὶ πᾶς, παντός· ἐπεὶ ἐάν σοι προτείνῃ τις τὸ πᾶς κλῖναι· πύθου, εἰ μὲν τὸ κοινόν· εἰ δὲ παρ' Αἰολεῦσι, παντός· οἱ γὰρ Αἰολεῖς λέγουσι πᾶς παῖς ὁ χῶρος· „ἵνα ἴδωμεν ὅτι πάντα." * *

Digitized by Google

60.

Καὶ κατ' ἰψήλων ὀρέων.

61.

Ἀλλ' ὦ πάντ' ἐφόρεις Ἅλιε.

62.

Τὸ δ' ἐκ Σάπφως ἀμελγόμενος μέν τοι φέρω.

63.

Ἱδρῶς ἀμφότερα.

64.

⏑ –́ ⏑́⏑ ⏑ – –́ ⏑ – –́ ⏑ ⏓

Τὸ πασσύριον ἡμῶν ἁπάντων γένος.

65.

Κλαΐην δάκρυσιν.

Fr. 60. Cramer An. Ox. I. 63, 29: *ὕψος — ἔνθα οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσιν ἴψος λέγοντες καὶ κατ' ἰψηλῶν ὀρέων*, et 418, 31: *ἀλλὰ καὶ τὸ κατ' ἀρχὴν Αἰολεῖς τρέπουσι υ εἰς ι· κατ' ἰψηλῶν ὀρέων. Sapphus* videtur.

Fr. 61. Cram. An. Ox. I. 327, 3: *Τὸ γὰρ ὁρῶ δευτέρας μὲν ὡς πρόδηλον, ἀλλὰ καὶ πρώτης, ὡς δῆλον ἐκ τῆς Αἰολίδος διαλέκτου· ὡς γὰρ ἀπὸ τοῦ οἰκῶ ἡ μετοχὴ — οἰκείς, οὕτω ἀπὸ τοῦ ὁρῶ· ἀλλ' ὦ π. ἐφορεῖς Ἅ. Alcaei* videtur, quoniam Grammaticus ibi componit cum alio Alcaei fragmento.

Fr. 62. Choerobosc. in Aldi Cornu Cop. 268: *Οἱ δὲ Αἰολεῖς καὶ Λάκωνες, οἵτινές εἰσι μέρος Δωριέων, προςθέσει τοῦ σ ποιοῦσι τὴν γενικήν· οἷον ἡ Σαπφώ, τῆς Σαπφῶς, καὶ ἡ Λητώ, τῆς Λητῶς, καὶ δηλοῦσιν αἱ χρήσεις οὕτως ἔχουσαι· Τὸ δὲ ἐκ Σαπφῶς ἀ. μ. τ. φ. καὶ παρ' αὐτῇ τῇ Σαπφοῖ· μάλα κτλ.* Ahrens coni.

Ἐκ Σάπφως τόδ' ἀμελγόμενος μέλι τοι φέρω.

sed quod addit a Sapphus *discipula* profectum esse versum, manifestus error est.

Fr. 63. Cram. An. Ox. I. 208, 13: *Ἱδρώς· τοῦτο παρὰ Αἰολεῦσι θηλυκῶς λέγεται· ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ γένει . . . . ὅμοιον τῷ ἠώς· εἶτα ἡ γενική· ἱδρῶς ἀμφότερα ἀντὶ τοῦ ἱδροῦς, ὡς Μελάγχρως ἀντὶ μελάχρους καὶ αἰδῶς ἄξιος.* Ahrens *ἵδρως ὀμφόρα* vel *ἀμφόρα*. Fort. *ἵδρως ἀμφιρύτα.*

Fr. 64. Hesych.: *Πασσύριον, ἀντὶ τοῦ πασσυδίην. Αἰολεῖς· Τὸ πασσ. κτλ. ἡμῶν*, Giese *ἀμμέων*, Meineke coniecit *ἀπώλετο πασσύριον κτλ.* Dubitari potest an hoc Aeolici poetae sit, fortasse *Aeschylus* dixit, aut alius lyricus poeta.

Fr. 65. Et M. 574, 65: *Μανίην· ἀντὶ τοῦ ζητεῖν. ἐκ τοῦ μαίω τὸ ζητῶ . . . . καὶ ὥςπερ τὸ κλαίειν διῄρηται κλαΐην δάκρυ, οὕτως καὶ μαΐην καὶ πλεονασμῷ τοῦ ν μανίην*, sed V *ὥςπερ τὸ κλαίειν Αἰολικῶς διῄρηται καὶ γίνεται κλαΐειν δάκρυσιν.*

Digitized by Google

66.

Αἰτιάο τὰ μέτερρα.

67.

Ὁ δ' ἐξύπισθα κασταθείς.

68.

Demetrius *περὶ ποιημ.* Vol. Hercul. II. 122: *ιδαρις* | — *νι . . εναι . . . . νω* | . . . *δεκενη* — *σπε* | . . . . . *ρενας οινος οτὶ* | *ωτοιος καπω γαρ κεφα* | *λαν κατισχοτον Εον* | *θαμα θυμον αιτιαμ-νοι* | *πεδαπετομενας* | *τακετητοδουκετι* | . . . . . *ενπς . . . αι . . . .* | *τωκαι τ . . . λυτακαιρυ.* Aeolici poetae, haud dubie *Alcaei* fragmentum latet, praesertim cum statim p. 123. *Sapphus* videatur mentio fieri: *ερω . . . ι . . .* | *σαιφωστονεντωιθαρις* | *κις ου συνισταμεν . . . . .* | *θυμον και ταραστ* — | *την ψυχην.* atque etiam p. 124. poetae alicuius reliquiae delitescere videntur. Alcaei autem et Sapphus aperte fit mentio p. 128: *τησις πραγματικὴ αὕτη· διὰ γὰρ τὴν ἐντροχάζουσαν ἀδηλότητα περὶ τουνπλ . . . σημασιν εἰσιν Ἀλκαῖός τε καὶ Σαπφώ κ.* — Alii quoque poetae ibidem commemorantur, ut p. 115. *παρ' Εὐριπίδῃ ἐν νιυσανιωι* (*Λικυμνίῳ*), p. 117. *καῖς ἐκ τῶν Σώ(φρ)ονος μείμων.*

69. 70. 71.

Ἱστοπόνοι μείρακες.
Οὐδὲ λεόντων σθένος, οὐδὲ τροφαί.
Αἰ Κυθερείας ἐπιπνεῖτ' ὄργια λευκωλένου.

72.

Ὡς πὸς ἔχει μαινομένοισιν.

Fr. 66. Et. M. 587, 12: *Μέτερρα· τοῦτο τὸ πάθος τῆς Αἰολικῆς ἐστι διαλέκτου· οἷον· Αἰτιάο τὰ μέτερρα* (D *αἰτιάοτὰμέτερρα*, M *αἰτιάο τ' ἀμετερρα*)· *ὁ γὰρ μέτριος μέτερρος παρ' αὐτοῖς λέγεται.* Hemsterhuys *δίζεο*, Valckenaer *αἰτιόδε*, Ahrens *αἴτη ἄϊν.* Scribendum puto *αἰτία ὅτε μετέρρα* (sive retracto accentu *μέτερρα*).

